DR. RUDOLF HABELT
Buchhändler u. Antiquar
BONN/RHEIN
Am Buchenhang 1

Digitized by the Internet Archive
in 2026 with funding from
Graduate Theological Union

https://archive.org/details/euseviouttoupamph03euse

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΕΥΑΓΓΕΛΙΚΗΣ ΠΡΟΠΑΡΑΣΚΕΥΗΣ

ΛΟΓΟΙ ΙΕ.

EUSEBII PAMPHILI

EVANGELICÆ PRÆPARATIONIS

LIBRI XV.

AD CODICES MANUSCRIPTOS

RECENSUIT

THOMAS GAISFORD, S.T.P.

ÆDIS CHRISTI DECANUS

NECNON

LINGUÆ GRÆCÆ PROFESSOR REGIUS.

ACCEDUNT

FRANC. VIGERI VERSIO LATINA ET NOTÆ,

ET

L. C. VALCKENÆRII DIATRIBE DE ARISTOBULO.

TOMUS III.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLIII.

GRADUATE THEOLOGICAL UNION LIBRARY 1962

CHURCH DIVINITY SCHOOL of the PACIFIC LIBRARY

Property of CBDP

Please return to

Graduate Theological

Union Library

BR
65
E75
D38
1843
v.3

GM3
E91
MP
v.3

[298]

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΠΡΟΠΑΡΑΣΚΕΥΗΣ ΕΥΑΓΓΕΛΙΚΗΣ

ΒΙΒΛΙΟΝ ιαʹ.

ΠΡΟΟΙΜΙΟΝ ΠΕΡΙ ΤΗΣ ΥΠΟΘΕΣΕΩΣ. p. 507 c

ʽΟ ΜΕΝ δὴ τοῦ μετὰ χεῖρας προάγων τῆς Εὐαγγελικῆς Προπαρασκευῆς δέκατος ὢν τόμος οὐκ ἐμαῖς φωναῖς d ταῖς δ' ἔξωθεν συνίστη μαρτυρίαις, τὸ μὴ ἀπεικὸς εἶναι τοὺς Ἕλληνας μηδὲν οἴκοθεν σοφὸν ἐπενηνεγμένους, εἰ μὴ ὅτι μόνην τὴν ἐν λόγοις δεινότητά τε καὶ εὐγλωττίαν, τὰ πάντα δὲ παρὰ βαρβάρων ἐσκευωρημένους· μηδὲ τὰ ʽΕβραίων ἀγνοῆσαι λόγια, καὶ τούτων δὲ ἐν

c 4. Προοίμιον] Titulus deest C. περὶ τῆς ὑ. B.F.G. περὶ om. al.
9. δέκατος] ἑνδέκατος B.C.F.G.

EUSEBII PAMPHILI

PRÆPARATIONIS EVANGELICÆ

LIBER UNDECIMUS.

PROŒMIUM.

Superior idemque decimus Præparationis Evangelicæ liber, non jam verbis meis, sed ipsismet gentilium hominum testimoniis planum fecit, quam simile veri sit, Græcos præter unam in dicendo vim et elegantiam, sapientis et eruditi nihil domo protulisse, sed barbaris omnia suffuratos esse: adeoque ne ipsa quidem Hebræorum igno-

40112

μέρει καθάψασθαι· ὅτι μηδὲ τῆς τῶν σφετέρων ἐν συγ-
γράμμασι φιλοτιμίας καθαρὰς ἐφυλάξαντο κλοπῆς τὰς
χεῖρας. Κλέπτας γὰρ αὐτοὺς οὐχ ὁ παρ' ἡμῶν, ὡς
2 ἔφην, λόγος, ὁ δ' ἐξ αὐτῶν παρεστήσατο. Οὐ μὴν p. 508
ἀλλὰ καὶ σφόδρα νέους ὁμοῦ τῇ φρονήσει καὶ τὴν ἡλι-
κίαν αὐτοὺς, παρὰ πλεῖστον ὅσον τῆς Ἑβραϊκῆς λει-
πομένους ἀρχαιολογίας, ἐν ταυτῷ διὰ τῆς τῶν χρόνων
3 παραθέσεως ἔγνωμεν. Ταῦτα μὲν οὖν ὁ πρὸ τούτου·
ὁ δέ γε παρὼν ἐπείγεται λοιπὸν ἤδη, ὥσπερ τι χρέος,
τὴν ἐπηγγελμένην ὑπόσχεσιν ἀποδοῦναι, καὶ τὴν ἔν τι-
σιν, εἰ καὶ μὴ ἐν πᾶσι, τοῖς δογματικοῖς θεωρήμασι πρὸς
τὰ Ἑβραίων λόγια συμφωνίαν τῶν παρ' Ἕλλησι φιλο- b
σόφων ἐκφᾶναι· ὧν τοὺς περιττοὺς παραιτησάμενος, τὸν
κορυφαῖον ἁπάντων ἀνακαλεῖται, μόνῳ χρῆναι ἀντὶ πάν-
των ἡγούμενος γνώμονι χρήσασθαι τοῦ προβλήματος
Πλάτωνι· ἐπεὶ καὶ οὗτος μόνος ἔοικε τῇ δόξῃ τοὺς πάν-

d 9. μηδὲ τῆς—φρονήσει om. B. 10. ἐν om. D.
p. 508. τῇ φρονήσει] ἴσ. τήν τε φρόνησιν Vigeri margo. Sed vid. Abresch. Diluc. Thucyd. p. 607. 5. μὲν οὖν om. B. οὖν om. C.F.G. 8. ἔν τισιν—λόγια om. B. 9. τοῖς θεωρήμασι τοῖς δογματικοῖς D.
b 3. μόνῳ χρῆναι—Πλάτωνι om. B. δεῖν addunt C.D.E.F.G.I. post χρῆναι. 6. μόνος οὗτος D.F.G.

rasse oracula, sed ea potius ex parte saltem attigisse: cum ne in
ipsis quidem hominum suorum operibus tanta cum ambitione con-
scriptis castas ab omni furto integrasque manus conservare potu-
erint. Nam fures illos omnino fuisse, non mea, uti jam dixi, sed sua
2 ipsorum voce demonstravi. Præterea, quam ipsi prudentia simul
ætateque juvenes sint, quamque longo intervallo ab illa Hebræorum
antiquitate disjuncti, eodem libro ex inita temporum inter sese con-
3 tentione cognovimus. Atque hæ superioris libri partes fuerunt
omnino duæ. Jam vero hic quem præ manibus habemus id agit, ut
factam a nobis promissionem, quoddam quasi nomen ac debitum,
repræsentet, illamque Græcorum philosophorum, si minus in omni-
bus, in nonnullis certe quidem placitis atque decretis cum Hebræorum
oraculis consensionem aperiat. Verum ut alios prætereat, tanquam
minus hoc loco necessarios, omnium coryphæum appellabit, quod
instar omnium Platone duntaxat uno, tanquam susceptæ disputationis
regula utendum esse videatur, quippe quem, uti reliquos unus omnes

τας ὑπερακοντίσας αὐτάρκης ἡμῖν ἔσεσθαι πρὸς τὴν τοῦ
4 ζητουμένου σύστασιν. Εἰ δέ που δέοι, σαφηνείας ἕνεκα τῆς τοῦ ἀνδρὸς διανοίας, καὶ τοῖς τὴν κατ' αὐτὸν ἐζηλωκόσι φιλοσοφίαν μάρτυσι χρήσομαι, τὰς αὐτῶν ἐκθη-
[299] 5 σόμενος φωνὰς ἐπὶ συστάσει τοῦ προκειμένου. Τετη- c
ρήσθω δέ μοι, τὸ μὴ πάντ' ἐπιτυχῶς εἰρῆσθαι τῷ ἀνδρὶ, εἰ καὶ τὰ πλεῖστα αὐτῷ σὺν ἀληθείᾳ ἐκπεφώνηται. Ὃ δὴ καὶ αὐτὸ κατὰ τὸν δέοντα καιρὸν παραστήσομεν, οὐκ αὐτοῦ διαβολῆς, ἀπολογίας δὲ ἡμετέρας χάριν, δι' ἣν τὴν βάρβαρον φιλοσοφίαν τῆς Ἑλληνικῆς ὁμολογοῦμεν προησμενικέναι.

1 Εἰς τρία διελόντος μέρη τοῦ Πλάτωνος τὸν πάντα d
τῆς φιλοσοφίας λόγον, εἰς φυσικὸν, ἠθικὸν, λογικόν· εἶτ' αὖ πάλιν τὸν φυσικὸν διελομένου εἴς τε τὴν τῶν αἰσθητῶν θεωρίαν, καὶ τὴν τῶν ἀσωμάτων κατανόησιν· εὕροις ἂν καὶ παρ' Ἑβραίοις τὸ τριμερὲς τοῦτο τῆς δι-

b 7. ἔσεται] ἔσεσθαι B.C.D.E.F.G.I. Vigeri margo. c 2. τετηρήσθω] τετηρείσθω C.D.E.F.G. Hinc usque ad ἀνδρὶ om. B. Mox πάντ' ἐπὶ πάντ' F. d 5. διελόντος] διελόντες D. 7. εἶτ' αὖ om. F.

eruditionis gloria longe multumque superavit, ita satis omnino per sese nobis, ad hanc quæstionem definiendam et constituendam futu-
4 rum putemus. Quod sicubi ad illustrandam hominis sententiam opus fuerit, eorum etiam, qui ad ipsius philosophiæ rationem adhæsere, testimonia proferam, ipsissimis eorum verbis ad majorem propositi
5 argumenti fidem certitudinemque productis. Cæterum ut is vere pleraque pronuntiarit, illud observari tamen ac retineri velim, non eum semper in omnibus recte, atque uti res postulabat, philosophatum esse. Quod ipsum quoque suo loco demonstrabimus, non utique criminandi hominis animo, sed consilii nostri defendendi caussa, qui barbaram a nobis philosophiam Græca potiorem habitam esse fateamur.

1 Ac primum quidem, cum tres in partes a Platone universa philosophiæ ratio dividatur, in naturam, mores, ac disserendi vim: deinde pars illa rursus quæ de natura disputat, in eorum quæ sensibus usurpantur tractationem, et naturarum corporis expertium intelligentiam ab eodem tribuatur: apud Hebræos quoque tripartitum illud doctrinæ

δασκαλίας εἶδος, ὅτι δὴ καὶ παρ' αὐτοῖς τὰ ὅμοια πρό-
2 σθεν ἢ Πλάτωνα γενέσθαι πεφιλοσόφητο. Πρῶτον δὲ τῶν Πλάτωνος ἀκοῦσαι ἄξιον, εἶθ' οὕτω καὶ τὰ Ἑβραίων p. 509
ἐπισκοπῆσαι. Θήσω δὲ τὰ ἀρέσκοντα Πλάτωνι ἀπὸ τῶν τὰ αὐτοῦ πρεσβευόντων, ὧν Ἀττικὸς διαφανὴς ἀνὴρ τῶν Πλατωνικῶν φιλοσόφων ὧδέ πη τὰ δοκοῦντα τῷ ἀνδρὶ διέξεισιν, ἐν οἷς ἵσταται πρὸς τοὺς διὰ τῶν Ἀριστοτέλους τὰ Πλάτωνος ὑπισχνουμένους.

ΑΤΤΙΚΟΥ 2 Τριχῇ τοίνυν διαιρουμένης τῆς ἐντελοῦς φιλοσοφίας, εἴς τε b
τὸν ἠθικὸν καλούμενον τόπον, καὶ τὸν φυσικὸν, καὶ ἔτι τὸν λογικόν· καὶ τοῦ μὲν πρώτου κατασκευάζοντος ἡμῶν ἕκαστον καλὸν καὶ ἀγαθὸν, καὶ τοὺς οἴκους ὅλους εἰς τὸ ἄριστον ἐπανορθοῦντος, ἤδη δὲ καὶ δῆμον σύμπαντα πολιτείᾳ τῇ διαφε- c
ρούσῃ καὶ νόμοις τοῖς ἀκριβεστάτοις κοσμοῦντος· τοῦ δευτέρου δὲ πρὸς τὴν περὶ τῶν θείων γνῶσιν διήκοντος, αὐτῶν τε τῶν πρώτων, καὶ τῶν αἰτίων, καὶ τῶν ἄλλων, ὅσα ἐκ τούτων γίνεται, ἃ δὴ περὶ φύσεως ἱστορίαν ὁ Πλάτων ὠνόμακεν· εἰς

pen. πεφιλοσόφηται] πεφιλοσόφητο C.F.G.I. ult. ἀκοῦσαι ἄξιον] ἀκουστέον B. ἐπακοῦσαι C.F.G.
p. 509. ἐπισκοπῆσαι] ἐπισκοπητέον B. 2. τὰ αὐτοῦ] τὰ om. E.I. 5. τῷ ἀνδρὶ om. B.C.F.G. b 5. τρόπον] τόπον C.F.G.I. Mox ἔτι om. B. 7. καὶ ἀγ.] καὶ om. B. c 5. τῶν αἰτ.] τῶν om. B. 6. τούτων] τούτου B.C.F.G. 7. εἰς δὲ—παραλαμβανομένου om. B.

genus reperias, quod nimirum antequam Plato nasceretur, affinia
2 prorsus ac gemina disputarint. Ac Platonem quidem ipsum in primis audiamus, tum Hebraica dogmata contemplemur. Nos vero Platonis hoc in genere sententiam, ex eorum qui studiosissime hominis decreta defendunt, eruemus. Ex iis autem Atticus, vir Platonicos inter philosophos clarissimus, hunc in modum mentem ipsius doctrinamque persequitur, ubi adversus illos disputat, qui Aristotelis doctrina Platonis sese philosophiam tueri profitentur.

2 Cum igitur, inquit, tres in partes integra perfectaque philosophia dividatur, hoc est in morum, naturæ, disserendique doctrinam; quarum prima illa non singulos modo nostrûm bonos ac probos efficiat, verum etiam familias integras ad castissimam vitæ rationem informet, adeoque populum universum excellenti quodam reipublicæ genere, et accuratissimis legibus instituat: secunda vero ad rerum divinarum cognitionem ita pertineat, uti simul et principes illas caussasque cæterarum, quæque ex illis fiunt reliquas omnes contempletur, quam naturæ historiam Plato nuncupavit: tertia

δὲ τὴν περὶ τούτων ἀμφοτέρων διάκρισίν τε καὶ εὕρεσιν τοῦ ATTIKOY
2 τρίτου παραλαμβανομένου· ὅτι μὲν Πλάτων πρῶτος καὶ μάλιστα συναγείρας εἰς ἓν πάντα τὰ τῆς φιλοσοφίας μέρη, τέως ἐσκεδασμένα καὶ διερριμμένα ὥσπερ τὰ τοῦ Πενθέως μέλη, καθάπερ εἶπέ τις, σῶμά τι καὶ ζῷον ὁλόκληρον ἀπέ- d
3 φηνε τὴν φιλοσοφίαν, δῆλα παντὶ λεγόμενα. Οὔτε γὰρ οἱ περὶ Θαλῆν, καὶ Ἀναξιμένην, καὶ Ἀναξαγόραν, καὶ ὅσοι κατὰ ταυτὸ γεγόνασι τούτοις, ἀγνοοῦνται περὶ μόνην τὴν ὑπὲρ τῆς φύσεως τῶν ὄντων σκέψιν διατρίψαντες· οὐ μὴν οὐδὲ Πιττακὸς, καὶ Περίανδρος, καὶ Σόλων, καὶ Λυκοῦργος, καὶ οἱ παραπλήσιοι τούτοις, λανθάνουσί τινας τὴν αὐτῶν φιλοσοφίαν εἰς πολιτείαν καταθέντες. Ζήνων δὲ, καὶ πᾶν τὸ Ἐλεατικὸν τοῦτο διδασκαλεῖον, καὶ αὐτὸ γνώριμον ἐπὶ τῇ
4 τέχνῃ τῶν λόγων μάλιστα σπουδάσαν. Τούτοις δὲ ἐπιγενόμενος Πλάτων, ἀνὴρ ἐκ φύσεως ἀρτιτελὴς, καὶ πολὺ οἷα p. 510
διενεγκὼν, κατάπεμπτος ὡς ἀληθῶς ἐκ θεῶν, ἵν᾽ ὁλόκληρος ὀφθῇ ἡ δι᾽ αὐτοῦ φιλοσοφία, παρῆκέ τε οὐδὲν, καὶ ἕκαστα ἠκρίβωσε, μήτε ἐλλείπων πρὸς τὸ ἀναγκαῖον, μήτε πρὸς τὸ

c 14. σῶμά τε] σώματι B.C.E. ἴσ. τι pro τε Vigeri margo, et sic D. F.G.I. d 4. κατὰ ταυτὸ] κατ᾽ αὐτὸ B. qui mox om. περὶ μόνην— καταθέντες. κατὰ ταυτὸν Viger. 10. καταθέντες] καταπιθέντες D. θέντες F. 11. τὸ ἐλεατικὸν τοῦτο] τὸ τοιοῦτον B. ult. σπουδάσαν] σπεῦσαν D.

p. 510. διενεγκὼν οἷα] οἷα δ. C.E.F.G.I. οἷα om. B. 5. πρὸς τὸ ἄχ.] περὶ C.F.G. Supra πρὸς ἀν. G.

denique ad certiorem superioris utriusque discussionem et inventionem
2 assumatur: Platonem extitisse, qui partes illas omnes philosophiæ dissipatas eatenus atque disjectas, sic tanquam Penthei membra, ut non nemo dixit, primus idem maximeque complexus, philosophiam in unius cujusdam corporis, atque integri animantis speciem conflaverit, ab omnibus prædicari
3 constat. Nemini quippe dubium est, quin Thales, Anaximenes, Anaxagoras, et quotquot præterea sub idem vixere tempus, in sola fuerint naturæ rerum consideratione versati. Pittacus autem, Periander, Solon, Lycurgus, ac cæteri id genus, suam omnem philosophiam in reipublicæ curam ac studium aperte contulerunt. Zeno denique et illa omnis Eleatica schola, quin
4 potissimum in disserendi artem incubuerit, nemo etiam est qui nesciat. At vero his omnibus Plato succedens, vir a natura partibus omnibus ac numeris absolutus, longeque cæteris antecellens, utpote deorum plane munere donoque missus, per quem integra tandem aliquando philosophia cerneretur, et præteriit omnino nihil, et singula suam ad maturitatem ita perduxit, ut neque necessarii quicquam desiderari, neque abripi sese ad

ATTIKOY

5 ἄχρηστον ἐξενεχθείς. Ἐπεὶ τοίνυν πάντων ἔφαμεν μετεῖναι τῷ Πλατωνικῷ, καὶ φυσιολογοῦντι, καὶ περὶ ἠθῶν λέγοντι, καὶ διαλεγομένῳ, φέρε, καθ' ἕκαστον ἐπισκεψώμεθα.

6 Ταῦτα μὲν ὁ Ἀττικός. Ἐπιμαρτυρεῖ δὲ τοῖς αὐτοῖς καὶ ὁ Περιπατητικὸς Ἀριστοκλῆς, ἐν ἑβδόμῳ συγγράμματι ὧν Περὶ Φιλοσοφίας συνέταξεν ὧδε λέγων πρὸς b ῥῆμα·

[360] ΑΡΙΣΤΟΚΛΕΟΥΣ

3 Ἐφιλοσόφησε δὲ Πλάτων, εἰ καί τις ἄλλος τῶν πώποτε, γνησίως καὶ τελείως. Οἱ μὲν γὰρ ἀπὸ Θαλοῦ φυσιολογοῦντες διετέλεσαν· οἱ δὲ περὶ Πυθαγόραν ἐπεκρύψαντο πάντα· c Ξενοφάνης δὲ καὶ οἱ ἀπ' ἐκείνου τοὺς ἐριστικοὺς κινήσαντες λόγους, πολὺν μὲν ἐνέβαλον ἴλιγγον τοῖς φιλοσόφοις, οὐ

2 μὴν ἐπόρισάν γε τινὰ βοήθειαν. Οὐχ ἥκιστα δὲ καὶ Σωκράτης, αὐτὸ δὴ τὸ λεγόμενον, ἐγένετο πῦρ ἐπὶ πυρὶ, καθάπερ αὐτὸς ἔφη Πλάτων. Εὐφυέστατος γὰρ ὤν, καὶ δεινὸς ἀπορῆσαι περὶ παντὸς ὁτουοῦν, ἐπεισήνεγκε τάς τε ἠθικὰς καὶ πολιτικὰς σκέψεις, ἔτι δὲ τὴν περὶ τῶν ἰδεῶν πρῶτος

a 7. Πλατωνικῷ] Πλάτωνι D. 9. ἐπισκεψώμεθα] ἐπισκεψόμεθα D. 11. συγγράμματι ὧν περὶ] τῶν περὶ B. τῷ περὶ φιλοσοφίας ὧδε λέγων συγγράμματι D. 12. φυσιολογίας] φιλοσοφίας C.D.F.G.I. et sic legerat Trapezuntius. b. πρὸς ῥῆμα om. B. 6. θαλοῦ] θαλεῶ B.C.F.G. 7. διετέλεσαν] ἐτέλουν C.F.G. παρὰ D. pro περί. c. ἀπεκρ.] ἐπεκρ. C.D. F.G.I. Mox οἱ om. I. 2. ἐριστικὴν F. 3. ἐνέβαλον] ἐνέβαλλον D. 7. Πλάτων] Vid. Ast. ad Legg. II. 9. p. 120. 10. ἔτι] ἔπειτα F.G.

5 inania pateretur. Quoniam igitur Platonici philosophi propriam hanc trium illorum conjunctionem esse defendimus, uti de rerum natura disputet, de morum conformatione tractet, ac simul in disserendi facultate versatus sit, age, singula per sese videamus.

6 Hæc Atticus. Ad quæ Aristoclis Peripatetici testimonium accedit, qui libro septimo eorum quos De Natura conscripsit, conceptis verbis ita loquitur:

3 Plato, inquit ille, germanum perfectumque, si quisquam alius, philosophandi genus habuit. Nam Thaletis sectatores in naturæ disputationibus toti erant: Pythagorei texerunt atque involverunt omnia: Xenophanes ejusque discipuli suis illis argumentorum contentionibus, vertiginis pluri-

2 mum philosophis attulerunt, opis autem subsidiique nihil: Socrates maxime, ignem, quod ajunt, quodque Plato ipse dictitabat, igni addidit. Nam indole cum esset ingenioque singulari, adeoque de re qualibet quæstionem movere solerter in primis graviterque posset, novas ipse de moribus, deque republicâ disputationes invexit, imo etiam de ideis agere omnium primus instituit: eundem vero nullo non excitato controversiæ

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

ἐπιχειρίσας ὁρίζεσθαι· πάντα δὲ ἐγείρων λόγον, καὶ περὶ πάν-
3 των ζητῶν, ἔφθη τελευτήσας. Ἄλλοι δ' ἀποτεμόμενοι μέρη d
τινὰ περὶ ταῦτα διέτριψαν, οἱ μὲν ἰατρικὴν, οἱ δὲ τὰς μαθημα-
τικὰς ἐπιστήμας, ἔνιοι δὲ περὶ τοὺς ποιητὰς, καὶ τὴν μουσικήν.
Οἱ μέντοι πολλοὶ τὰς τῶν λόγων δυνάμεις ἐθαύμασαν, ὧν οἱ
4 μὲν ῥήτορας, οἱ δὲ διαλεκτικοὺς προσεῖπον ἑαυτούς. Οἱ μέν-
τοι Σωκράτην διαδεξάμενοι καὶ πάνυ τινὲς ἐγένοντο παντοῖοι,
καὶ ὑπεναντίοι τὰς γνώμας. Οἱ μὲν γὰρ κυνισμοὺς, καὶ ἀτυ-
φίας, καὶ ἀπαθείας ὕμνουν· ἄλλοι δ' αὖ πάλιν ἡδονάς. Καὶ
5 οἱ μὲν εἰδέναι πάντα ἐκόμπαζον· οἱ δὲ ἁπλῶς μηθέν. Ἔτι
δ' οἱ μὲν ἐν μέσῳ καὶ ἐν ὄψει πάντων ἐκαλινδοῦντο, τοῖς πολ- p. 511
λοῖς ἐξομιλοῦντες· ἄλλοι δ' αὖ τοὐναντίον ἀπρόσιτοι καὶ
6 ἀπροσαύδητοι διετέλουν ὄντες. Πλάτων μέντοι κατανοήσας
ὡς εἴη μία τις τῶν θείων καὶ ἀνθρωπίνων ἐπιστήμη, πρῶτος
διεῖλε, καὶ ἔφη τὴν μέν τινα περὶ τῆς τοῦ παντὸς φύσεως
εἶναι πραγματείαν, τὴν δὲ περὶ τῶν ἀνθρωπίνων, τρίτην δὲ
7 τὴν περὶ τοὺς λόγους. Ἠξίου δὲ μὴ δύνασθαι τὰ ἀνθρώπινα
κατιδεῖν ἡμᾶς, εἰ μὴ τὰ θεῖα πρότερον ὀφθείη· καθάπερ

c 10. ἐπιχειρήσας] ἐπιχειρίσας B.D. Tum πάντα δὲ—ἐξομιλοῦντες om. B. d 9. ὑπεναντίοι om. D. qui infra τυφίας.
p. 511. ἐκαλιν.] ἐκυλιν. C.F.G. 2. ἀπροσαύδητοι] ἀπροσάβδητοι B. –άνδητοι C. καὶ ἀπροσ. om. D. Mox ὄντες om. B. 4. ἡ τῶν] ἡ om. C.D.G. 5. ἀνθρωπίνων] ἀνθρωπείων B.C.F.G. et infra bis. Mox πρῶτον B. 9. ἀνθρώπινα] ἀνθρώπεια I.

genere, deque omnibus quærentem adhuc atque dubitantem mors occu-
3 pavit. Jam alii quas sibi quisque particulas absciderant, in iis hæsere
perpetuo: atque ita nonnulli medicinam, disciplinas alii mathematicas,
poeticam alii musicamque sectati sunt. Plerique disserendi vi ac facultate
4 capti, quorum alii sese rhetores, dialecticos alii nuncuparunt. Nam qui
Socrati successere, cum multiplices admodum ac varii fuere, tum etiam
opinionibus maxime contrarii. Nam alii cynicum sordidumque vitæ genus,
simplicem, et ab omni perturbationis sensu vacuum animum: voluptates
alii contra prædicabant. Hi sese omnia scire, jactabant, illi plane nihil.
5 Quidam in media turba atque omnium oculis volvebantur, cum infima
6 plebe assidui: alios adire nemo, nemo alloqui potuisset. At Plato cum
unam eandemque divinarum esse humanarumque rerum scientiam probe
intelligeret, eam primus ita digessit, ut partem illius unam explicandæ uni-
versi naturæ, alteram rerum humanarum tractationi, conformandæ orationi
7 tertiam postremamque tribueret. Cæterum, nisi divina perspecta prius et
cognita habeamus, pervideri a nobis humana non posse statuebat. Quem-

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

γὰρ οἱ ἰατροὶ μέρη τινὰ θεραπεύοντες ἐπιμελοῦνται τῶν ὅλων b σωμάτων πρῶτον, οὕτω χρῆναι καὶ τὸν μέλλοντα τἀνθάδε κατόψεσθαι, τὴν τῶν ὅλων φύσιν εἰδέναι πρότερον· μέρος τε εἶναι τῶν ὄντων τὸν ἄνθρωπον· καὶ τἀγαθὸν διττὸν, τὸ μὲν ἡμέτερον, τὸ δὲ τοῦ παντὸς, κυριώτερον δὲ τὸ τοῦ παντός·
8 διὰ γὰρ ἐκείνου καὶ τοῦτο γίγνεσθαι. Φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς Ἰνδῶν εἶναι τὸν λόγον τοῦτον. Ἀθήνησι γὰρ ἐντυχεῖν Σωκράτει τῶν ἀνδρῶν ἐκείνων ἕνα τινὰ, κἄπειτα αὐτοῦ πυνθάνεσθαι, τί ποιῶν φιλοσοφοίη· τοῦ δὲ εἰπόντος, ὅτι ζητῶν περὶ τοῦ ἀνθρωπίνου βίου, καταγελάσαι τὸν Ἰν- c δὸν, λέγοντα μὴ δύνασθαί τινα τὰ ἀνθρώπινα καταλαβεῖν,
9 ἀγνοοῦντά γε τὰ θεῖα. Τοῦτο μὲν οὖν εἰ ἀληθές ἐστιν οὐκ ἂν δύναιτό τις διατεινόμενος εἰπεῖν. Διεῖλε δ' οὖν ὁ Πλάτων τήν τε περὶ τῶν ὅλων φιλοσοφίαν, καὶ τὴν πολιτικὴν, ἔτι δὲ τὴν λογικήν.

10 Τοιαύτης οὔσης τῆς κατὰ Πλάτωνα φιλοσοφίας, και-

b 3. μέρος τε] μέρος τε εἶναι B.C.D.F.G.I. 6. κυριώτερον—παντὸς om. B.C.F.G. 7. ἐκείνου] ἴσ. ἐκεῖνο Vigeri margo. γίνεσθαι] γίγνεσθαι B.I. 10. ἕνα] ὄντα C.G. ὄν τινα pro ἕνα τινὰ F. 11. φιλοσοφοίη] φιλοσοφῶν B. φιλοσοφώη C.D.F.G. εἰπόντος] εἰπὼν B. c. ἀνθρωπίνου] ἀνθρωπείου D.G. ἀνθρωπείνου I. 3. κατιδεῖν] μεταλαβεῖν B. καταλαβεῖν D. Mox γε om. I. 4. οὖν εἰ] εἰ om. D. 6. πλάτων] ὁ πλ. B.C.D.F.G.I. 7. λογικὴν] Addunt B.D. σκεπτέον δὲ καὶ τὰ Ἑβραίων μακρῷ πρόσθεν ἢ Πλάτωνα γενέσθαι τὸν ὅμοιον τρόπον τῆς τριμερείας διῃρημένα.

admodum enim medici, uti partibus quibusdam medeantur, in totius ante corporis curationem incumbunt: ita prorsus, qui res nostras intueri velit, universi naturam prius ei cognoscendam esse: cum illius pars quædam homo sit, atque ex bonis duobus, quorum alterum ad nos, ad universum alterum pertinet, præcipuum sit universi bonum, quod alterum ejus caussa
8 procreetur. Atque hanc Indorum esse rationem Aristoxenus musicus testatur: quippe, unum ex ea natione aliquem Athenis congressum esse cum Socrate, ex eoque sciscitatum, quid agendum sibi rerum esset, uti philosopharetur: quo respondente, de humanæ vitæ rationibus quærendum ipsi et cogitandum esse; tum vero risisse Indum, cum negaret humana
9 quenquam pervidere posse, qui divinorum ignoratione laboraret. Id porro verum sit, necne, ut maxime contendat, statuere nemo potest. Interea Plato philosophiam, in eam quæ de universo disputaret, in civilem, ac disserendi magistram partitus est.

10 Cum igitur ea Platonicæ philosophiæ ratio sit, tempus est ut

ρὸς καὶ τὴν Ἑβραίων ἐπισκέψασθαι, μακρῷ πρόσθεν ἢ Πλάτωνα γενέσθαι τὸν ὅμοιον πεφιλοσοφηκότων τρόπον. Εὕροις δ᾽ οὖν καὶ παρ᾽ αὐτοῖς τήνδε σύμφωνον d τὴν τριμέρειαν ἠθικῶν τε καὶ λογικῶν καὶ φυσικῶν μαθημάτων, τόνδε ἐπιστήσας τὸν τρόπον.

4 Τὰ μὲν οὖν ἠθικὰ πρώτιστα πάντων φιλοτίμως ἐσπουδασμένα παρ᾽ αὐτοῖς ἔργοις πολὺ πρότερον τῶν λόγων μάθοις ἂν τὰ κατὰ τοὺς ἄνδρας διασκοπούμενος. Ἐπεὶ καὶ τέλος ἀγαθῶν, τοῦ τε μακαρίως ζῆν ὕστατον ὅρον, [301] τὴν εὐσέβειαν, τήν τε διὰ τῆς τῶν ἠθῶν κατορθώσεως πρὸς τὸν Θεὸν φιλίαν ἠγάσαντό τε καὶ μετεδίωξαν· p. 512 ἀλλ᾽ οὐ σωμάτων ἡδονήν, κατ᾽ Ἐπίκουρον· οὐδ᾽ αὖ τὴν τριγένειαν τῶν ἀγαθῶν, κατ᾽ Ἀριστοτέλην, τὰ περὶ σῶμα καὶ τὰ ἐκτὸς ἐν ἴσῳ τοῖς τῆς ψυχῆς ἀγαθοῖς ἐκτε-
2 τιμηκότα. Οὐ μὴν οὐδὲ τὴν ἐσχάτην ἄγνοιάν τε καὶ ἀμαθίαν, ἣν ὀνόματι σεμνοτέρῳ τινὲς ἐποχὴν ἀνειρήκασιν· ἀλλ᾽ οὐδ᾽ αὖ τῆς ψυχῆς τὴν ἀρετήν· πόση γὰρ ἐν

d. τήν τε] τήνδε C.F.G. ult. τῆς τῶν] τὴν τῶν B. qui mox om. κατορθώσεως.
p. 512. ἠγάσαντο] ἡγήσαντο F.G.I. μετεδίωξαν] κατεδίωξαν C.G.
4. σῶμα] σώματα D. 8. ἀνειρήκασιν] ἀνηρήκασιν D.

Hebræorum quoque philosophiam contemplemur, qui profecto longe antequam Plato nasceretur, persimile philosophandi genus habuerunt. Enimvero tripartitam apud eos, cumque Platonica illa congruentem disciplinarum, vel ad mores, vel ad vim disserendi, vel ad naturam ipsam pertinentium divisionem reperias, si de re tota hunc in modum cogitare velis.

4 Ac præ cæteris quidem omnibus, ea quæ morum ad disciplinam pertinent, summo quodam ab illis præcipuoque studio, longeque ante rebus ipsis culta esse quam verbis, si eorum instituta scrutari placet, intelliges. Nam et bonorum ipsi finem, et summum beate vivendi terminum, pietatem, et profectam ex morum integritate cum Deo conjunctionem, tam diligenter persequuti sunt, quam complexi vehementer. Non jam corporis voluptatem, ut Epicurus: non triplex illud Aristotelis bonorum genus, qui corporis fortunæque bona,
2 eodem in loco pretioque, quo animi opes habuit: non summam illam rerum imperitiam et ignorantiam omnium, quam nonnulli honestiore

ἀνθρώποις αὕτη, καὶ τί καθ' ἑαυτὴν ἄνευ Θεοῦ πρὸς τὸν
ἄλυπον συντείνοι ἂν βίον; Δι' ὃν τὰ πάντα τῆς εἰς τὸν
Θεὸν ἐλπίδος, πείσματος ὥσπερ ἀρραγοῦς, ἐξάψαντες, b
3 τὸν θεοφιλῆ μόνον ἀπέφηναν εἶναι μακάριον. Ὅτι δὴ
ὁ πάντων ἀγαθῶν ταμίας Θεὸς, ζωῆς ὢν πάροχος καὶ
αὐτῆς ἀρετῆς πηγὴ, τῶν τε περὶ σῶμα καὶ τῶν ἐκτὸς
ἁπάντων χορηγὸς ὑπάρχων, μόνος ἂν εἴη πρὸς τὸν μακά-
ριον βίον, τῷ τὴν πρὸς αὐτὸν φιλίαν διὰ τῆς παναληθοῦς
4 εὐσεβείας στειλαμένῳ, αὐτάρκης. Ἔνθεν ὁ πάνσοφος
Μωσῆς πρῶτος ἁπάντων ἀνθρώπων γραφῇ παραδοὺς τὸν
τῶν πρὸ αὐτοῦ θεοφιλῶν Ἑβραίων βίον, τὸν πολιτικὸν
ὁμοῦ καὶ πρακτικὸν δι' ὑφηγήσεως ἱστορικῆς ὑποτέθειται c
τρόπον. Ἧς ἀρχόμενος, ἀπὸ τῶν καθόλου τὴν διδα-
σκαλίαν ἐποιήσατο, Θεὸν τῶν ὅλων αἴτιον ὑποστησά-
μενος, κοσμογονίαν τε καὶ ἀνθρωπογονίαν ὑπογράψας.

a 11. δι' ὃν] ἴσ. δι' ὃ Vigeri margo. 12. πείσματος—παραδοὺς τὸν om. B. b 4. τῶν] τῶν τε C.D.F.G. 5. ὑπάρχων ἁπάντων D. 9. ἁπάντων] ἁπάντων ἀνθρώπων D.F.G.I. 10. τῶν πρὸ] ἀλλὰ καὶ τῶν πρὸ B. ἑβραίων] ἀνδρῶν C.D.G. ἀνδρείων F. Sed hic legisse videtur Trapezuntius Ἑβραίων et supra ἀνθρώπων post ἁπάντων, sic interpretatus: *qui primus omnium hominum vetustissimorum vitas Hebræorum conscripsit.* c 4. κοσμογ.—ὑπογράψας om. C.F.G. κοσμογονίαν τε D.I. τε om. edd.

quodam nomine assensionis retentionem appellarunt: non denique
virtutem ipsam animi: nam quantula tandem ipsa inter homines
futura esset, aut quid omnino, si Deum seponeres, ad vitam molestia
liberandam per sese posset? Quare divina ex fiducia, tanquam ex
fune quodam vi nulla rumpendo cuncta suspendentes, eum duntaxat
3 qui Deo carus esset, beatum esse statuerunt. Deus enimvero, uti
bonorum omnium dispensator, auctorque vitæ, nec modo fons virtutis
ipsius, verum etiam omnium tam corporis quam fortunæ bonorum
largitor est, ita solus ei ad beate vivendum satis omnino fuerit, qui
4 ejus in amicitiam vera sit ac solida pietate susceptus. Quo factum
etiam est, uti sapientissimus ille Moses, quum primus omnium, Hebræorum illorum vitam, qui ante sese divinæ hujus amicitiæ participes fuerant, scriptis mandaret, non reipublicæ modo, sed etiam instituendæ vitæ formam, historica narratione complexus sit. Cujus doctrinæ ab universi rationibus initium duxit, rerum omnium auctorem Deum statuens, dum mundi simul et hominis ortum molitionemque

5 Εἶθ' οὕτως ἀπὸ τῶν καθόλου ἐπὶ τὰ κατὰ μέρος προελ-
θὼν τῷ λόγῳ, καὶ διὰ τῆς τῶν παλαιῶν ἀνδρῶν μνήμης
εἰς τὸν τῆς ἐκείνων ἀρετῆς τε καὶ θεοσεβείας ζῆλον τοὺς
φοιτητὰς παρορμήσας, οὐ μὴν ἀλλὰ καὶ αὐτὸς αὐθέν-
της νόμων εὐσεβῶν τῶν πρὸς αὐτοῦ τεθέντων ἀποφαν-
θεὶς, κατὰ πάντα δῆλος ἂν εἴη τοῦ φιλοθέου τρόπου διὰ d
τῆς τῶν ἠθῶν ἐπιμελείας πρόνοιαν πεποιημένος, ὥσπερ
οὖν καὶ τοῦτο προλαβὼν ὁ λόγος ἐν τοῖς πρόσθεν φανε-
6 ρὸν κατεστήσατο. Μακρὸν δ' ἂν εἴη καὶ τοὺς ἑξῆς
μετὰ Μωσέα προφήτας, τούς τε τούτων προτρεπτικοὺς
μὲν ἀρετῆς ἀποτρεπτικοὺς δὲ κακίας ἁπάσης λόγους, ἐν
τῷδε καταβάλλεσθαι. Τί δ' εἴ σοι τοῦ σοφωτάτου
Σολομῶντος τὰς ἠθικὰς παραφέροιμι διδασκαλίας, αἷς
καὶ οἰκεῖον λόγον ἀνέθηκε, σύγγραμμα Παροιμίας ἐπο-
νομάσας, ἐπιτόμους γνώμας ἀποφθέγμασιν ἐοικυίας ὑπο-
7 θέσει περιλαβὼν μιᾷ; Καὶ τὸν μὲν ἠθικὸν τρόπον

c 11. *πρὸς αὐτοῦ*] *πρὸ αὐτοῦ* B.C.D.F.G. Tum *τεθέντων* C.D.F.G.I. Trapezuntius: *Præterea cum legum etiam autor summa cum pietate fuerit.* d. *πρόνοιαν πεποιημένος*] *προνοούμενος* B.D. 3. *πρόσθεν*] *ἔμπροσθεν* B. 4. *καὶ τοὺς*] *καὶ* om. B. qui mox om. *ἑξῆς—τούτων*. 6. *μὲν ἀρετῆς—καταβάλλεσθαι*] *μὲν λόγους εἰς ἀρετὴν τῶν μετὰ μωσέα προφητῶν εἰπεῖν* B. *λόγους εἰς ἀρετὴν* omisso infra *λόγους* D. 8. *Σολομῶνος* F.G. 10. *οἷς καὶ οἰκείων λόγων*] *αἷς καὶ οἰκεῖον λόγον* B. *οἰκεῖον λόγον* item D. *ἴσ. αἷς* Vigeri margo.

5 delineat. Tum ab universis illis ad singulares oratione delapsus,
dum renovanda priscorum illorum memoria lectores auditoresque
suos ad ipsorum virtutem ac religionem imitandam extimulat; imo
dum ipsemet legum sanctissimarum auctorem simul latoremque pro-
fitetur, quam studiose illam hominis cum Deo consuetudinem, su-
scepta morum censura promoverit, aperte omnibus palamque testatur,
6 uti jam superioribus libris ostendimus. At longum sane foret, cum
alios deinceps prophetas, qui Mosem sequuti sunt, tum singulos
ipsorum, quibus vel ad virtutem adhortantur, vel dehortantur a vitiis
orationes hoc in volumen includere. Quid porro, si tibi moralia
sapientissimi Salomonis præcepta commemorem, quibus peculiare
quoddam familiarium dictorum opus addictum voluit, quæ proverbia
nuncupavit, concisas brevesque sententias apophthegmatum similes,
7 uno quodam argumenti genere complexus? Atque ita Hebræi jam

ταύτῃ πῃ παῖδες Ἑβραίων, ἐκ παλαιῶν πρὶν ἢ καὶ τὰ p. 513
πρῶτα στοιχεῖα μαθεῖν Ἕλληνας, αὐτοί τε ἐπαιδεύοντο, καὶ τοῖς προσιοῦσι τῆς αὐτῆς ἀφθόνως ἐκοινώνουν παιδείας.

5 Καὶ τὸν λογικὸν δὲ τρόπον τῆς Ἑβραίων φιλοσοφίας,
οὐ, καθάπερ Ἕλλησι φίλον, δεινότητι σοφισμάτων καὶ b
λογισμοῖς πρὸς ἀπάτην τετεχνασμένοις δεῖν ᾤοντο μετιέναι, καταλήψει δὲ αὐτῆς ἀληθείας, ἣν ὑπὸ θείου φωτὸς τὰς ψυχὰς καταυγασθέντες οἱ παρ' αὐτοῖς θεόσοφοι
2 εὗρόν τε καὶ ἐφωτίσθησαν. Ἐφ' ἣν ἀκουῶντες τοὺς τὰ οἰκεῖα μαθήματα παιδευομένους, λόγων τε αὐτοῖς ἱερῶν ἀπαγγελίας, ἱστοριῶν τε σεμνῶν διηγήματα, ᾠδῶν τε καὶ ἐπῳδῶν ἐμμέτρους συνθέσεις, καὶ ἔτι προβλήματα καὶ αἰνίγματα, καί τινας σοφὰς καὶ ἀλληγορικὰς θεωρίας
μετὰ κάλλους εὐεπείας, καὶ τῆς κατὰ τὴν οἰκείαν γλῶτ- c
ταν εὐφραδοῦς ἀπαγγελίας, ἐξ ἔτι νηπίας αὐτοῖς πα-

ult. πρὶν ἢ] ἢ om. C.
p. 513. b 2. ᾤοντο] ᾤετο B. 4. θείου] τοῦ θείου D. Tum τὰς om. E. 5. εὗρόν τε] εὕραντό τε B.D.F.G. 6. ἀκουοντες—παθήματα D. 7. λόγων—εὐεπείας om. B. 8. τε σεμνῶν τε G. 11. θεωρίας] καὶ θεωρίας E. c 2. ἀπαγγελίας] εὐεπείας C.F.G. νηπίας] νηπίοις B.

olim, priusquam Græci prima elementa didicissent, cum optimis ipsi moribus instituti sunt, tum in ejusdem etiam disciplinæ communionem, quotquot sese convenirent, prolixe admodum ac liberaliter acceperunt.

5 Jam vero partem illam philosophiæ, quæ in disserendi ratione versatur, non contortis sophismatis, et fallacibus conclusiunculis, ut Græci solent, excolendam ipsi tractandamque putaverunt, sed percipiendæ studio veritatis: ad quam ii sane, qui divinam apud illos sapientiam profitebantur, intelligentia diviniori luce collustrata, feli-
2 citer aspirarunt. Iidem, uti eorum etiam animos, quos disciplinis suis imbuendos suscipiebant, ad illam capessendam acuerent, sacras iis sententias, plenasque gravitatis et honestatis historias, cum modulatis alternisque carminibus, certa numerorum lege comprehensis, problemata insuper atque ænigmata, nonnullasque eruditas, et allegoriis involutas quæstiones, cum verborum elegantia, et suavi pro linguæ ratione dictionis lepore conjunctas, a teneris unguiculis inge-

3 ρεδίδοσαν ἡλικίας. Ναὶ μὴν καὶ τῶν πρώτων μαθημά-
των δευτερωταί τινες ἦσαν αὐτοῖς· (οὕτω δὲ φίλον τοὺς
ἐξηγητὰς τῶν παρ' αὐτοῖς γραφῶν ὀνομάζειν·) οἳ τὰ
δι' αἰνιγμάτων ἐπεσκιασμένα, εἰ καὶ μὴ τοῖς πᾶσι, τοῖς
[302] γοῦν πρὸς τὴν τούτων ἀκοὴν ἐπιτηδείοις, δι' ἑρμηνείας
4 καὶ σαφηνείας ἐξέφαινον. Ταύτῃ τοι πάλιν ὁ σοφώ-
τατος παρὰ τοῖσδε Σολομῶν, ἐνθένδε ποθὲν τὴν καταρ-
χὴν τοῦ τῶν Παροιμιῶν ἐποιήσατο συγγράμματος, μο- d
νονουχὶ τὴν αἰτίαν αὐτῷ τῆς γραφῆς ταύτην εἶναι διδά-
ξας, δι' ὧν αὐτοῖς ῥήμασι δεῖν ἔφησε πάντα ἄνδρα γνῶναι
σοφίαν καὶ παιδείαν, καὶ νοῆσαι λόγους φρονήσεως, δέ-
ξασθαί τε στροφὰς λόγων, νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ
κρίμα κατευθύνειν. Ἵνα δῷ, φησὶν, ἀκάκοις πανουργίαν,
παιδί τε νέῳ αἴσθησίν τε καὶ ἔννοιαν. Τῶνδε γὰρ ἀκούσας
σοφὸς σοφώτερος ἔσται, ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται·
νοήσει τε παραβολὴν, καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν,
5 καὶ αἰνίγματα. Καὶ τὰ μὲν τῆς τοῦ δηλωθέντος συγ-

c 6. ὀνομάζειν] ὀνομάζω B. αἰνιγμάτων] αἰνιγμῶν B.E.F. 10. ταύτῃ τοι] ταῦτα C. sine τοι. ταύτοι D. τοι om. F.G. Hinc usque ad διδάξας om. B. d 2. αὐτῷ τῆς γραφῆς] τῆς γραφῆς αὐτῷ C.F.G. 3. ῥήμασι] ῥήμασι πάλιν σολομῶν B. 5. καὶ παιδείαν] καὶ om. C.F.G. 9. αἴσθησιν] αἴσθησίν τε C.D.F.G. 11. κτήσεται] κτήσηται C. 13. καὶ τὰ μὲν—τινα ἦν] καὶ τὰ μὲν σολομῶντος τοιαῦτα τινα B. σολομῶντος item D. συγγράμματος om. C.F.G.

3 rebant. Imo primariarum etiam disciplinarum deuterotas quosdam
habuere, (sic enim literarum suarum interpretes vocare soliti erant)
qui res ænigmatis adumbratas, non vulgo quidem ac promiscue
omnibus, sed iis tamen qui ad eorum intelligentiam idonei censeren-
4 tur, illustriori explicatione aperirent. Id plane sequutus sapientis-
simus apud eos Salomon, inde quoque sui Proverbiorum operis
initium fecit, hac fere de caussa ad hoc scribendi genus adductum se
esse testatus, cum disertis conceptisque verbis oportere ait, *Quemlibet* Prov. 1.
hominem scire sapientiam, et disciplinam, et intelligere verba prudentiæ:
suscipere cavillationes sermonum, et intelligere justitiam veram, et judi-
cium dirigere. Ut det, inquit, *innocentibus astutiam, et adolescenti*
sensum, et intelligentiam. Hæc enim audiens sapiens, sapientior erit,
et intelligens gubernacula possidebit. Et animadvertet parabolam, et
5 *tenebrosum sermonem, verba sapientum, et ænigmata.* Quæ quidem

γράμματος ἐπαγγελίας τοιαῦτά τινα ἦν· τὰς δ' ἐν μέρει
τῶν λεχθέντων προτάσεις, καὶ τούτων τὰς ἐπιλύσεις, p. 514
τήν τε λογικὴν πραγματείαν οἰκείως τῇ τῶν ἀνδρῶν σο-
φίᾳ τε καὶ φωνῇ διὰ πασῶν τῶν παρ' αὐτοῖς προφητι-
κῶν γραφῶν φερομένην, ὅτῳ φίλον, τῆς τούτων ἐντεύ-
ξεως τὰς βίβλους ἐπὶ σχολῆς μετὰ χεῖρας λαβὼν εἴσε-
6 ται. Εἰ δέ τις καὶ τῆς γλώσσης αὐτῆς φιλοκάλως
γένοιτο ἐν πείρᾳ, ἴδοι ἄν, οἷα παρὰ βαρβάροις, ἄνδρας
λογικωτάτους, οὐδὲν σοφιστῶν οὐδὲ ῥητόρων ἀποδέοντας
7 τῇ οἰκείᾳ γλώσσῃ. Εἶεν δ' ἂν αὐτοῖς καὶ ἔμμετροι b
ποιήσεις, ὡς ἡ μεγάλη Μωσέως ᾠδή, καὶ τοῦ Δαβὶδ ὁ
ριη' Ψαλμὸς, τῷ καλουμένῳ παρ' Ἕλλησιν ἡρῴῳ μέ-
τρῳ συντεταγμένοι. Φασὶ γοῦν ἑξάμετρα εἶναι ταῦτα,
δι' ἑκκαίδεκα συλλαβῶν πεποιημένα. Καὶ τὰ λοιπὰ δὲ
τὰ παρ' αὐτοῖς στιχήρη δι' ἐπῶν λέγεται τριμέτρων τε
καὶ τετραμέτρων κατὰ τὴν οἰκείαν αὐτῶν συγκεῖσθαι

ult. τούτων τὰς] τὰς τούτων D. τὰς om. F.
p. 514. 5. ἐπὶ σχολῆς om. B.D. 6. γλώττης] γλώσσης B.C.F.G. et sic infra. Tum φιλοκάλως om. B.D. 8. οἷα om. C.F.G. 10. ἀλλ' οἰκείᾳ D. εἶεν δ' ἂν—συντεταγμένοι om. B. b. μεγάλη] μεγάλου D. b 4. φασὶ γοῦν] εἶναι δὲ παρ' αὐτοῖς φασι καὶ ἑξάμετρα, δι' B. Hunc locum respicit Julianus apud Cyrill. p. 222 a. 5. ἐνκαίδεκα F.

operis hujus promissa ejusmodi cum sint: tum vero singulas eorum
quæ dicta sint propositiones, earumque solutiones, illam denique dis-
serendi artem, cum hominum illorum sapientia linguaque congru-
entem, quæ passim in propheticis omnibus ipsorum literis existit,
observare quilibet poterit, qui modo libros orationis suæ monimenta
6 complexos otiose volutare ac perlegere voluerit. Præterea, si cui
forte honesta cupiditas ipsius quoque linguæ cognitionem pepererit,
agnoscet ille profecto viros, ut in barbara gente, disserendi peritis-
simos, qui nihil aut sophistis, aut oratoribus, pro linguæ suæ vi ac
7 ratione concedant. Habent illi quoque opera sua versuum numeris
comprehensa, cujusmodi est magnum illud Mosis carmen, Psalmus-
que Davidis centesimus decimus octavus, quod utrumque eo versuum,
quod heroicum Græci vocant, genere continetur. Quippe hexametris
syllabarum sedecim ambo constare dicunt. Reliqua vero carminum
apud eos genera, ex trimetris ac tetrametris versibus, pro linguæ suæ
8 proprietate, conflata perhibentur. Et dictionem illi quidem habent,

8 φωνήν. Καὶ τὰ μὲν τῆς λέξεως αὐτοῖς ὧδέ πη λογικῆς
συνέσεως ἔχει· τὰ δὲ δὴ τῆς διανοίας οὐδ' ἔστι παραβα-
λεῖν ἀνθρώποις· Θεοῦ γὰρ καὶ αὐτῆς ἀληθείας λόγια c
δι' αὐτῶν ἐκπεφωνημένα, θεσπίσματα, καὶ προρρήσεις,
μαθήματά τε εὐσεβῆ, καὶ τῆς τῶν ὄντων ἐπιγνώσεως
9 δόγματα περιειλήφασι. Τεκμήρια δ' ἂν λάβοις τῆς
παρὰ τοῖς ἀνδράσι λογικῆς ἀκριβείας ἀπὸ τῆς ὀρθότητος
τῆς τῶν ὀνομάτων θέσεως, ἧς πέρι καὶ ὁ Πλάτων τῇ
Ἑβραίων μαρτυρῶν δόξῃ δῆλος ἂν εἴη, καὶ κατ' αὐτό γε
τοῦτο σύμφωνος ὢν τῇ κατὰ τοὺς ἄνδρας φιλοσοφίᾳ,
ὡς γοῦν ἐκ τούτων διαγνῶναι ῥᾴδιον.

6 Πρώτου Μωσέως μακρῷ πρόσθεν ἢ τὸ φιλοσοφίας d
ὄνομα εἰς Ἕλληνας ἐλθεῖν διὰ πάσης αὐτοῦ τῆς γραφῆς
μυρία περὶ τῆς τῶν ὀνομάτων θέσεως πεπραγματευμέ-
νου, καὶ τοτὲ μὲν φυσικώτατα τῶν παρ' αὐτῷ πάντων
τὰς ἐπωνυμίας διατεταγμένου, τοτὲ δὲ τῷ Θεῷ τὴν κρί-

b 10. *δὲ δὴ*] *δὴ* om. B. *οὐδ' ἔστι παρακαλεῖν*] *οὐκ ἔστι παραλαβεῖν* B. *παραβαλεῖν* C.D.F.G.I. *ἴσ. παραβαλεῖν ἢ παραλαβεῖν* Vigeri margo. Trapezunt. *Quæ vero ad sensum nulli hominum scriptura comparanda.* c 3. *καὶ τὰ*] *καὶ τῆς* B.C.D.F.G.I. *καὶ τὰς* E. 4. *τεκμήρια—θέσεως* om. B. qui om. *περὶ* post *ἧς*. *τεκμήριον* D. 8. *καὶ κατ' αὐτό γε*] *καὶ ταὐτό γε τοῦτο* B. d 5. *τῆς φιλοσ.*] *τῆς* om. B.C.F.G. 8. *πεπραγματευμένου*] *πραγματευομένου* B.C.F.G. *πραγματευομένου* suprasc. *πεπραγματευμένου* D. Tum *ποτὲ* E.

eam disserendi vim ac solertiam includentem. Nam quæ ad sensum ejus sententiamque pertinent, ea cum hominibus conferre sit nefas: cum Dei ac veritatis ipsius oracula verbis illis expressa, responsa item prædictaque divina, cum disciplinis ad pietatem informantibus, et præceptis ad cognoscendam rerum naturam spectantibus complectan-
9 tur. Cæterum quam illi matura disserendi facultate præstent, ex recta nominum apud illos impositione conjicias. Quo etiam in genere ad Hebræorum opinionem suffragium quoque suum adjungit Plato, et cum eorum philosophia palam aperteque consentit, ut ex sequentibus intelligi facile poterit.

6 Mosem illum, qui longe antequam vel ipsum philosophiæ nomen auditum esset in Græcia, de nominum impositione tam sæpe tamque diligenter sua passim historia disputavit, quique partim eorum qui apud sese erant omnium, uti singulorum maxime natura postulabat, cognomenta statuit, partim eorum, ubi de viris sanctioribus ageretur,

σιν τῆς τῶν εὐσεβῶν ἀνδρῶν μετωνυμίας ἀναθέντος, φύσει τε ἀλλ' οὐ θέσει τὰ ὀνόματα κατὰ τῶν πραγμάτων κεῖσθαι πεπαιδευκότος, ἑπόμενος ὁ Πλάτων συμ- p. 515 φέρεται τοῖς αὐτοῖς, οὐκ ἄλλως ἢ βαρβάρων μνησθεὶς, καὶ παρὰ τοῖσδε φήσας τόνδε σώζεσθαι τὸν τρόπον, τάχα που τοὺς Ἑβραίους αἰνιττόμενος, ἐπεὶ μηδὲ παρ' ἑτέροις βαρβάροις ῥᾴδιον τὴν τοιάνδε παραφυλάξαι θεω-
2 ρίαν. Λέγει δ' οὖν ἐν Κρατύλῳ,

ΠΛΑΤΩΝΟΣ

Καὶ οὐ τοῦτο εἶναι ὄνομα ὃ ἄν τινες συνθέμενοι καλεῖν καλῶσι, τῆς αὐτῶν φωνῆς μόριον ἐπιφθεγγόμενοι, ἀλλ' ὀρθότητά τινα τῶν ὀνομάτων πεφυκέναι καὶ Ἕλλησι καὶ βαρβάροις τὴν αὐτὴν ἅπασι.

3 Καὶ προϊὼν ἑξῆς φησίν·

Οὐκοῦν οὕτως ἀξιώσεις καὶ τὸν νομοθέτην τόν τε ἐνθάδε καὶ b τὸν ἐν τοῖς βαρβάροις, ἕως ἂν καὶ τὸ τοῦ ὀνόματος εἶδος ἀποδιδῷ τὸ προσῆκον ἑκάστῳ ἐν ὁποιαισοῦν συλλαβαῖς, οὐδὲν [303] χείρω νομοθέτην εἶναι τὸν ἐνθάδε ἢ τὸν ὁπουοῦν ἄλλοθι.

p. 515. 2. ἄλλως] ἴσ. ἄλλων Vigeri margo. καὶ παρὰ—τρόπον om. B. 5. ῥᾴδιον τὴν τοιάνδε παραφυλάξαι θεωρίαν] ἡ τοιάδε παραφυλάττεται θεωρία B. 8. αὐτῶν] αὐτῆς B. 11. ἅπασι] ἅπασαν nescio an B. Tum καὶ προϊὼν—φήσας οὕτω om. B. b. ὀνομαθέτην] νομοθέτην C.D.E.F.G.I. et sic infra. 2. βαρβάροις] τοῖς βαρβάροις C.F. 5. ἀπ' οὐρανοῦ ἄλλοθεν] ὁπουοῦν ἄλλοθι C.F.G. ὁπουοῦν ἄλλοθεν I.

mutationem, divino totam arbitrio judicioque reservavit, quum abs natura potius, quam ex impositione quadam sua rebus singulis constare nomina intelligeret: principem hoc in genere ducemque sequutus Plato, eandem prorsus insistit viam, nec aliorum quam barbarorum mentionem facit, apud quos eam nominis imponendi rationem servari testatur; Hebræos, opinor, significans, cum apud alios sane
2 barbaros hoc studii solertiæque genus haud facile reperias. Enimvero docet in Cratylo,

Plato Crat. p. 383.

Nequaquam id nomen habendum esse, quod ex condicto mutuoque consensu, nonnulli unam aliquam linguæ suæ particulam effundentes indiderint: sed potius quandam nominum proprietatem rebus ipsis innatam esse, ejusdem omnino tam apud barbaros, quam apud Græcos rationis.

p. 390. 3 Ac deinceps ita pergit.

Statuas igitur, inquit, necesse est, quicunque vel hic vel inter barbaros nomina rebus imponat, eum quamdiu suum cuique ac proprium nomen imponet, quibuscunque demum syllabis utatur, nihilo deteriorem alterum altero nominum auctorem habendum esse.

4 Εἶθ' ἑξῆς πάλιν τὸν ἐπιστήμονα τῆς ὀρθότητος τῶν ὀνομάτων διαλεκτικὸν εἶναι φήσας καὶ νομοθέτην, οὕτω λέγει·

Τέκτονος μὲν ἄρα ἔργον ἐστὶν τὸ ποιῆσαι πηδάλιον ἐπιστατοῦντος κυβερνήτου, εἰ μέλλει καλὸν εἶναι τὸ πηδάλιον. ΠΛΑΤΩΝΟΣ

Φαίνεται.

5 Νομοθέτου δέ γε, ὡς ἔοικεν, ὄνομα, ἐπιστάτην ἔχοντος διαλεκτικὸν ἄνδρα, εἰ μέλλοι καλῶς ὄνομα τεθήσεσθαι. c

Ἔστι ταῦτα.

Κινδυνεύει ἄρα, ὦ Ἑρμόγενες, εἶναι οὐ φαῦλον, ὡς σὺ οἴει, ἡ τοῦ ὀνόματος θέσις, οὐδὲ φαύλων ἀνδρῶν, οὐδὲ τῶν ἐπιτυχόντων. Καὶ Κρατύλος ἀληθῆ λέγει, λέγων φύσει τὰ ὀνόματα εἶναι τοῖς πράγμασι, καὶ οὐ πάντα δημιουργὸν ὀνομάτων εἶναι, ἀλλὰ μόνον ἐκεῖνον τὸν ἀποβλέποντα εἰς τὸ τῇ φύσει ὄνομα ὂν ἑκάστῳ, καὶ δυνάμενον αὐτοῦ τὸ εἶδος τιθέναι εἴς τά τε γράμματα καὶ τὰς συλλαβάς.

6 Τοσαῦτα εἰπὼν, μετὰ πλεῖστα βαρβάρων αὖθις ἀνα- d

b 7. καὶ ὀνομαθέτην εἶναι φήσας] εἶναι φήσας καὶ νομοθέτην οὕτω C.F.G. νομοθέτην D.E.I. 8. λέγει] καὶ πάλιν λέγει B. 10. μέλλοι] μέλλει B.C.F.G.I. 11. ὀνομαθέτου] νομοθέτου B.C.E.F.G. c. μέλλοι] μέλλει G. 2. ὦ om. I. qui mox οἴεις. 4. ἀτυχούντων E. 6. τὰ] τὸ ed. Viger. 10. εἴς τε τὰ] εἰς τά τε C.E.F.G.I. 11. τοσαῦτα] ταῦτα F.G.

4 Tum ubi rursus eum, cui recta nominum ratio cognita sit atque perspecta, dialecticum verumque nominum auctorem appellavit, ita prosequitur,

Fabri quidem lignarii operæ fuerit, gubernatoris jussu clavum moliri, qui aptum modo clavum istum habere volet.

Fuerit sane.

5 Ergo legislatoris utique fuerit, ex hominis dialectici præceptis nomen imponere, si modo rite imponendum erit.

Sic est.

Tibi igitur, o Hermogenes, fatendum, opinor, erit, hanc nominum impositionem, non leve quiddam, ut existimas, nec vulgarium ac plebeiorum hominum opus esse. Adeoque vere dictum a Cratylo est, suum a natura rebus inesse nomen, nec artificem nominum quemvis esse posse, sed eum duntaxat, qui et innatum rei cuique nomen pervidere, et illius quasi formam literis deinde ac syllabis repræsentare possit.

6 Hæc ille. Tum pluribus interjectis, barbarorum iterum mentionem

φέρει τὴν μνήμην, κἄπειτα εἰς Ἕλληνας παρὰ βαρβάρων ἥκειν τὰ πολλὰ τῶν ὀνομάτων διαρρήδην ὁμολογεῖ, φάσκων αὐτοῖς ῥήμασιν·

ΠΛΑΤΩΝΟΣ

7 Ἐννοῶ ὅτι πολλὰ οἱ Ἕλληνες ὀνόματα, ἄλλως τε καὶ οἱ ὑπὸ τοῖς βαρβάροις οἰκοῦντες, παρὰ τῶν βαρβάρων εἰλήφασι.

Τί οὖν δή;

Εἴ τις ζητοίη ταῦτα κατὰ τὴν Ἑλληνικὴν φωνὴν ὡς ἐοικότως κεῖται, ἀλλὰ μὴ κατ' ἐκείνην ἐξ ἧς τὸ ὄνομα τυγχάνει ὄν, οἶσθα ὅτι ἀποροίη ἄν.

Εἰκότως.

8 Ταῦτα ὁ Πλάτων. Φθάνει γε μὴν αὐτὸν Μωϋσῆς, ὃς οἷα δὴ σοφὸς νομοθέτης ὢν ὁμοῦ καὶ διαλεκτικός, ἐπάκουσον τί φησί. *Καὶ ἔπλασεν ὁ Θεὸς ἐκ τῆς γῆς* p. 516
πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, ἰδεῖν, τί καλέσει αὐτά. Καὶ πᾶν ὃ ἂν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν,
9 *τοῦτο ἦν ὄνομα αὐτοῦ.* Διὰ γὰρ τοῦ φάναι *τοῦτο ἦν ὄνομα*

d. κἄπειτα] καὶ πάλιν ἐννοῶ ὅτι τὰ πολλὰ B. 5. Ἕλληνες ὀνόματα] ὀνόματα Ἕλληνες B. 7. ζητοίη] ζητοῖ I. 9. μὴ κατ'] μὴ om. B. qui mox om. οἶσθα ὅτι—τί φησι quorum loco habet ἄκουσον δὲ τοῦ μωσέως τί φησι. 10. ἀποροίη] ἀποροῖ E.I. 12. Μωϋσῆς] ὁ μοϋσῆς D. ὁ M. F.G. statim ὡς . . . δὲ D.

p. 516. 4. ἰδεῖν τι κ. α.] κ. α. ἰδεῖν C.F.G. ὃ ἂν] εἴ τι B. 6. αὐτοῦ] αὐτῷ B.D.

facit; deinde vim quoque nominum maximam a barbaris ad Græcos profectam esse, his ipsis verbis ingenue confitetur.

p. 409 e. 7 Equidem sic existimo, inquit, Græcos, eosque præsertim, qui sub barbarorum potestate vixerunt, pleraque nomina a barbaris accepisse.

Quid tum postea?

Nimirum, si quis quam illa recte apteque conveniant, ex Græcæ linguæ, non ex ejus unde natum quodque fuerit, proprietate quæret, eum utique hæsurum intelligis.

Et merito quidem.

8 Hactenus Plato. At illum sane Moyses antevertit, qui utpote sapientissimus non legislator modo, sed etiam dialecticus, hac de re
Gen. 2, 7. quid scribat accipe. *Formatis igitur*, inquit, *Deus de limo cunctis*
Gen. 2, 19. *animantibus terræ, et universis volatilibus cœli, adduxit ea ad Adam, ut videret quid vocaret ea: et omne quod vocavit Adam animæ viventis,*
9 *ipsum erat nomen ejus.* Cum enim ait, *ipsum erat nomen ejus*, quid

αὐτοῦ, τί ἄλλο ἢ κατὰ φύσιν τεθεῖσθαι τὰς προσηγορίας
παρίστησι; Τὸ γὰρ ἐπικληθὲν ἄρτι, φησὶ τοῦτο καὶ
πάλαι πρότερον ἐν τῇ φύσει περιέχεσθαι, εἶναί τε καὶ
προϋπάρχειν ἑκάστῳ τῶν ἐπωνομασμένων τοῦτο ὄνομα,
ὅπερ ὁ δηλούμενος ἄνθρωπος ἐπιθειάσας δυνάμει κρείτ- b
10 τονι τέθειται. Καὶ αὐτὸ δὲ τὸ Ἀδὰμ, Ἑβραῖον ὑπάρ-
χον ὄνομα, παρὰ τῷ Μωσεῖ τοῦ γηγενοῦς ἀνθρώπου
γένοιτ' ἂν ἐπώνυμον, ὅτι δὴ παρ' Ἑβραίοις Ἀδὰμ ἡ γῆ
καλεῖται, παρ' ὃ καὶ ὁ πρῶτος γηγενὴς ἐτύμως Ἀδὰμ
11 ὑπὸ Μωσέως ἀνείρηται. Ἔχοι δ' ἂν καὶ ἄλλην ἡ προσ-
ηγορία διάνοιαν, εἰς τὸ ἐρυθρὸν μεταλαμβανομένη, καὶ
τὴν τοῦ σώματος παριστῶσα φύσιν. Ἀλλὰ τὸν μὲν
γεώδη, καὶ γήϊνον, καὶ γηγενῆ, ἢ τὸν σωματικὸν καὶ c
σάρκινον ἄνθρωπον, τῷ τοῦ Ἀδὰμ ἐπεσημήνατο προσ-
12 ρήματι. Καλοῦσι δὲ καὶ ἄλλως παῖδες Ἑβραίων τὸν
ἄνθρωπον, Ἐνὼς ἐπονομάζοντες, ὃν δή φασιν εἶναι τὸν

a 7. τι ἄλλο etc.] τί ἢ ἄλλο ἢ κατὰ φύσιν παρίστησι τὰς προσηγορίας B. παρίστησι τὰς προσηγορίας G.F. 9. πάλαι πρότερον] πρότερον πάλαι B.D. 10. εἶναί τε—τέθειται om. B. b 2. ἑβραίων] ἑβραῖον B.C.D. 3. ὑπάρχον] ὑπάρχει B. ὑπάρχει^{ου} D. μωσῇ] μωσεῖ B.C. 4. γένοιτ' ἂν] γενόμενον B. γενόμενον in marg. γένοιτ' ἂν D. 6. ἐτύμως] ἑτοίμως B. om. C.F.G. 7. ἀνείρηται] ἀνήρηται B.D. 10. παριστῶσα] παριστῶσαν D. c. ἢ τὸν] ἢ om. B.C.F.G.

aliud quam appellationes, uti natura postulabat, inditas esse signi-
ficat? Quippe quod jamjam impositum nomen fuerat, idem multo
ante in ipsa natura inclusum fuisse, adeoque suam illam in appellato
quoque appellationem antegressam esse declarat, quam deinde vir
10 ille divino spiritu afflatus, vi quadam superiore imposuit. Quin ipsum
etiam Adami nomen, quod Hebraicum per sese est, jure apud Mosem
hominis e terra nati cognomentum censeatur, cum apud Hebræos
Adam terra nuncupetur: ex quo factum sit, ut qui primus e terra
11 natus erat, is a Mose Adamus vere ac proprie diceretur. Quanquam
et alia quoque appellationis hujus ratio esse potest, quasi ex rubro
colore ducatur, et corporis naturam repræsentet. Cæterum hominem
quidem Hebræi, sed terrenum, atque ex terra fictum natumque, vel
12 ex corpore carneque conflatum Adami nomine significant: at ho- Adam et Enos quî differant.
minem dum proprie appellare volunt, vocem Enos usurpare solent,

ἐν ἡμῖν λογικὸν, ἕτερον ὄντα τὴν φύσιν τοῦ γεώδους Ἀδάμ. Διάνοιαν δὲ περιέχει καὶ ὁ Ἐνὼς οἰκείαν, ἐπι-
13 λήσμων τῇ Ἑλλήνων ἑρμηνευόμενος φωνῇ. Τοιοῦτον δὲ πέφυκεν ὑπάρχειν τὸ ἐν ἡμῖν λογικὸν, τῆς πρὸς τὸ θνητὸν καὶ ἄλογον συμπλοκῆς ἕνεκα. Τὸ μὲν γὰρ πάντη καθαρὸν, καὶ ἀσώματον, καὶ θεῖον, καὶ λογικὸν, οὐ μόνον τῶν πρόσθεν γενομένων τὴν μνήμην, ἀλλὰ καὶ d τῶν μελλόντων ἔσεσθαι τὴν γνῶσιν, δι' ἄκραν ἀρετὴν θεωρίας περιείληφε. Τὸ δ' ἐν σαρξὶ πεπιλημένον, ὀστέοις τε καὶ νεύροις καταπεπαρμένον, ὄγκον τε μέγαν καὶ βαρὺν ἐπηχθισμένον τὸ σῶμα, λήθης πολλῆς καὶ ἀμαθίας συνιδὼν ὁ παρ' Ἑβραίοις λόγιος, εὐθυβόλῳ κέκληκε προσρήματι, Ἐνὼς ἐπονομάσας, ὅπερ δηλοῖ
14 τὸν ἐπιλήσμονα. Κεῖται γοῦν παρά τινι προφήτῃ, Τί ἐστι ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; Ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἀνθ' οὗ τὸ Ἑβραϊκὸν ἐπὶ μὲν τῆς πρώτης τοῦ ἀνθρώπου κλήσεως τὸ Ἐνὼς περιείληφεν·

c 9. τοιοῦτον δὲ—ἐπιλήσμονα om. B. 12. καὶ λογικὸν] καὶ om. C. F.G.I. d. ἔσεσθαι om. I. 3. καταπεπαραμένον] καταπεπαρμένον C. Vigeri margo. -παρμένων F G. 5. ἀμαθείας] ἀμαθίας C.F.G.I. Mox λόγιος pro λόγος C.F.G. 6. Ἑβραίοις] Ἑβραίων D. 10. μιμνήσκει F.G. et infra.

qua homo ille noster ratione præditus, atque ab terreno Adamo natura sejunctus exprimatur. Hoc etiam Enos singulare habet, ut imme-
13 morem Græca lingua significet. Enimvero id ei parti nostræ quæ adjunctam rationem habet, propter ejus cum mortali et rationis experte commercium, usu venit. Nam id sane, quod purum omnino, quod sine corpore, quod divinum ac ratione præditum est, non præteritorum modo memoriam, sed etiam futurorum cognitionem, ob vim contemplandi summam complectitur. Quod autem carni tanquam luto immersum est, quod ex ossibus nervisque compactum, quod imposito corpore, velut ingenti quadam mole oppressum, id cum Hebræus multa cum oblivione tum imperitia laborare intelligeret, Enos convenienti admodum, et oblivionem significante nomine appel-
Ps. 8, 5. 14 lavit. Et quidem apud aliquem prophetam legimus, *Quid est homo, quod memor es ejus? aut filius hominis, quoniam visitas eum?* Quo loco Hebraica lingua pro illa priori hominis appellatione, vocem

ὡσεὶ ἔλεγε σαφέστερον, τί οὗτός ἐστιν ὁ ἐπιλήσμων, [304] ὅτι σὺ, ὦ Θεὲ, μιμνήσκῃ αὐτοῦ, καίπερ ὄντος ἐπιλήσμονος; Τὸ δὲ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτὸν, p. 517 ἢ υἱὸς Ἀδὰμ κεῖται παρὰ τοῖς δηλουμένοις· ὡς εἶναι τὸν αὐτὸν καὶ Ἀδὰμ καὶ Ἐνώς· τοῦ μὲν σαρκικοῦ διὰ τοῦ Ἀδὰμ, τοῦ δὲ λογικοῦ διὰ τοῦ Ἐνὼς παρισταμένου.

16 Καὶ τὰ μὲν Ἑβραίων λόγια οὕτω πως διαιρεῖ τὴν ἐτυμολογίαν. Ὁ δὲ Πλάτων τὸν ἄνθρωπον τῇ Ἑλλήνων φωνῇ παρὰ τὸ ἀναθρεῖν φησὶ κεκλῆσθαι, λέγων,

ΠΛΑΤΩΝΟΣ

Ὁ δὲ ἄνθρωπος ἅμα ἑώρακε, τοῦτο δέ ἐστι ὄπωπε, καὶ ἀναθρεῖ καὶ λογίζεται τοῦτο ὃ ὄπωπεν, ἵνα ᾖ ἀναθρῶν ἃ b ὄπωπε.

17 Πάλιν Ἑβραῖοι τὸν ἄνδρα εἶς καλοῦσι. Παρῆκται δὲ αὐτοῖς τοὔνομα ἀπὸ τοῦ Ἔς, δι' οὗ σημαίνουσι τὸ πῦρ, ἵνα ᾖ παρὰ τὸ θερμὸν καὶ διάπυρον τῆς τοῦ ἀνδρὸς φύ-
18 σεως ὁ ἀνὴρ ὠνομασμένος. Ἡ δὲ γυνὴ, ἐπείπερ εἴρηται ἐκ τοῦ ἀνδρὸς εἰλῆφθαι, καὶ τὴν προσηγορίαν ἐπι-

d 13. σαφέστερον] οὕτω σαφ. B.D. Mox ἐστιν οὗτος B.C.D.F.G. ult. ὦ θεὲ] ὦ θε B.
p. 517. 7. ἐτοιμολογίαν I. 11. ὃ ὄπ.] ᾗ ὄπ. I. b. ἳς] εἷς B.D. E.I. εἰς C.F.G. et sic infra. (*aish*) 2. παρῆκται] παρῆκτο C.F.G. 3. δι' οὗ] διὸ I. 5. ὠνομασμένον F.

Enos adhibuit; quasi clarius diceret, Quid obliviosus iste est, ut ejus, o Deus, meminisse velis, cum usque adeo sit immemor? Quod autem subjungitur, *aut filius hominis, quoniam visitas eum?* Hebræi legunt, *Aut filius Adam.* Ita cum unum et eundem vox utraque significet, corporeus tamen Adami, Enos vero nomine, ratione præditus designatur. Ps. 8.

16 Atque hunc in modum Hebraicæ literæ ambarum vocum etymologiam distinguunt. At vero Plato, ἄνθρωπον, hominem Græca lingua παρὰ τὸ ἀναθρεῖν, a contemplando nominatum esse contendit;

Plato Crat. p. 399.

Homo enim, inquit, simulatque vidit aliquid, (ὄπωπε Græci dicunt) id ipsum quod viderit, contemplatur ac secum ipse reputat, ut ἄνθρωπος dicatur, quasi ἀναθρῶν ἃ ὄπωπε, contemplans ea quæ viderit.

17 Virum præterea Hebræi vocant Is: quod nomen ab Es, quod ignem significat, derivatur. Ut viri nomen ab calida et ignea viri
18 natura inditum fuerit. Mulier vero, uti ex viro sumpta perhibetur,

κοινωνεῖ τῷ ἀνδρί. ἜΣΣΑ γὰρ ἡ γυνὴ λέγεται παρ' αὐτοῖς, ὥσπερ ΕἾΣ ὁ ἀνήρ. Ὁ δὲ Πλάτων τὸν ἄνδρα παρὰ τὴν ἄνω ῥοὴν ὀνομάζεσθαι λέγει· καὶ ἐπιλέγει,

Ἡ δὲ γυνή, γονή μοι φαίνεται βούλεσθαι εἶναι.

19 Πάλιν Μωσῆς τὸν οὐρανὸν ἐτύμως τῇ Ἑβραίων c
γλώσσῃ "στερέωμα" προσαγορεύει, παρὰ τὸ πρῶτον εἶναι μετὰ τὴν ἀσώματον καὶ νοερὰν οὐσίαν τοῦδε τοῦ κόσμου στερεὸν καὶ αἰσθητὸν σῶμα. Ὁ δὲ Πλάτων τῷ οὐρανῷ φησὶν ὀρθῶς ὄνομα κεῖσθαι διὰ τὸ ἄνω ὁρᾶν
20 ποιεῖν. Πάλιν Ἑβραῖοι τὸ μὲν ἀνωτάτω τοῦ Θεοῦ κύριον ὄνομα ἄρρητον εἶναι καὶ ἄφθεγκτον, οὐδὲ φαντασίᾳ διανοίας ληπτόν εἶναί φασιν· αὐτὸ δὲ τοῦτο καθ' ὃ Θεὸν ὀνομάζομεν, Ἐλωεὶμ καλοῦσι, παρὰ τὸ Ἦλ, ὡς ἔοικε· τοῦτο δὲ ἑρμηνεύουσι ἰσχὺν καὶ δύναμιν· ὥστ' d
εἶναι τοῦ Θεοῦ τοὔνομα παρ' αὐτοῖς ἀπὸ τῆς ἀμφὶ αὐτὸν δυνάμεώς τε καὶ ἰσχύος ἐπιλελογισμένον, δι' ἧς

b 7. ἰσσὰ] ἔσσα B.C.D.F.G. ἔσα I. (*aisha*) 8. Ἶs] εἰς D. ε͂ις F.G. 9. τὴν ἄνω] τὸ ἄνω E. τὸν ἄνω I. 11. βούλεσθαι εἶναι πάλιν] βούλεται. πάλιν B. qui mox γλώττῃ. c 6. ποιεῖν] ποιεῖ D. 7. τῷ μὲν] τὸ μὲν B. 8. οὐδὲ] καὶ οὐδὲ I. 9. ληπτὸν] λεπτὸν εἶναι φασὶν C. ληπτὸν εἶναί φ. E.F.G.I. 10. ἐλωΐμ] ἐλωεὶμ B.C.F.G. ἐλοεὶμ D. ἐλωΐ E. d 3. δι' ἣν F.

ita in ejus nominis communionem vocata est. Issa enim ab illis nuncupatur, ut vir Is. At Plato, cum ἄνδρα virum, παρὰ τὴν ἄνα ῥοὴν, hoc est ab superiore defluxu dictum esse defendit, tum ita subjungit,

p. 414 a. Γυνὴ autem, mulier, quasi γονὴ, fœtus, aut semen appellata mihi videtur.

19 Rursus Moses cœlum vere ac proprie firmamentum Hebraica voce nuncupat, quod secundum illam corporis expertem intelligentemque naturam, primum hujus mundi firmum sit corpus sensuque per-
p. 396 c. ceptum. At Plato, rite οὐρανῷ cœlo id nominis inditum esse ait,
20 quod τὸ ἄνω ὁρᾶν, hoc est uti suspiciamus efficiat. Hebræi nomen summæ illius Dei naturæ proprium, nec ulla voce repræsentari, nec animi cogitatione comprehendi posse cum statuant; quod a nobis Dei nomine exprimitur, id ipsum Eloim dicere consueverunt, ab El, ut videtur, quod apud illos robur potestatemque significat: ut Dei nomen apud ipsos ab ejus potestate ac robore derivetur, unde illum

νοεῖται παντοδύναμος, καὶ πάντα ἰσχύων, ὡς ἂν τὰ πάντα συστησάμενος. Ὁ δὲ Πλάτων θεὸν καὶ θεοὺς, παρὰ τὸ θέειν, ὅπερ ἐστὶ τρέχειν, τοὺς ἐν οὐρανῷ φωστῆρας ἐπικεκλῆσθαί φησι.

21 Τοιαῦτα δή τινα, ὡς ἐν τύπῳ φάναι, τὰ παρ' Ἑβραίοις καὶ τὰ παρὰ Πλάτωνι περὶ ὀρθότητος ὀνομάτων διηκρίβωται. Καὶ τὰς ἐν ἀνθρώποις δὲ προσηγορίας μετά τινος διανοίας φησὶν ὁ Πλάτων τεθεῖσθαι, καὶ τόν γε λόγον ἀποδιδόναι πειρᾶται· οὐκ οἶδ' ὅπως τὸν μὲν Ἕκτορα κεκλῆσθαι εἰπὼν ἀπὸ τοῦ ἔχειν καὶ κρατεῖν, διὰ τὸ βασιλέα εἶναι τῶν Τρώων· τὸν δὲ Ἀγαμέμνονα p. 518 διὰ τὸ ἄγαν μένειν, καὶ τοῖς δόξασι περὶ τῶν Τρώων εὐτόνως καὶ καρτερῶς παραμένειν· τὸν δὲ Ὀρέστην, διὰ τὸ ὀρεινὸν καὶ ἄγριον καὶ θηριῶδες τοῦ τρόπου· καὶ τὸν μὲν Ἀτρέα, διὰ τὸ ἀτηρόν τινα γεγονέναι τὸ ἦθος· τὸν δὲ Πέλοπα, οἷόν τινα οὐ τὰ πόρρω, ἀλλὰ μόνα τὰ πέλας

d 7. φωστῆρας] φωστῆρες C.F.G. Tum ἐπικεκλῆσθαι E.F.G.I. non κεκλ. τοιαῦτα—φησιν om. B. 9. παρὰ] τὰ παρὰ C.E.F.G.I. ὀρθώσεως] ὀρθότητος C.F.G. ὀρθοτητος (ωσεως supra) D. 11. ὁ πλάτων etc.] καὶ πάλιν ὁ Πλάτων τὸν λόγον ἀποδ. B. 12. τόν τε λόγον F. περὶ

p. 518. καὶ τοῖς—παραμένειν om. B. 2. παρὰ] παρὰ D. περὶ F.G. ἴσ. κατὰ Vigeri marg.

omnia omnino posse, utpote qui molitus omnia fuerit, intelligimus.
At Plato Deum atque Deos, θεὸν καὶ θεοὺς nominatos esse mavult, p. 397.
quod illa cœli sidera θέειν id est currere videamus.

21 Atque ita Hebræi simul atque Plato, rem enim adumbrasse satis
est, de recta nominum impositione statuerunt. Quinetiam ipsas
quoque hominum appellationes certo consilio inditas fuisse Plato con- p. 393 a.
firmat, et rationem earum aliquam afferre conatur. Itaque Hectorem
nescio quo pacto, quod rex Trojanorum esset, ἀπὸ τοῦ ἔχειν καὶ κρατεῖν,
quæ habere ac imperare significant, appellatum esse conjicit; Aga- p. 395 a.
memnonem vero, διὰ τὸ ἄγαν μένειν, quod nimium persisteret, atque
in iis quæ adversus Trojanos susceperat consiliis firmiter admodum
et constanter hæreret. Sic Orestem, διὰ τὸ ὀρεινὸν, quod montanis, p. 394 c.
hoc est agrestibus ac ferinis; Atreum, διὰ τὸ ἀτηρὸν, quod perniciosis p. 395 b.
ac pestiferis moribus esset: Pelopem, quod non ea quæ semota lon-

καὶ ἐγγὺς ὁρῶντα· τὸν δὲ Τάνταλον ταλάντατόν τινά
22 φησι, διὰ τὰ περὶ αὐτὸν δυστυχήματα, σημαίνειν. Ταῦτα
καὶ τοιαῦτα μυρία ἄλλα εὕροις ἂν εἰρημένα τῷ Πλάτωνι,
φύσει τεθεῖσθαι ἀλλ' οὐ θέσει τοῖς πρώτοις τὰ ὀνόματα b
23 διδάσκειν πειρωμένῳ. Ἀλλ' οὐ καὶ τὰ παρὰ Μωσεῖ
βεβιασμένα ἂν εἴποις, οὐδέ γε κατά τινα σοφιστικὴν
εὑρεσιλογίαν πεποιημένα, μαθὼν ὡς ὁ μὲν παρ' Ἑβραί-
οις Καϊν "ζῆλος" παρ' Ἕλλησι μεταλαμβάνεται· τού-
του δ' ἠξιώθη τοῦ προσρήματος ὁ δηλούμενος, διὰ τὸ
24 ζηλῶσαι τὸν ἀδελφὸν τὸν Ἄβελ. Καὶ ὁ Ἄβελ δὲ ἑρ-
μηνεύεται "πένθος," τοῦ τοιοῦδε πάθους γεγονὼς καὶ
αὐτὸς τοῖς γονεῦσιν αἴτιος, οἳ κατά τινα θειοτέραν προ-
μήθειαν γενομένοις τοῖς παισὶ ταύτας τέθεινται τὰς ἐπω- c
25 νυμίας. Τί δ' εἴ σοι τὸν Ἀβραὰμ παραφέροιμι; Με-
τεωρολόγος τις οὗτος, καὶ τῆς τῶν ἄστρων θεωρίας τῶν τε
κατ' οὐρανὸν μαθημάτων εἰδήμων τὸ πρὶν, ὅτε τῆς Χαλ-

a 8. ταλάντατόν τινα] ταμταλαντότατον B. ταλαντώτατον D. τι pro τινα I. 9. αὐτὸν] αὐτῶν D. 10. τὰ τοιαῦτα] τὰ om. F.G.I. 11. φύσει—πεποιημένα om. B. qui pergit τοίνυν μαθών. b 5. παρ' Ἕλλησι—Ἄβελ om. B. qui habet tantum ἑρμηνεύεται· ὁ δὲ Ἄβελ πένθος· τοῦ τ. c. ἐπωνυμίας] προσηγορίας in marg. ἐπωνυμίας D. τὰς om. I.

gius, sed ea duntaxat quæ πέλας, hoc est propinquiora essent, videret: Tantalum quasi ταλάντατον, miserrimum, ob earum quibus
22 oppressus est miseriarum magnitudinem. Ista quidem, aliaque sexcenta a Platone dicta reperias, quibus nomina primis illis hominibus non pro arbitrio, sed pro naturæ conditione imposita docere conatur.
23 At enimvero quæ apud Mosem leguntur, ea nunquam aut coacta dixeris, aut arguta illa sophistarum in cudendis voculis arte conficta.
Cainus unde dictus? Agnosces videlicet, quem Hebræi Cainum vocant, æmulationem apud Græcos significare, quo nomine appellatus nefarius homo fuerit, quod
Abel unde. 24 adversus fratrem æmulatione invidiaque flagraret. Abelem contra, luctum sonare, quod parentibus suis luctum attulisset: qui diviniore quodam instinctu consilioque permoti ejusmodi liberis suis nomina
Abraamus unde. 25 indiderint. Quid si Abraamum proferam? Ille nimirum antea, dum sapientiam Chaldaicam profiteretur, in rerum superiorum disputatione occupatus, atque in siderum quæque ad cœlum pertinent omnium

δαϊκῆς μετεποιεῖτο σοφίας, γεγονὼς, Ἅβραμ ἐκαλεῖτο·
τοῦτο δ' Ἑλλήνων φωνῇ πατέρα μετέωρον σημαίνει.
26 [305] Ἀλλ' ὁ Θεός γε αὐτὸν τῶν τῇδε ἐπὶ τὰ ἀφανῆ καὶ τῶν
ὁρωμένων ἐπέκεινα προάγων, εὐθυβόλῳ κέχρηται μετω-
νυμίᾳ, Οὐκέτι, φήσας, κληθήσεται τὸ ὄνομά σου Ἅβραμ,
ἀλλὰ Ἁβραὰμ ἔσται τὸ ὄνομά σου, ὅτι πατέρα πολλῶν d
27 ἐθνῶν τέθεικά σε. Τοῦτο δ' ὁποίας ἔχεται διανοίας μα-
κρὸς ἂν εἴη λόγος. Ἀπαρκεῖ δὲ κἂν τούτῳ τὸν Πλά-
τωνα μάρτυρα τοῦ λόγου παραθέσθαι, ὑπὸ θειοτέρας
δυνάμεως ἔνια τῶν ὀνομάτων τεθεῖσθαι φάμενον. Λέγει
δ' οὖν αὐτοῖς ῥήμασιν·

28 Ἐσπουδάσθαι γὰρ ἐνταῦθα μάλιστα πρέπει τὴν θέσιν τῶν ὀνομάτων· ἴσως δὲ ἔνια αὐτῶν καὶ ὑπὸ θειοτέρας δυνάμεως ἢ τῆς τῶν ἀνθρώπων ἐγενήθη. ΠΛΑΤΩΝΟΣ

29 Τοῦτό γε τοι αὐτὸ διὰ πλειόνων καὶ ἡ παρ' Ἑβραίοις
ἱερὰ πιστοῦται γραφή· πρῶτός τε Μωσῆς ἁπάντων, ὃς
ἐκ θειοτέρας δυνάμεως τὸν Ἁβραὰμ καὶ τὸν τούτου παῖδα

c 5. μετεποιεῖτο] πεποίηται in marg. μετεποιεῖτο D. 8. ἐπιφανῆ] ἀφανῆ B.D.F G.I. *invisibilia* Trapez. 11. κληθήσῃ φήσας E.I. d 2. ὁποίας] ὁποίαν ἂν B. ὁποίας ἂν ἔχηται D.F.G. 6. φάμενον] φάμενος B. 9. ἢ τῆς τῶν—δυνάμεως om. C.G. 10. τοῦτό γε τοι] τοῦτο δ' αὐτὸ καὶ ἡ παρ' B. δ' in marg. γέ τοι D. ult. τούτου] ἐκ τούτου B. qui om. παῖδα τόν.

contemplatione assiduus, Abram vocabatur, quæ vox Græce sublimem
26 parentem significat. At Deus, cum eundem a rerum nostrarum
consuetudine, ad illustriorum illarum, quæque aspectabiles omnes
superant commercium eveheret, peropportunam ejus nominis muta-
tionem instituit, his verbis, *Non amplius vocabitur nomen tuum Abram,* Gen. 17,
sed Abraam erit nomen tuum, quia patrem multarum gentium posui te : 5.
27 cujus oraculi vim atque sententiam explicare longum esset. Verum
satis hoc etiam loco fuerit hanc ad veritatem Platonis suffragium
adjungere, qui diviniore aliqua vi nomina quædam imposita fuisse
pronuntiat. Sic enim ad verbum ipse,

28 Hic enim, inquit, maxime, præcipuum quoddam in nominibus rite imponendis adhibitum studium fuisse decet : imo ex iis etiam nonnulla fortasse, vi quadam nostra hac longe diviniori constituta sunt. Plato Crat. p. 397 b.

29 At illud ipsum divinæ literæ longe sane luculentius uberiusque
confirmant, ac Moses ipse præ cæteris, qui divinitus Abraamum,

τὸν Ἰσαὰκ καὶ ἔτι τὸν Ἰσραὴλ ἐπωνομάσθαι ἐδίδαξε. p. 519
Γέλως δὲ ὁ Ἰσαὰκ ἑρμηνεύεται, τὸ τῆς ἐναρέτου χαρᾶς
ἐπαγόμενος σύμβολον, ἣν τοῖς θεοφιλέσι γέρας ἐξαίρε-
30 τον δώσειν ὁ Θεὸς ἐπήγγελται. Ὁ δὲ τούτου παῖς Ἰσρα-
ὴλ ἦν μὲν τὸ πρὶν τὸ τοῦ Ἰακὼβ ὄνομα ἐπενηνεγμένος,
ἀντὶ δὲ τοῦ Ἰακὼβ ὁ Θεὸς αὐτῷ τὸ τοῦ Ἰσραὴλ ὄνομα
δωρεῖται, τὸν ἀσκητὴν καὶ πρακτικὸν ἐπὶ τὸν θεωρητικὸν
31 μεταστησάμενος. Πτερνιστὴς γὰρ ὁ Ἰακὼβ ἑρμηνεύε-
ται, ὡς τὸν ἀρετῆς ἐναθλῶν ἀγῶνα· Ἰσραὴλ δὲ ὁρῶν
Θεὸν, ὁποῖος ἂν εἴη ὁ γνωστικὸς καὶ θεωρητικὸς ἐν ἀν- b
32 θρώπῳ νοῦς. Τί με δεῖ νῦν τοῦ πανσόφου Μωσέως ἢ
τῶν παρ' Ἑβραίοις ἱερῶν λογίων διὰ μυρίων ἄλλων τὴν
ὀρθότητα τῆς τῶν οἰκείων ὀνομάτων θέσεως ἐξαπλοῦν,
33 μακροτέρας σχολῆς δεομένων τῶν κατὰ τὸν τόπον; Αὐ-
τίκα δὴ καὶ τῶν πρώτων τῆς γραμματικῆς στοιχείων
Ἕλληνες μὲν οὐκ ἂν ἔχοιεν τὰς ἐτυμολογίας εἰπεῖν, οὐδ'

p. 519. *ἐπωνομάσθαι ἐδίδαξε*] *ἐπον. ἠξίωσε* B. 3. *ἐπαγόμενος σύμβολον*] *σύμβολον ἐπαγ.* B. 6. *ἦν μὲν τὸ πρὶν*] *μὲν ἦν* sine *τὸ πρὶν* B. 7. *ἀντὶ δὲ*] *δὲ* om. F. *ὁ θεὸς αὐτῷ* om. B. qui mox om. *τοῦ.* 8. *δωρεῖται—πρακτικὸν*] *θεόθεν λαμβάνει τὸν ἀσκητικὸν* B. 12. *εἴη ὁ*] *ὁ* om. E. b. *γνωστικὸς*] *πρακτικὸς* B. qui mox om. *νῦν* et *πανσόφου.* 3. *ἱερῶν λόγων*] *ἱερῶν* om. B. *λογίων* in marg. *ἱερῶν λόγων* D. Assumpsi *λογίων.* Vid. p. 520 d. 5. *ἐξαπλῶν* I. 6. *τὸν τόπον*] *τὸν* om. B. qui mox *δεῖ* pro *δή.*

ejusque filium Isaacum, necnon et Israëlem appellatos esse testatur. Et risum quidem Isaacus significat, ut hoc suo nomine castam illam sanctamque lætitiam repræsentaret, quam amicis suis Deus tanquam
30 singulare munus ac præmium pollicetur. Ejusdem filius Israël, cum antea Jacobi nomen habuisset, abs Deo postea Israëlis nomen ac-
31 cepit, ex actuoso et laborioso homine contemplator effectus. Nam Jacobus sane calce impetentem sonat, quasi virtutis certamine defungentem: at Israël, eum qui Deum videt significat, cujusmodi mens hominis esse debeat, quæ in cognitione et contemplatione versetur.
32 Sedenim quid attinet hoc loco, vel Mosis illius sapientissimi, vel sacrarum apud Hebræos literarum, summam in propriis nominibus imponendis maturitatem atque solertiam, sexcentis aliis exemplis illustrare, cum hoc disputationis genus longe majus otium desideret?
33 Enimvero ne primorum quidem, quæ ipso statim initio sese offerunt, grammatices elementorum, Græci homines notationem afferre pos-

αὐτὸς γ' ἂν φαίη Πλάτων τὸν λόγον ἢ τὸν λογισμὸν τῶν
34 φωνηέντων ἢ τῶν συμφώνων. Ἑβραίων δ' ἂν εἴποιεν
παῖδες τοῦ τε Ἄλφα τὴν αἰτίαν, ὃ παρ' αὐτοῖς καλεῖται c
Ἄλφ, τοῦτο δὲ σημαίνει μάθησιν· καὶ τοῦ Βῆτα, ὅπερ
Βὴθ φίλον αὐτοῖς προσαγορεύειν, οὕτω δὲ τὸν οἶκον
ὀνομάζουσιν· ὥστε δηλοῦν τὴν διάνοιαν, μάθησις οἴκου·
ὡσεὶ σαφέστερον ἐλέγετο, διδαχή τις καὶ μάθησις οἰκο-
35 νομίας. Καὶ τὸ Γάμμα δὲ παρ' [αὐτοῖς] τρίτον κέκλη-
ται Γῖμελ· οὕτω δὲ τὴν πλήρωσιν ὀνομάζουσιν. Εἶτ'
ἐπειδὴ τὰς δέλτους Δὲλθ καλοῦσι, τὸ τέταρτον στοιχεῖον
οὕτω προσεῖπον, ὁμοῦ διὰ τῶν δύο στοιχείων σημαίνον-
τες, ὡς ὅτι ἡ ἔγγραφος μάθησις πλήρωσίς ἐστι δέλτων. d
36 Ἐπιὼν δέ τις καὶ τὰ λοιπὰ τῆς γραμματικῆς στοιχεῖα,
μετά τινος αἰτίας καὶ λογισμοῦ εὕροι ἂν ἕκαστα παρ'
αὐτοῖς ὠνομασμένα. Ἐπεὶ καὶ τῶν ἑπτὰ φωνηέντων
τὴν ἐπὶ τὸ αὐτὸ σύνθεσιν μιᾶς τινὸς ἀπορρήτου προση-

b 9. φαίη] φαίην C. Supra αὐτός τ' F. c 3. προαγορεύειν G. 5. δηλοῦν] δοκοῦν B. 6. μάθησις] μάθησιν C. Mox ὡς εἰ B.C. 7. καὶ τὸ γάμμα] Pro seqq. habent B.D. οἶμαι δὲ δηλοῦν τὴν τοῦ θεοῦ καὶ λόγου μέλλουσαν σάρκωσιν. εἴρηται δέ που (που om. D.) καὶ περὶ τῶν λοιπῶν γραμμάτων ἀλλαχοῦ πού. ἀλλὰ καὶ τῶν ἑπ. φ. Vid. supra p. 474 a. τρίτον om. C.F.G.I. qui mox γέμελ. 9. ἐπειδὴ] ἐπεὶ F.G. d. ὅτι] ὡς ὅτι C.E.F.G.I. 5. ἐπὶ τὸ αὐτὸ] ἐπὶ ταυτῷ C. ἐπ' αὐτὸ D.F.G. ἐπὶ ταὐτὸ I.

sint: quin hæreat etiam ipse Plato, si vocalium aut consonantium
34 explicanda ratio atque appellatio sit. At vero Hebræi eam in
promptu habent. Nam Alpha quidem, quod Alph ipsi vocant,
disciplinam significat: Betha vero, quod Beth appellare solent,
domum sonat: utrumque sententiam hanc efficit, disciplina domus:
quasi apertius diceretur, doctrina quædam seu disciplina rei do-
35 mesticæ. Gamma, quod ipsis quoque tertium elementum est, Gimel
dicunt, eoque plenitudinem quandam significant. Tum quoniam
δέλτους hoc est tabulas, Delth nominant, quarto elemento idem etiam
nomen indidere, ut ambarum literarum conjunctione doceant, com-
36 prehensam scripto disciplinam, tabularum plenitudinem esse. Atque
ita deinceps elementa grammaticæ reliqua, nominis quodque sui repe-
ries propriam apud Hebræos ac singularem habere rationem. Nam
et septem quoque vocalium inter sese commissionem, ejusmodi nomen

γορίας περιέχειν φασὶν ἐκφώνησιν, ἣν διὰ τεσσάρων
στοιχείων παῖδες Ἑβραίων σημειούμενοι ἐπὶ τῆς ἀνω-
τάτω τοῦ Θεοῦ δυνάμεως κατατάττουσιν, ἄλεκτόν τι τοῖς
πολλοῖς καὶ ἀπόρρητον τοῦτ᾽ εἶναι παῖς παρὰ πατρὸς
37 εἰληφότες. [Καὶ τῶν παρ᾽ Ἕλλησι δὲ σοφῶν, οὐκ οἶδ᾽
ὁπόθεν, τις τοῦτο μαθὼν ἠνίξατο, ὧδέ πη δι᾽ ἐπῶν
φήσας,

> Ἕπτα με φωνήεντα Θεὸν μέγαν ἄφθιτον αἰνεῖ p. 520
> γράμματα, τὸν πάντων ἀκάματον πατέρα.
> Εἰμὶ δ᾽ ἐγὼ πάντων χέλυς ἄφθιτος, ἣ τὰ λυρῴδη
> ἡρμοσάμην δίνης οὐρανίοιο μέλη.]

38 Εὕροις δ᾽ ἂν καὶ τῶν λοιπῶν παρ᾽ Ἑβραίοις στοιχείων,
ἐπιστήσας ἑκάστῳ, τὰ σημαινόμενα· τοῦτο δὲ ἤδη καὶ
διὰ τῶν πρόσθεν ἡμῖν συνέστη, ὁπηνίκα παρὰ βαρβάρων
39 τὰ πάντα ὠφελῆσθαι τοὺς Ἕλληνας ἀπεδείκνυμεν. Πολ- b
[306] λὴν δ᾽ ἄν τις καταμάθοι, τὴν Ἑβραίων γλῶσσαν πολυ-

d 10. τι τοῖς] τι τοῦτο τοῖς C.F.G. 11. παῖς] παῖδες B. Tum προσειληφότες E.I. 12. καὶ τῶν παρ᾽ Ἕλλησι—μέλη om. B.C.F.G.
p. 520. Ἕπτα με] De hoc epigrammate plurima collegit Fr. Jacobsius Animadv. in Anthol. Gr. T. XII. p. 34. sive ad Anal. Brunck. III. 209. n. CCLXXX. 10. τοῦτο δὲ ἤδη—διαπερῶντα om. B. b. ἀπεδεικνύομεν] ἀπεδείκνυμεν C.E.F.G. 3. γλῶτταν] γλῶσσαν C.F.G. Mox ὀρθότητι E.I.

efficere volunt, quod explicari voce non possit, quodque Hebræi quatuor elementis inclusum summæ Dei potestati exprimendæ attribuunt, sic tamen ut idem proferri vulgo non posse longa serie posteri
37 a majoribus acceperint. Et vero, unus etiam aliquis e Græciæ sapientibus, id ipsum, unde unde hauserit, subobscure his versibus adumbravit,

> Me septem interitus expers vocalia Numen,
> Cunctorumque patrem septem elementa vocant.
> Idem æterna chelys rerum, quæque ordine jussit
> Constantique polum ducere lege modos.

38 Cæterorum item apud Hebræos elementorum significationes, si enucleare singula volueris, omnino reperies: quod ipsum jam a nobis antea præstitum est, cum nihil non Græcos a barbaris accepisse
39 demonstraremus. Postremo qui Hebræorum linguam rimari diligentius scrutarique voluerit, is profecto summam quandam apud illos

πραγμονῶν, ὀνομάτων ὀρθότητα παρὰ τοῖς ἀνδράσι φε-
ρομένην· ἐπεὶ καὶ αὐτὸ τοῦ παντὸς ἔθνους τὸ προση-
γορικὸν ὄνομα ἀπὸ τοῦ Ἕβερ τὸ παρωνύμιον εἴληφε.
Σημαίνει δὲ τοῦτο τὸν "διαπερῶντα·" ἐπεὶ καὶ διά-
βασις καὶ διαπερῶν τῇ Ἑβραίων φωνῇ "Ἕβερ" ὀνομά-
40 *ζεται. Διδάσκει δὲ ὁ λόγος διαπερᾶν καὶ διαβαίνειν*
ἀπὸ τῶν τῇδε ἐπὶ τὰ θεῖα, μηδαμῶς τε ἐναπομένειν καὶ
ἵστασθαι ἐπὶ τῇ θέᾳ τῶν ὁρωμένων, ἀπὸ δὲ τούτων ἐπὶ c
τὰ ἀφανῆ καὶ ἀόρατα τῆς περὶ τοῦ τῶν ὅλων ποιητοῦ
τε καὶ δημιουργοῦ θεολογίας διαβαίνειν. Ταύτῃ τοι τοὺς
πρώτους μόνῳ τῷ πανηγεμόνι καὶ αἰτίῳ τῶν ὅλων ανα-
κειμένους, εὐσεβείᾳ τε καθαρᾷ καὶ ἀληθεῖ προσανέχον-
τας, Ἑβραίους ἐφώνουν, περατικούς τινας καὶ διαβεβη-
41 *κότας τῇ διανοίᾳ τοὺς τοιούσδε ἀποκαλοῦντες. Καὶ τί*
με δεῖ ἐπὶ πλεῖον μηκύνειν τὰ πάντα συνάγοντα τῆς τῶν
Ἑβραϊκῶν ὀνομάτων ὀρθότητός τε καὶ ἀκριβείας, τοῦ προ-

b 6. *παρώνυμον*] *παρωνύμιον* C.E.F.G.I. *ἕβερ*] *ἡ ἕβερ* C. 9. *πε-ρᾶν*] *διαπερᾶν* C.F.G. 11. *μηδαμῶς τε*] *τε* om. C.F.G. c 2. *τὰ ἀόρ.* G. 4. *μόνῳ*] *μόνον* D. 6. *τε καθ.*] *τῇ καθ.* B. *τε* om. E. 7. *διαβεβηκότας*] Vid. Wyttenbach. ad Plutarch. p. 31 e. 8. *τοιού-τους*] *τοιούσδε* C.E.F.G.I. 9. *καὶ τί με*] *καὶ* om. C.E.F.G. *καὶ τι δὴ μηκύνειν* B. qui mox om. *πάντα συνάγοντα.* *δεῖ*] *δεῖ νῦν* I. 10. *ἑβραιῶν*] *ἑβραικῶν* C.F.I. 11. *τε καὶ ἀκριβείας*] *καὶ ἀκριβείας πλὴν μετὰ τὴν παρ' αὐτοῖς λογικὴν διδασκαλίαν, δεῖ καὶ τὰ ἑξῆς λέγειν* omissis cett. B. ubi caput seq. deest.

nominum proprietatem esse cognoscet. Atque id ipsi vel ex unico
gentis universæ nomine constare potest, quod ab Hebere derivatur.
Transeuntem enim significat, cum et transitum et transeuntem He-
40 braica lingua voce unica Heber appellet. Et ea quidem nominis
hujus ratio est, uti ab rerum præsentium vanitate ad divinarum studia
sese conferre, nec in eorum quæ videntur contemplatione ullo modo
acquiescere ac sistere, sed ab iis potius ad semota illa penitusque re-
condita de universi conditore ac molitore, theologiæ mysteria transire
doceantur. Ita plane primos illos, qui sese præpotenti rerum omnium
moderatori auctorique Deo consecrarent, et sinceram veramque reli-
gionem diligenter excolerent, Hebræos, quasi mente transeuntes ac
41 trajicientes nuncuparunt. Sed quorsum in colligenda nominum apud
Hebræos omnium proprietate, maturaque admodum impositione
diutius immoremur, cum ad hanc quæstionem integra quædam ac

βλήματος οἰκείας δεομένου πραγματείας; Πλὴν ὡς ἐν d
τύπῳ φάναι, ἡγοῦμαι καὶ διὰ τῶν λεχθέντων τῆς παρ' Ἑβραίοις λογικῆς διδασκαλίας τὴν ἀπόδειξιν παρεσχηκέναι· εἰ δὴ κατὰ τὸν Πλάτωνα οὐ φαύλων ἦν ἀνδρῶν οὐδὲ τῶν τυχόντων, ἀλλὰ σοφοῦ καὶ διαλεκτικοῦ τινὸς νομοθέτου, φύσιν ὀνομάτων οἰκείαν τοῖς πράγμασιν εὑρέσθαι, οἷος ἡμῖν ὁ Μωσῆς καὶ τὰ Ἑβραίων ἀποδέδεικται λόγια. Τί δὴ οὖν μετὰ τὰ λογικὰ ἕπεται ἢ τὰ φυσικὰ ἐπισκέψασθαι, ὅπως ποτὲ καὶ περὶ ταῦτα εἶχον Ἑβραίων παῖδες;

7 Καὶ τὸ τρίτον δὲ μέρος τῆς καθ' Ἑβραίους φιλοσο- p. 521
φίας,—τοῦτο δ' ἦν τὸ φυσικὸν, διαιρούμενον καὶ παρ' αὐτοῖς εἴς τε τὴν τῶν νοητῶν καὶ ἀσωμάτων ἐποπτείαν, καὶ εἰς τὴν τῶν αἰσθητῶν φυσιολογίαν,—οἱ κατὰ πάντα τέλειοι προφῆται ᾔδεσάν τε, καὶ τοῖς οἰκείοις, ὅτε δὴ καιρὸς ἐκάλει, κατεμίγνυον λόγοις· οὐ στοχασμοῖς καὶ b
θνητῆς διανοίας ἐπιτηδεύσει μαθόντες, οὐδ' ἐπὶ διδασκά-

d 10. δὴ om. F.G.
p. 521. 3. δὲ τὸ μέρος F. 4. φιλοσοφίας] φυσιολογίας C. 9. κατεμίγνυον] κατεμίγνυ E.

singularis opera requiratur? Cæterum, mihi quidem videor, quomodo saltem informanda re fieri potuit, Hebræorum in disserendo vim atque facultatem, vel paucis iis quæ abs me commemorata sunt, satis illustrasse: si quidem ea Platonis sententia placet, dum is plebeiorum ac vulgarium hominum esse negat, propria nativaque rerum nomina invenire, sed tantum sapientis legislatoris, et scienter periteque ratiocinantis, qualem profecto cum Mosem ipsum, tum Hebraicorum oraculorum vim esse demonstravi. Quid ergo proximum est, nisi ut quemadmodum ipsi de rerum natura philosophati sint, exquiramus?

7 Tertiam hanc Hebraicæ philosophiæ partem, quæ naturalis vocatur, quæque ab iisdem quoque, in rerum sola mente perceptarum, et corporis omnis expertium contemplationem, et in earum quæ sensibus usurpantur tractationem dividitur, laudatissimi prophetæ cum noverant ipsi per sese, tum ubi postularet occasio, suis passim oraculis aspergebant: quam illi tamen neque conjecturis quibusdam, aut mortalis cogitationis industria didicerant, neque ullius sese humani

λοις ἀνδράσι σεμνυνόμενοι, θεοφορήσει δὲ κρείττονος
δυνάμεως καὶ θείου πνεύματος ἐπιπνοίᾳ τὴν γνῶσιν ἀνα-
2 τιθέντες. Ἔνθεν μυρία μὲν αὐτοῖς περὶ τῶν μελλόντων
τεθέσπιστο, μυρία δὲ περὶ τῆς τοῦ παντὸς συστάσεως
πεφυσιολόγητο, καὶ αὖ πάλιν μυρία περὶ ζῴων φύσεως
διείληπτο, πλεῖστα δὲ ὅσα καὶ περὶ φυτῶν ταῖς οἰκείαις
3 ἕκαστος προφητείαις κατεβέβλητο. Μωσῆς δὲ καὶ λί-
θων δυνάμεις εὖ μάλα ἐξεπιστάμενος, οὐ παρέργως ἐπὶ c
τῆς τοῦ ἀρχιερέως στολῆς τῇ τούτων κέχρητο θεωρίᾳ.
Καὶ αὖ πάλιν Σολομῶν, εἰ καί τις ἄλλος, ἐν τῇ περὶ
τούτων διαπρέψαι φυσιολογίᾳ πρὸς τῆς θείας μαρτυ-
4 ρεῖται γραφῆς, ὧδε περιεχούσης· Καὶ ἐλάλησε Σολομῶν
τρισχιλίας παραβολὰς, καὶ ἦσαν ᾠδαὶ αὐτοῦ πεντακισχί-
λιαι, καὶ ἐλάλησε περὶ τῶν ξύλων, ἀπὸ τῆς κέδρου τῆς ἐν
τῷ Λιβάνῳ, καὶ ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ
τοῦ τοίχου. Καὶ ἐλάλησε περὶ τῶν κτηνῶν, καὶ περὶ τῶν

b 6. περὶ τῆς] περὶ om. I. 7. πεφυσιολόγητο] πεφυσιολόγητ$\overset{\text{το}}{\text{αι}}$ D. 10. κατεβέβλ.] καταβεβλ. C.F.G. c. ἐπὶ τῆς] ἐπὶ τῇ C.F.G. 2. στολῆς] στολῇ C.F.G. κέχρητο] κέχρηται C.F.G. κέχρητ$\overset{\text{το}}{\text{αι}}$ D. 3. τούτων] περὶ τούτων C.D.F.G.I. 9. τῆς ὑσσωποῦ] τῆς om. C.F.G. τοῦ ὑ. I.

præceptoris auctoritate jactabant: sed divinæ cuidam superioris
potestatis vi, divinique spiritus afflatui totam illam cognitionem ac-
2 ceptam ferebant. Quem illi quidem sequuti, ut de rebus futuris
infinita divinitus prædixerunt, sic etiam et de universi molitione infi-
nita, quo modo natura postulabat, disputarunt, et de animantium
ipsarum naturis infinita tractarunt; quibus et sexcenta de plantis in
3 suis quique prophetiis addiderunt. Et sane Moses, qui lapidum
etiam vires apprime calleret, non obiter aut perfunctorie, cum de
summi sacerdotis cultu dissereret, in eorum consideratione versatus
est. At vero Salomon, si quisquam alius, in hac physiologiæ parte,
summam omnino laudem est, vel ipso divinæ scripturæ testimonio,
4 consecutus. Sic enim illa, *Locutus est quoque Salomon*, inquit, *tria* 3 Reg.
millia parabolas, et fuerunt carmina ejus quinque et mille. Et dispu- 4, 32.
*tavit super lignis, a cedro quæ est in Libano, usque ad hyssopum, quæ
egreditur de pariete. Et disseruit de jumentis, et volucribus, et repti-*

πετεινῶν, καὶ περὶ τῶν ἑρπετῶν, καὶ περὶ τῶν ἰχθύων. Καὶ d
παρεγένοντο πάντες οἱ λαοὶ ἀκοῦσαι τῆς σοφίας Σολομῶντος, καὶ [ἐλάμβανε δῶρα] παρὰ πάντων τῶν βασιλέων τῆς γῆς, ὅσοι ἤκουσαν τῆς σοφίας αὐτοῦ. Ἐντεῦθεν ὁρμώμενος καὶ ὁ τὴν πανάρετον σοφίαν εἰς αὐτοῦ πρόσωπον ἀναθεὶς ἔφη· Αὐτὸς γάρ μοι ἔδωκε τῶν ὄντων γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου, καὶ ἐνέργειαν στοιχείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν, ἐνιαυτοῦ κύκλους, καὶ ἀστέρων θέσεις, φύσεις ζῴων καὶ θυμοὺς θηρίων, πνευμάτων βίας, καὶ διαλογισμοὺς ἀνθρώπων, καὶ διαφορὰς φυτῶν, καὶ δυνάμεις ῥιζῶν, ὅσα τέ ἐστι κρυπτὰ καὶ ἀφανῆ ἔγνων. Ἡ p. 522
[307] 6 γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία. Πάλιν τε ὁ αὐτὸς Σολομῶν τὴν ῥευστὴν τῶν σωμάτων οὐσίαν φυσιολογῶν, ἐν Ἐκκλησιαστῇ φησὶ, Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Τίς περισσεία τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον; Καὶ ἐπιλέγει,

d. παρεγένοντο] παρεγίνοντο E.I. 2. Σολομ.] τοῦ Σολομ. F.G. Σαλομῶν I. ἐλάμβανε δῶρα om. C.D.E.F.G.I. Mox περὶ D. pro παρά. 4. τῆς σοφίας] τὴν σοφίαν F.G.I. 9. χρόνων] χρόνου D. qui om. ἀλλαγάς. 10. μεταβ.] τὰς μεταβ. D. ult. καὶ διαφ.] καὶ om. E.F.G.I.
p. 522. 4. καὶ πάντα] τὰ πάντα C.F.G.I. 5. τῷ ἀνθρώπῳ] τῶν ἀνθρώπων D.

libus, et piscibus. Et veniebant de cunctis populis, ad audiendam sapientiam Salomonis, et accipiebat munera ab universis regibus terræ, qui audiebant sapientiam ejus. Atque hac ipse ratione commotus, dum parentem illam virtutis omnis sapientiam ejus beneficio tribueret,
Sap. 7, 17. hunc in modum loquebatur, *Ipse enim*, inquit, *dedit mihi horum quæ sunt, scientiam veram, ut sciam constitutionem mundi, et virtutes elementorum, initium, et consummationem, et medietatem temporum, vicissitudinum permutationes, et commutationes temporum, anni cursus, et stellarum dispositiones, naturas animalium, et iras bestiarum, vim ventorum, et cogitationes hominum, differentias virgultorum, et virtutes radicum, et quæcunque sunt absconsa, et improvisa didici. Omnium*
6 *enim artifex docuit me sapientia.* Rursus idem ille Salomon de fluxa
Eccles. 1, 1. corporum natura disputans in Ecclesiaste, *Vanitas,* inquit, *vanitatum, et omnia vanitas. Quid habet amplius homo de universo labore suo, quo laborat sub sole?* Et paucis interjectis. *Quid est, quod fuit?*

Τί τὸ γεγονός; Αὐτὸ τὸ γενησόμενον· καὶ τί τὸ πεποιημέ-
νον; Αὐτὸ τὸ ποιηθησόμενον. Καὶ οὐκ ἔστι πᾶν πρόσφατον
7 ὑπὸ τὸν ἥλιον. Ταῦτα γὰρ αὐτῷ καὶ τὰ τοιαῦτα πεφυ-
σιολόγητο περὶ τῆς σωματικῆς οὐσίας. Εὕροις δ' ἂν b
καὶ τοὺς ἄλλους Ἑβραίους ἐπιὼν σοφοὺς τῆς ὁμοίας οὐκ
ἀμοίρους ἐπιστήμης. Φυτῶν γοῦν, ὡς ἔφην ἤδη πρό-
τερον, μυρία καὶ ζῴων πέρι, χερσαίων τε καὶ ἐνύδρων,
8 καὶ προσέτι πτηνῶν φύσεως εἴρηται αὐτοῖς. Ναὶ μὴν
καὶ περὶ τῶν ἐν οὐρανῷ ἄστρων· ἐπεὶ καὶ Ἄρκτου, καὶ
Πλειάδος, Ὠρίωνός τε καὶ Ἀρκτούρου, ὃν Ἀρκτοφύ-
λακα καὶ Βοώτην Ἕλλησι φίλον ὀνομάζειν, μνήμη τὶς
οὐχ ἡ τυχοῦσα τοῖς τῶν δηλουμένων ἐμφέρεται γράμ-
9 μασιν. Ἀλλὰ καὶ περὶ συστάσεως κόσμου, τά τε περὶ
τῆς τοῦ παντὸς τροπῆς τε καὶ ἀλλοιώσεως, ψυχῆς τε c
περὶ οὐσίας, καὶ λογικῶν ἁπάντων φύσεως ὁρωμένης τε
καὶ ἀφανοῦς δημιουργίας, τῆς τε καθόλου προνοίας, καὶ
τούτων ἔτι πρότερον τὰ περὶ τοῦ πρώτου τῶν ὅλων αἰ-

a 7. γεγονὸς] γένος D. 11. πεφυσιολόγηται] πεφυσιολόγητο C.F.G.I. Mox ἐπιὼν καὶ τοὺς ἄλλων ἑβραίων σοφοὺς C.F.G. ἐπιὼν post ἂν I. b 2. ἐπιστήσης E. 7. ἀστέρων] ἄστρων C.F.G.I. 9. Ἕλλησι φ. ὀν.] φ. ὀν. Ἕλλησι C. ὀν. Ἑλ. φ. F.G.I. 11. γράμμασιν] συγγράμμασιν F.G. περὶ] τὰ περὶ C.F.G. c. περιουσίας] ἴσ. περὶ οὐσίας Vigeri margo. *De animi substantia* Trapez. 2. λογικῶν τε G.

Ipsum quod futurum est. Quid est quod factum est? Ipsum quod
7 *faciendum est. Nihil est sub sole novum.* Hæc ille, aliaque his
similia de corporea natura philosophatus est. Cæteros etiam Hebræorum sapientes si percurrere volueris, eadem instructos scientia fuisse reperies. Nam de plantis, uti jam ante dixi, deque animantium sive quæ in terra, sive quæ in aquis degunt, ac de ipsarum
8 etiam volucrum natura plurima docuerunt. Imo de cœli quoque
sideribus disputarunt, cum et Ursæ, et Pleiadum, et Orionis, et Arcturi, quem Arctophylacem, quasi ursæ custodem, et Booten
9 Græci vocare solent, crebra in eorum scriptis mentio habeatur. Quin
etiam de orbis molitione, deque universi conversione ac mutatione, de animi excellentia, de omnium ratione præditorum, seu quæ videtur, seu quæ non videtur, naturæ procreatione, de providentia rerum universitatem complexa, atque ante hæc omnia de principe

τίου, τῆς τε τοῦ δευτέρου θεολογίας, καὶ τῶν ἄλλων τῶν
διανοίᾳ μόνῃ ληπτῶν τοὺς λόγους καὶ τὰς θεωρίας εὖ
μάλα καὶ ἀκριβῶς περιειλήφασιν· ὡς μὴ ἂν ἁμαρτεῖν
τοὺς μετὰ ταῦτα παρ' Ἕλλησι τὴν τούτων φύσιν ἀνη-
ρευνηκότας πρεσβύταις οἷα νεωτέρους κατηκολουθηκέναι
10 φάναι. Ταῦτα μὲν δὴ καὶ περὶ τῆς τοῦ παντὸς φυσιο- d
λογίας. Διχῇ δὲ καὶ τὸν περὶ τούτων διαστειλάμενοι
λόγον, τὸν μὲν περὶ τῶν αἰσθητῶν οὐκ εἰς ἄκρον ᾤοντο
δεῖν εἰς τοὺς πολλοὺς ἐκφέρειν, οὐδέ γε τὰς αἰτίας τῆς
τῶν ὄντων φύσεως τὸ δημῶδες πλῆθος ἐκδιδάσκειν, πλὴν
ὅσον ἦν ἀναγκαῖον εἰδέναι, ὅτι τε μὴ ἀπηυτομάτισται τὸ
πᾶν, μηδ' εἰκῇ καὶ ὡς ἔτυχεν ἐξ ἀλόγου φορᾶς ὑφέστη-
κεν, ἄγεται δ' ὑφ' ἡνιόχῳ Θεοῦ λόγῳ, καὶ δυνάμει σο-
11 φίας ἀρρήτου διακυβερνᾶται. Περὶ δὲ τῶν νοητῶν, ὅτι
μέν ἐστι, καὶ τίνα, ὅπη τε διατάξεως ἔχει δυνάμεώς
τε καὶ διαφορᾶς, εἴρηται μέν, καὶ ταῖς ἱεραῖς βίβλοις

c 8. εὖ καὶ] εὖ μάλα καὶ C.F.G. 10. πρεσβύτας] ἴσ. πρεσβύταις Vigeri marg. Sic F.G.I. Mox φάναι om. G. d 2. καὶ περὶ] καὶ τὸν περὶ C.F.G.I. 4. εἰς πολλοὺς] τοὺς πολλοὺς C.F.G. 5. οὐδέ γε —ἐκδιδάσκειν om. I. τῆς δημῶδες] τῆς τῶν ὄντων φύσεως τὸ δημόδες (δημῶδες F.G.) C.F.G. 6. ὅσον εἰδέναι] ὅσον ἦν ἀναγκαῖον εἰδέναι C.F.G.I. 12. τε καὶ] τε om. I.

rerum omnia caussa, necnon de secundo illarum principio, cæteris-
que omnibus quæ sola mente percipiuntur, egregias in primis et ac-
curatas disputationes habuere. Ita profecto, citra omne aberrandi
periculum, id pronuntiare liceat, qui e Græcis postea in scrutanda
rerum istarum natura versati sunt, eos utpote juniores priscorum
10 illorum vestigiis institisse. Atque hæc a nobis de universi apud
Hebræos physiologia dicta sufficiant. Cæterum illi cum duo tracta-
tionis hujus capita statuerent, alterum illud, quod res sensibus ob-
jectas complectitur, non subtiliter et enucleate vulgo explicandum,
nec singularum naturæ caussas plebeiæ multitudini aperiendas puta-
verunt, nisi quantum necesse erat, ut omnes intelligerent, universum
hoc neque per sese, neque casu ac temere, fortuito quodam impetu
extitisse : at summi moderatoris Dei ratione, et infinitæ sapientiæ
11 numine gubernari. Res autem illas quod attinet, quæ sola mente
capiuntur, cum ejusmodi aliquas esse, tum illarum quoque gradum,
vim, atque discrimen non modo sacræ passim literæ docuerunt, sed

ἐγκαταβέβληται, εἰς ἐξάκουστόν τε τοῖς πᾶσι παραδέδοται, καθ᾽ ὅσον εἰδέναι χρῆν τοὺς εὐσεβείας μεταποιουμέ- p. 523
νους εἰς ἀνάληψιν εὐλαβοῦς καὶ σώφρονος βίου. Τὸν δὲ δὴ βαθὺν καὶ λεληθότα περὶ τούτων λόγον ἐν ἀπορρήτοις ζητεῖν τε καὶ διδάσκεσθαι κατελίμπανον τοῖς οἵοις τε τὰ τοιάδε μυεῖσθαι. Βραχέα δὲ καὶ ὡς ἐν τύπῳ φάναι, εὖ ἂν ἔχοι καὶ τῆς τούτων διελθεῖν ἐποπτείας, τόν τε Πλάτωνα κἀν τούτῳ τὰ φίλα πεφρονηκότα τοῖς δηλουμένοις παραστῆσαι.

8 Οὐ μὴν ἀλλὰ καὶ περὶ τῆς τῶν νοητῶν καὶ ἀσωμά- b
των παιδεύσεώς τε καὶ θεωρίας τῷ πανσόφῳ Μωσεῖ καὶ τοῖς Ἑβραίων προφήταις Πλάτων ὁ θαυμάσιος ἐπηκολουθηκέναι διὰ τῶν οἰκείων φωνῶν ἐστὶ δῆλος· εἴτ᾽ ἐξ ἀκοῆς εἰς αὐτὸν ἡκούσης μαθὼν, (ἐπεὶ καὶ συνίσταται c
παρ᾽ Αἰγυπτίοις τηνικάδε τὰς διατριβὰς πεποιημένος, καθ᾽ ὃν Ἑβραῖοι τῆς οἰκείας δεύτερον ἀποπεσόντες γῆς

p. 523. 2. τὸν δὲ] τὸν δὲ δὴ C.F.G.I. 3. ἐν ἀπορρήτοις] ἐν om. C.F.G. 5. μνῆσθαι] μυεῖσθαι C.F. ἴσ. μεμνῆσθαι Vigeri margo. 6. καὶ ὡς] καὶ om. C.F.G. 8. φίλα] φύλα D. b 3. περὶ τῆς] ἐπὶ τῆς C.F. G.I. 6. ἐπηκολουθηκὼς] ἐπηκολούθηκεν B.D. -θηκέναι C.F.G.I. 7. διὰ τῶν—δῆλος om. B.

etiam ea promiscue semper omnibus audire licuit, quantum iis quidem nota esse debuerunt, qui pietatem profitentur, ut castigatioris et honestioris vitæ rationes intelligant. Sed tamen altiorem illum occultioremque sensum, quem includunt, iis duntaxat, qui ejus meminisse possent, sub arcanis verborum ac sententiarum involucris, quærendum discendumque reliquerunt. Atque hic operæ pretium fuerit, pauca quædam vel informandæ rei gratia, de hoc etiam altero genere disserere, quamque in eodem Hebræis affinia similiter ac gemina Plato senserit, demonstrare.

8 Enimvero Platonem illum, quem tantopere omnes admirantur, in hac quoque rerum spiritalium et incorporearum doctrina et ratione explicanda, non modo sapientissimum Mosem, verum etiam alios Hebræorum prophetas, sequutum esse, vel ex ipsis ejus verbis manifeste constat: sive eam fama et auditione acceperit, cum certum sit, apud Ægyptios tunc temporis illum degisse, cum Hebræi patria

Αἰγυπτίοις ἐπεχωρίαζον, Περσῶν ἐπικρατούντων,) εἴτε καὶ παρ' ἑαυτοῦ τῇ τῶν πραγμάτων ἐπιβαλὼν φύσει, εἴτε ὁπωσοῦν ὑπὸ τοῦ Θεοῦ καταξιωθεὶς τῆς γνώσεως. Ὁ Θεὸς γάρ, φησὶν, αὐτοῖς ἐφανέρωσε. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. Μάθοις δ' ἂν τὸ εἰρημένον ὧδέ πῃ διασκοπούμενος.

[308] 9 Μωσέως ἐν ταῖς ἱεροφαντίαις χρησμὸν ἐκ προσώπου d
τοῦ Θεοῦ φήσαντος, Ἐγώ εἰμι ὁ ὤν. Οὕτως ἐρεῖς τοῖς
υἱοῖς Ἰσραὴλ, ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς, παραθεμένου
δὲ καὶ τὸν Θεὸν ἄντικρυς μόνον ὄντα, καὶ τῆσδε κυρίως
καὶ ἁρμοδίως ἠξιωμένον τῆς κλήσεως ἀποφηναμένου·
2 πάλιν τε αὖ Σολομῶνος περὶ τῆς τῶν αἰσθητῶν καὶ
σωματικῶν γενέσεώς τε καὶ φθορᾶς ἀνειπόντος, Τί τὸ p. 524
γεγονός; Αὐτὸ τὸ γενησόμενον. Καὶ τί τὸ πεποιημένον; Αὐτὸ

c 4. ἐπιχωρίαζον I. 7. θεοῦ] τοῦ θεοῦ C.F.G.I. Mox τῆς γνώσεως om. F. Tum αὐτοῖς φησὶν I. 10. αὐτοῦ ἀΐδιος] ἀΐδιος αὐτοῦ B.C. F.G.I. 12. δ' ἂν] δ' om. B. d 6. φήσαντος] φήσαντα B. 8. δὲ καὶ] δὲ om. B.D.F.G. Mox ἄντικρυς μόνον B.C.F.G.I. 11. σολομῶντος] σολομῶνος B.C.F.G.I. Mox σωμ. καὶ αἰσθ. C.F.G.

p. 523. γενησόμενον] Addidi καὶ τί τὸ πεποιημένον αὐτὸ τὸ ποιηθησόμενον cum B.C.F.G.I.

secundo pulsi, Persis dominantibus, in Ægypto versarentur: sive per sese propriam rerum naturam rimatus, sive quocunque modo in
Rom. 1, 20. eam divinitus cognitionem perductus fuerit. *Deus enim,* inquit apostolus, *ipsis manifestavit. Invisibilia enim ipsius, a creatura mundi, per ea quæ facta sunt intellecta conspiciuntur, ipsa quoque ejus sempiterna virtus atque divinitas, ut sint inexcusabiles.* Tu vero facile hujus rei veritatem ex sequentibus intelligas.

9 Ejusmodi oraculum Moses sacris in literis ex persona Dei pro-
Exod. 3, 14. nuntiat, *Ego sum, qui sum. Sic dices filiis Israel, Qui est, misit me ad vos:* atque ita Deum unum ex omnibus vere esse, ac genus hoc
2 nominis in eum proprie solum apteque convenire declarat. Similiter de rerum, quæ sensu percipiuntur, quæque corpore præditæ sunt,
Eccl. 1, 9. ortu simul atque interitu Salomon ita loquitur. *Quid est, quod fuit?*

τὸ ποιηθησόμενον. Καὶ οὐκ ἔστι πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον, ὃ λαλήσει καὶ ἐρεῖ, ἴδε τοῦτο καινόν ἐστιν· ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν·
3 τούτοις δὲ καὶ ἡμῶν ἀκολούθως εἰς δύο τὸ πᾶν διαιρούντων, εἴς τε νοητὸν καὶ αἰσθητόν· καὶ τὸ μὲν νοητὸν, ἀσώματον καὶ λογικὸν τὴν φύσιν, ἄφθαρτόν τε καὶ ἀθάνατον εἶναι ὁριζομένων· τὸ δ' αἰσθητὸν ἐν ῥύσει καὶ φθορᾷ, μεταβολῇ τε καὶ τροπῇ τῆς οὐσίας ὑπάρχειν· πάντων δ' ἐπὶ μίαν ἀρχὴν ἀνακεφαλαιουμένων, ἕν τε b
εἶναι τὸ ἀγένητον, καὶ τὸ κυρίως καὶ ἀληθῶς ὂν δογματιζόντων, τὸ πάντων ἀσωμάτων τε καὶ σωμάτων αἴτιον·
4 θέα τίνα τρόπον οὐ μόνον τὴν διάνοιαν, ἀλλὰ καὶ τὰς λέξεις αὐτὰς καὶ τὰ ῥήματα τῆς Ἑβραίων γραφῆς παραξέσας ὁ Πλάτων ἐξοικειοῦται τὸ δόγμα, πλατύτερον ὧδέ πη διασαφῶν·

Τί τὸ ὂν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον; Καὶ τί τὸ γινόμενον ΠΛΑΤΩΝΟΣ

a 3. ὃς λαλ.] ὃ λαλ. B.D.E.F.G.I. Versio vetus apud Hieronymum T. III. p. 391 b. ed. Vallars. *Non est omne recens sub sole, quod loquatur et dicat, Ecce hoc novum est.* 5. τούτων—ἡμῖν] τούτοις—ἡμῶν C.F.G. 8. ἄφθαρτόν τε καὶ ἀθ. om. B. b 7. ἐξοικειοῦται—πλατύτερον D. om. 9. τί τὸ] τι om. C.F.G. Tum γενόμενον B.F.G. Mox δὲ om. B.

Ipsum quod futurum est. Nihil sub sole novum. Nec valet quisquam dicere, ecce hoc recens est: jam enim præcessit in sæculis, quæ fuerunt
3 *ante nos.* Iidem nobis consequenter id omne quod est in duo genera partiuntur, spiritale, sensuque perceptum: et spiritalia quidem corpore libera, sed a natura cum instructa ratione, tum interitus ac mortis expertia esse statuunt; contra vero sensibus obvia, in fluxu et corruptione, atque in assidua naturæ suæ mutatione versari. At universis unum ad principium caputque revocatis, unum esse duntaxat, quod neque ortum habuerit, et proprie solum vereque sit, idemque omnium omnino, seu corpore careant, seu cum eo conjuncta
4 sint, caussam atque principium esse decernunt. Jam vide tu mihi, quo pacto ex Hebræorum literis non sententia modo, sed ipsis etiam vocibus verbisque derasis, hoc sibi Plato dogma vendicet, uberius paulo rem ita declarans.

Quid illud est, quod semper est, nec tamen ortum ullum habet? Quid Plato Tim. p. 27 d.

ΠΛΑΤΩΝΟΣ

μὲν ἀεὶ, ὂν δὲ οὐδέποτε; τὸ μὲν δὴ νοήσει μετὰ λόγου περι-
ληπτὸν, ἀεὶ κατὰ τὰ αὐτὰ ὄν· τὸ δὲ αἰσθήσει ἀλόγῳ δοξα-
στὸν, γινόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. c
5 Ἄρ' οὐ σαφῶς πέφηνεν ὁ θαυμάσιος τὸ μὲν παρὰ
Μωσεῖ φῆσαν λόγιον Ἐγώ εἰμι ὁ ὢν μεταποιήσας διὰ τοῦ,
"Τί τὸ ὂν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον;" Καὶ τοῦτό γε λευ-
κότερον διασαφήσας ἐν τῷ φάναι, μηδ' ἄλλο εἶναι τὸ
ὂν, ἢ τὸ οὐ σαρκὸς ὀφθαλμοῖς ὁρώμενον, νῷ δὲ κατα-
λαμβανόμενον. Ἐρωτήσας γοῦν τί τὸ ὂν, αὐτὸς ἑαυτῷ
ἀποκρίνεται, λέγων, "Τὸ μὲν δὴ νοήσει μετὰ λόγου πε-
6 ριληπτὸν ὄν." Τὸ δὲ Σολομώντειον φῆσαν, Τί τὸ γε-
γονός; Αὐτὸ τὸ γενησόμενον· καὶ τί τὸ πεποιημένον; Αὐτὸ d
τὸ ποιηθησόμενον· αὐτοῖς σχεδὸν ῥήμασι διερμηνεύσας
δῆλος ἂν εἴη, λέγων, "Τὸ δ' αἰσθήσει ἀλόγῳ δοξαστὸν,
γινόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν."
Οἷς καὶ ἐπιφέρει·

c. ὄντως] οὕτως C. 3. μωσῇ] μωσεῖ C. Viger. 4. δι' αὐτοῦ] διὰ τοῦ C.F.G.I. 7. ἄλλο—ὀφθαλμοῖς] ἄλλο τὸ ὂν εἶναι ἢ τὸ ὀφ. τῆς σαρκὸς B. ἄλλου D. 10. τὸ μὲν δὴ—ἐπιφέρει om. B. ληπτὸν D. pro περιληπτόν. d 4. τὸ μὲν] ἴσ. τὸ δὲ Vigeri margo. Sic C.F.G. 5. ἀπολλύμενον ὄντως] ἀπολλόμενον οὕτως C. et mox ἐπιφέρει ταῦτα γάρ. ἀπολλόμενον ὄντως F.G. In E.I. item ταῦτα γὰρ π. pro τὰ τοιαῦτα.

illud contra, quod semper nascitur, et nunquam est? Prius illud quidem, quod semper atque eodem modo est, ab sola intelligentia cum ratione percipitur. Alterum hoc, quod oritur simul et occidit, neque unquam vere est, in ea duntaxat, quam sensus ab omni ratione vacuus efficit, opinione versatur.

5 Quid? an non illud Mosis oraculum, *Ego sum qui sum,* egregius Plato manifeste repræsentat, dum suis ipsum ita verbis exprimit, *Quid illud est, quod semper est, nec tamen ortum ullum habet?* Quod etiam candidius et apertius illustravit, dum ait, aliud quod sit esse nihil, nisi quod non corporis oculis videatur, sed mente sola capiatur. Nam ubi quæsivit, quid sit illud quod est; ita respondet ipse sibi,
6 *Nimirum illud, quod ab sola intelligentia percipitur.* Similiter, alterum hoc Salomonis. *Quid est quod fuit? Ipsum quod futurum est. Quid est quod factum est? Ipsum quod faciendum est:* verbis pene totidem interpretatur, dum ait, *Id autem quod oritur simul et occidit, neque unquam vere est, in ea duntaxat, quam sensus ab omni ratione vacuus efficit, opinione versatur.* Quibus etiam quæ sequuntur, adjungit.

ΠΛΑΤΩΝΟΣ

7 Ταῦτα γὰρ πάντα μέρη χρόνου, τὸ ἦν, καὶ ἔσται· ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν, οὐκ ὀρθῶς. Λέγομεν γὰρ δὴ, ὡς ἦν, ἐστί τε, καὶ ἔσται. Τῇ δὲ τὸ ἔστι μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει· τὸ δὲ ἦν, καὶ τὸ ἔσται, περὶ τὴν ἐν χρόνῳ γένεσιν οὖσαν πρέπει λέγεσθαι· κινήσεις γάρ ἐστον. Τὸ δὲ ἀεὶ κατὰ τὰ αὐτὰ ἔχον ἀκινήτως, οὔτε πρεσβύτερον, οὔτε νεώτερον προσήκει γίνεσθαι διὰ χρόνον· οὐδὲ γενέσθαι ποτὲ, οὐδὲ γεγονέναι νῦν, οὐδ᾽ εἰσαῦ- p. 525
θις ἔσεσθαι τοπαράπαν, οὐδ᾽ ὅσα γένεσις τοῖς ἐν αἰσθήσει φερομένοις προσῆψεν· ἀλλὰ χρόνου ταῦτα, αἰῶνα μιμουμένου καὶ κατ᾽ ἀριθμὸν κυκλουμένου, γέγονεν εἴδη. Καὶ πρὸς τούτοις ἔτι τὰ τοιάδε· τὸ [δὲ] γεγονὸς εἶναι γεγονὸς, καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον· ἔτι τε τὸ γενησόμενον εἶναι γενησόμενον.

8 Καὶ ἵνα γε μή τις ἡμᾶς παρερμηνεύειν ἡγήσηται τὰς τοῦ φιλοσόφου φωνὰς, ὑπομνήμασι χρήσομαι τῶνδε b
τῶν λόγων τὴν διάνοιαν ἐκφαίνουσι. Πλείους μὲν οὖν

d 6. γὰρ πάντα] γὰρ om. B. 10. λόγον προσήκει] προσήκει λόγον B. 11. λέγεσθαι πρέπει F.G. 12. κίνησις D. ult. διὰ χρόνον] διὰ τῶν χρόνων B. διὰ τὸν χρόνον D. διὰ χρόνου Plat.

p. 525. 2. οὐδ᾽ ὅσα—προσῆψεν om. B. 4. καὶ κατ᾽] καὶ om. G. 6. τὸ δὲ] δὲ om. B.C.D.F.G. τό τε Plat. Mox γιγν. C.F.G. bis. 7. τὸ γεγονὸς F. 9. γε μή τις] μή τι γε B. b. τῶνδε τῶν—ἐμοὶ δ᾽ om. B. qui pergit, ἀπὸ πολλῶν οὖν ἐξαρκεῖ Νουμηνίου τοῦ Π. qui infra om. δευτέρῳ et πη.

7 Quippe, temporis enim, inquit, partes istæ sunt, *erat*, atque, *erit:* quas imprudentes sempiternæ etiam naturæ injuria tribuimus. Vulgo enim ita loquimur, *erat*, *est*, *erit:* cum tamen ei solum, *est*, proprie vereque conveniat. *Erat*, autem, vel, *erit*, de ortu qui aliquo tempore fiat, pronuntiare decet, quod utraque voce motus aliquis significetur. At quod eodem se modo semper ac citra motum ullum habeat, id propter ipsum tempus neque vetustius unquam, neque recentius fieri potest: imo neque factum esse aliquando, neque nunc primum extitisse, neque omnino futurum esse, nec eorum aliud quicquam subire, quæ ipsemet ortus, iis quæ sensuum incertitudine jactantur, adjunxit: cum ista formæ quædam sint partesque temporis, quod æternitatem imitetur quidem, sed tamen certa quadam numerorum conversione volvatur. Quo etiam ista pertinent, Quod factum sit, id esse factum: quod fiat, id esse quod fit: denique quod futurum sit, futurum id esse.

Plato Tim. p. 37 e.

8 Ac ne quis philosophi verba in alienum me sensum torquere criminetur, eos ipsos commentarios, quibus illorum sententia declaratur, proferre juvat. Cum autem hoc in interpretandi genere plerique

εἰς τὴν τούτων ἐπιβεβλήκασι θεωρίαν· ἐμοὶ δ' ἐξαρκεῖ
τανῦν ἀνδρὸς ἐπιφανοῦς Νουμηνίου τοῦ Πυθαγορείου
παραθέσθαι λέξεις, ἃς ἐν τῷ Περὶ τἀγαθοῦ δευτέρῳ
συγγράμματι ὧδέ πῃ διέξεισιν·

10 Φέρε οὖν ὅση δύναμις ἐγγύτατα πρὸς τὸ ὂν ἀναγώμεθα, c
NOT-MH-NIOT [309] καὶ λέγωμεν, τὸ ὂν οὔτε ποτὲ ἦν, οὔτε ποτὲ μὴ γένηται· ἀλλ'
2 ἔστιν [ἀεὶ] ἐν χρόνῳ ὡρισμένῳ, τῷ ἐνεστῶτι μόνῳ. Τοῦτον
μὲν οὖν τὸν ἐνεστῶτα εἴ τις ἐθέλει ἀνακαλεῖν αἰῶνα, κἀγὼ
συμβούλομαι· τὸν δὲ παρελθόντα χρόνον οἴεσθαι χρὴ ἡμᾶς
διαπεφευγότα, ἤδη διαπεφευγέναι ἀποδεδρακέναι τε εἰς τὸ
εἶναι μηκέτι· ὅ τε αὖ μέλλων ἐστὶ μὲν οὐδέ πω, ἐπαγγέλλε- d
3 ται δὲ οἷός τε ἔσεσθαι ἥξειν εἰς τὸ εἶναι. Οὐκ οὖν εἰκός ἐστιν
ἑνί γε τρόπῳ νομίζειν τὸ ὂν ἤτοι μὴ εἶναι, ἢ μηκέτι, ἢ μη-
δέπω. Ὡς τούτου γε οὕτως λεγομένου, ἓν γίνεταί τι ἐν τῷ
4 λόγῳ μέγα ἀδύνατον, εἶναί τε ὁμοῦ ταυτὸν καὶ μὴ εἶναι. Εἰ
δὲ οὕτως ἔχει, σχολῇ γ' ἂν ἄλλο τι εἶναι δύναιτο, τοῦ ὄντος
αὐτοῦ μὴ ὄντος κατὰ αὐτὸ τὸ ὄν. Τὸ γὰρ ὂν ἀΐδιόν τε

b 4. Πυθαγαρείου] Πυθαγορίου B.F. c 5. ἀεὶ om. B.C.F.G. 6. μόνῳ] μόνον B.D. Tum τοῦτο D. 7. καλεῖν] ἀνακαλεῖν B.C.D.F.G.I. συμβουλεύω] συμβούλομαι C.F.G.I. Vigeri marg. συμβουλεύομαι E. 9. ἤδη] ἢ B. qui mox om. ὅ τε αὖ μ.—οὕτως ἔχει. d. οἷς D. 2. ἥξειν] ἥξει G. 3. ἑνί γε] ἐνίοτε E. 4. ὥστε τούτου] ὡς τούτου C.D.F.G. 7. ἔχει σχολῇ, σχολῇ γ' F. 8. τοῦ ὄντος] τὸ ὄντος B. αὐτὸ τὸ ὂν] τοαυτὸ τὸ ὂν C. Mox ἄρα B.C.F.G. pro γάρ.

versati sint, mihi quidem satis hoc loco fuerit, Numenii Pythagorici, cujus percelebre nomen est, ipsissima quibus secundo De Bono utitur, verba proferre.

10 Age vero, inquit ille, atque ad illud quod est, quantum licet aspiremus : omninoque pronuntiemus, quod est, id neque fuisse unquam, neque unquam futurum esse, at certo duntaxat præsentique tempore semper esse :
2 quod sane tempus hoc modo præsens, si quis æternitatem dicere voluerit, me auctore quidem id faciat. At vero tempus præteritum, ejusmodi nos existimare decet, quod jam prorsus aufugerit, atque ita evanuerit, ut penitus esse desierit : futurum autem, quod nondum sit, tametsi ut sit aliquando,
3 habere posse dicatur. Minus ergo consentanee fecerit, qui, quod est, id ipsum uno eodemque modo, vel absolute non esse, vel non amplius, vel nondum esse statuerit. Qui enim sic loquatur, is rem, quæ nunquam
4 plane fieri possit, loquatur, idem esse simul ac non esse. Quippe, hoc si semel verum esse dabitur, ægre sane admodum aliud quidvis esse poterit, ubi id ipsum quod est, etiam qua tale est, nullum erit. Quod enim est, id

ΝΟΥΜΗΝΙΟΥ

βέβαιόν τε ἐστὶν, ἀεὶ κατὰ ταυτὸν [καὶ ταυτὸν, καὶ] οὐδὲ γέγονε μὲν, ἐφθάρη δὲ, οὐδ᾽ ἐμεγεθύνατο μὲν, ἐμειώθη δέ· οὐδὲ μὴ ἐγένετό πω πλεῖον, ἢ ἔλασσον· καὶ μὲν δὴ τά τε
5 ἄλλα, καὶ οὐδὲ τοπικῶς κινηθήσεται. Οὐδὲ γὰρ θέμις αὐτῷ κινηθῆναι, οὐδὲ μὲν ὀπίσω, οὐδὲ πρόσω· οὔτε ἄνω ποτὲ, οὔτε κάτω· οὐδ᾽ εἰς δεξιὰ, οὐδ᾽ εἰς ἀριστερὰ μεταβήσεταί ποτε τὸ p. 526 ὄν· οὔτε περὶ τὸ μέσον ποτὲ ἑαυτοῦ κινηθήσεται· ἀλλὰ μᾶλλον καὶ ἑστήξεται, καὶ ἀραρός τε καὶ ἑστηκὸς ἔσται κατὰ ταυτὰ ἔχον ἀεὶ, καὶ ὡσαύτως.

6 Καὶ ἑξῆς, μεθ᾽ ἕτερα ἐπιλέγει·

Τοσαῦτα μὲν οὖν μοι πρὸ ὁδοῦ. Αὐτὸς δ᾽ οὐκέτι σχηματισθήσομαι, οὐδ᾽ ἀγνοεῖν φήσω τὸ ὄνομα τοῦ ἀσωμάτου· καὶ γὰρ κινδυνεύει νῦν ἤδη ἥδιον εἶναι εἰπεῖν μᾶλλον, ἢ μὴ εἰπεῖν. Καὶ δῆτα λέγω τὸ ὄνομα αὐτῷ εἶναι τοῦτο τὸ πάλαι
7 ζητούμενον. Ἀλλὰ μὴ γελασάτω τις, ἐὰν φῶ τοῦ ἀσωμά- b
του εἶναι ὄνομα οὐσίαν καὶ ὄν. Ἡ δὲ αἰτία τοῦ ὄντος ὀνό-

d 9. ἀεὶ] αἰεὶ C.G. Mox καὶ ταυτὸν καὶ om. B.C.F.G. post κατὰ ταυτόν. ante οὐδὲ D.E.I. om. καί. 14. αὐτῷ] αὐτὸ B. αὖθις F. ult. οὔτε κάτω] οὐδὲ κάτω B.C.D.F.G.

p. 526. μετατεθήσεται] μεταβήσεται C.F.G. μ. π. τ. ὄ. om. B. μετατεθεύσεται D. μεταθεύσεται E.I. 2. μᾶλλον καὶ] καὶ om. F.G. 3. καὶ ἀρ.—ἔσται om. B. 4. καὶ ὡσαύτως] καὶ om. B.D. Mox om. ἑξῆς B.D. et ἐπιλέγει et μοι om. B. 7. καὶ γὰρ—φθαρήσεσθαι om. B. 8. κινδυνεύει νῦν] κινδυνεύειν F. ἴδιον] γρ. ἥδιον Vigeri margo. Sic F.G. qui pergunt εἶναι μᾶλλον εἰπεῖν ἢ μή. b. ἐὰν φῶ] εἰ φήσω in marg. γρ. ἐὰν φῶ D. 2. ὄντος] ὄντως C.

sempiternum est, atque eodem sese modo constanter habet; non autem vel ita fuit, ut deinde interierit, vel crevit modo, modo decrevit, vel majus nondum aut minus evasit. Præterea nec alio quovis motus genere, nec
5 loco tenus unquam movebitur. Fas enim utique non est, uti quod vere est, idem retrorsum vel antrorsum; sursum aut deorsum; dextrorsum vel sinistrorsum moveri omnino transferrive possit: ac ne circa sui quidem ipsius medium movebitur: sed hærebit potius, et immotum atque inconcussum per sese semper, eademque ratione consistet.

6 Idemque nonnullis interjectis, deinceps ita prosequitur.

Atque hæc muniendæ viæ gratia mihi dicta sunto. Jam vero simulatione omni posita, nosse me incorporei nomen ingenue profitebor; cum id nunc quidem pronuntiari jucundius futurum videatur, quam sileri. Et quidem
7 illud ipsum, quo de jampridem quæritur, ei nomen esse contendo. Nec rideat hic quisquam, dum audit proprium incorporei nomen, substantiam, atque id quod est, abs me constitui. Nominis quippe hujus eam esse

ΝΟΥ-ΜΗ-ΝΙΟΥ

ματός ἐστι, τὸ μὴ γεγονέναι, μηδὲ φθαρήσεσθαι, μήδ' ἄλλην μήτε κίνησιν μηδεμίαν δέχεσθαι, μήτε μεταβολὴν κρείττω ἢ φαύλην· εἶναι δὲ ἁπλοῦν καὶ ἀναλλοίωτον, καὶ ἐν ἰδέᾳ τῇ αὐτῇ, καὶ μήτε ἐθελούσιον ἐξίστασθαι τῆς ταυτότητος, μήθ'
8 ὑφ' ἑτέρου προσαναγκάζεσθαι. Ἔφη δὲ καὶ ὁ Πλάτων ἐν
Κρατύλῳ τὰ ὀνόματα ὁμοιώσει τῶν πραγμάτων εἶναι αὐτὰ c
ἐπίθετα. Ἔστω οὖν καὶ δεδόχθω εἶναι τὸ ὂν τὸ ἀσώματον.

9 Εἶθ' ὑποκαταβὰς ἐπιλέγει,

Τὸ ὂν εἶπον ἀσώματον, τοῦτο δὲ εἶναι τὸ νοητόν. Τὰ μὲν οὖν λεχθέντα, ὅσα μνημονεύειν ἐστί μοι, τοιαῦτα γοῦν ἦν. Τὸν δ' ἐπιζητοῦντα λόγον ἐθέλω παραμυθήσασθαι, τοσόνδε ὑπειπών, ὅτι ταῦτα τοῖς δόγμασι τοῖς Πλάτωνος εἰ μὴ συμβαίνει, ἀλλ' ἑτέρου γ' ἐχρῆν οἴεσθαί τινος ἀνδρὸς μεγάλου,
10 μέγα δυναμένου, οἷον Πυθαγόρου. Λέγει γοῦν Πλάτων·
φέρ' ἀναμνησθῶ πῶς λέγει· "Τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ d
ἔχον; Καὶ τί τὸ γινόμενον μέν, ὂν δὲ οὐδέποτε; Τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιληπτὸν, τὸ δ' αὖ δόξῃ μετὰ αἰσθήσεως

b 5. ἐνδέχεσθαι μηδὲ] δέχεσθαι μήτε B.C.D.F.G. ἐ. μήτε I. 6. καὶ ἐν ἰδέᾳ—ἐτρέπετο γὰρ ἂν om. B. 10. ὁμοιώσει] μειώσει D. ὁ μειώσει E. c. δεδόσθω] δεδόχθω C.D.F.G.I. c 5. γοῦν] τοῦν C.F. τὸν δ'] δ' om. F. 8. τοῦ] τοῖς C.F.G. 9. ἑτέρου γ' ἐχρῆν] ἕτερόν γε χρῆν C.F.G. d. ἔχον] ἔχει C.F.G.

caussam intelligat, quod neque ortum habuerit, neque interiturum sit: imo nec aliud prorsus ullum seu motus, seu mutationis, ejusque vel melioris, vel deterioris genus aliquando subiturum: sed omnino simplex et immutabile, adeoque in eadem semper naturæ suæ ratione persistat, quod ab
8 illa nec suapte sponte, nec aliena vi ac necessitate discedat. Et sane Plato ipsemet in Cratylo, nomina ex propria quadam rerum similitudine imposita esse docet. Maneat igitur, et tanquam verum sumatur, incorporeum esse id, quod est.

9 Quibus paulo post iterum ista subjungit.

Id quod est, incorporeum, idemque sola mente perceptum esse dicebant. Atque hæc sunt, quæ tum disputata fuisse memini. Mihi vero, si quis illam Platonis orationem requirat, hunc ipsi laborem allevare ac mollire placet; si prius hoc monuero, quæ loco illo disputantur, ea si minus ad Platonis dogmata pertineant, alteri certe cuipiam, sed excellenti viro, summaque philosophandi vi prædito assignanda esse, cujusmodi Pythagoram
10 fuisse dixeris. Sic igitur Plato: nam verborum meminisse conandum est. Quid illud est, inquit, quod semper est, nec tamen ortum habet ullum? Quid illud contra, quod oritur, et nunquam est? Prius illud quidem ab sola intelligentia cum ratione percipitur: alterum hoc, quod

ἀλόγου δοξαστὸν, γινόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέ- ΝΟΥΜΗΝΙΟΥ
11 ποτε ὄν." Ἤρετο γὰρ, τί ἐστι τὸ ὄν, φὰς αὐτὸ ἀγένητον
ἀναμφιλέκτως. Γένεσιν γὰρ οὐκ ἔφη εἶναι τῷ ὄντι· ἐτρέπετο
γὰρ ἄν· τρεπόμενον δὲ οὐκ ἦν ἀΐδιον.

12 Εἶτα ὑποβάς φησιν·

Εἰ μὲν δὴ τὸ ὂν πάντως πάντη ἀΐδιόν τε ἐστὶ καὶ ἄτρε-
πτον, καὶ οὐδαμῶς οὐδαμῇ ἐξιστάμενον ἐξ ἑαυτοῦ, μένει δὲ
κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἕστηκε, τοῦτο δήπου ἂν εἴη τὸ τῇ
13 νοήσει μετὰ λόγου περιληπτόν. Εἰ δὲ τὸ σῶμα ῥεῖ καὶ φέ-
ρεται ὑπὸ τῆς εὐθὺ μεταβολῆς, ἀποδιδράσκει καὶ οὐκ ἔστιν. p. 527
Ὅθεν οὐ πολλὴ μανία μὴ οὐ τοῦτο εἶναι ἀόριστον, δόξῃ δὲ
μόνῃ δοξαστὸν, καὶ ὥς φησι Πλάτων, γινόμενον καὶ ἀπολ-
λύμενον, ὄντως δὲ οὐδέποτε ὄν.

14 Ταῦτα μὲν οὖν ὁ Νουμήνιος, ὁμοῦ τὰ Πλάτωνος καὶ
πολὺ πρότερον τὰ Μωσέως ἐπὶ τὸ σαφέστερον διερμη-

d 4. ἀλόγου] λόγου C. 5. ὄντως] ὄντος D. qui infra γὰρ δὴ cum G.I. 8. τρεπόμενον δὲ] εἰ τρεπόμενον B. 10. τέ ἐστι] ἐστι om. B. qui mox om. καί. 11. ἐξ ἑαυ.] ἐξ om. B.D. 12. κατὰ] καὶ D. qui infra δ' ἄν. ult. περιληπτὸν] ληπτὸν C.G. λεπτὸν F. φέρεται] φθείρεται B.

p. 527. εὐθὺς] εὐθὺ C.D.F.G.I. 2. ὅθεν οὐ—ἀττικίζων om. B. οὐ τοῦτο] οὐ om. C.F.G. 5. ὄντως] ὄντος D. οὕτως F. μὲν ὁ] μὲν οὖν ὁ C.F.G. 7. σαφὲς] σαφέστερον C.F.G. σαφέστερον ἄγων D.

oritur simul et occidit, neque unquam vere est, in ea duntaxat, quam
11 sensus ab omni ratione vacuus efficit opinione versatur. Quærit Plato,
quid illud sit, quod est; id sine dubio carere ortu statuens. Quippe ortum
in eo quod est, locum habere negat: mutaretur enim alioqui: si autem
mutaretur, sempiternum id non esset.

12 Inde aliquantum progressus hæc addit.

Si quod est, id omnino sempiternum et immutabile est, nec ab sese ulla
unquam varietate discedit, sed in una semper eademque ratione permanet,
illud unum profecto sit oportet, quod intelligentia cum ratione capiatur.
13 Contra vero, si corpus fluit, et repentina quadam mutatione abripitur,
evanescit illud quidem, proindeque nullum est. Quare nihil admodum
ille desipiat, qui corpus definiri non posse dixerit, sed ejusmodi esse, quod
in sola, ut ait Plato, opinione versetur, dum oritur simul, et occidit, neque
unquam vere est.

14 Hæc Numenius, quibus non Platonis modo, sed etiam longe anti-
quioris Platone Mosis doctrinam illustravit. Itaque merito sane,

νεύων. Εἰκότως δῆτα εἰς αὐτὸν ἐκεῖνο τὸ λόγιον περιφέρεται, δι' οὗ φάναι μνημονεύεται, τί γάρ ἐστι Πλάτων, ἢ Μωσῆς ἀττικίζων;

15 Θέα δὲ πρὸς τούτοις, εἰ μὴ τὸν παρόντα νοῦν ἐπὶ b
[310] πλεῖον καὶ ὁ Πλούταρχος ἐξαπλῶν συντρέχοι ἂν ταῖς τε προκειμέναις φωναῖς τῶν φιλοσόφων, καὶ ταῖς αὖθις Ἑβραίων κειμέναις ἐν ἑτέροις θεολογίαις, δι' ὧν τοτὲ μὲν εἰσάγεται λέγων ὁ χρηματίζων Θεὸς, Διότι ἐγὼ Κύ-
16 ριος ὁ Θεὸς ὑμῶν, καὶ οὐκ ἠλλοίωμαι· τοτὲ δ' εἰς αὐτὸν ἀφορῶν ὁ προφήτης ἀποτείνεται, Ὅτι δὴ τὰ μὲν ὁρατὰ πάντα τραπείη ἄν ποτε καὶ μεταβληθείη· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Σκόπει γοῦν, εἰ μὴ ὡς c
ἐν προτάσει τοῦ τε παρὰ Μωσεῖ φήσαντος, Ἐγώ εἰμι ὁ ὤν· καὶ τοῦ, ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐκ ἠλλοίωμαι· καὶ τοῦ, Σὺ δὲ ὁ αὐτὸς εἶ, δόξαι ἂν ὁ Πλούταρχος ἐν τῷ Περὶ τοῦ Εἶ τοῦ ἐν Δελφοῖς τὴν διάνοιαν ἐφερμηνεύειν, τάδε λέγων πρὸς λέξιν·

a 8. αὐτὸ] αὐτὸν C.D.F.G. Tum ἐκεῖνο δὴ τὸ D. 9. δι' οὗ φ. μνημ. om. D. qui pergit τὸ τί γάρ. b 2. συντρέχοι] συντρέχει C. 5. ἑτέραις] ἑτέροις C.E.F.G.I. c. μωσῆ] μωσεῖ B.C.I. Viger. 3. ἠλλοί.] ἀλλοί. E.G. 4. εἶ om. B. 6. ὑφερμηνεύειν] ἐφερμ. B.C. D.F.G.

dictum illud hanc in rem celebre circumfertur, Quid enim aliud Plato est, quam Moses attice loquens?

15 Sed tamen vide mihi sis, num ejusdem sententiæ vim uberius adhuc Plutarchus aperiens, cum laudata superiorum philosophorum oratione, et Hebræorum simul theologia variis passim in locis explicata consentiat: dum, modo ista Deo verba tribuuntur, *Quoniam*
Malach. 3, 6. 16 *ego Dominus Deus vester, et non mutor:* modo in eundem propheta
Ps. 101, 28. respiciens, ita pronuntiat, *Visibilia omnia transibunt et mutabuntur. Tu autem idem ipse es, et anni tui non deficient.* Vide, inquam, num proposita veluti quæstione, cum ejus qui sic apud Mosem loquebatur, *Ego sum qui sum*, et rursus, *Ego Dominus Deus vester, et non mutor:* tum etiam alterius, qui Deum ipsum ita compellabat, *Tu autem idem ipse es*, mentem atque sententiam Plutarchus in suo De syllaba, Εἶ, (Es) quæ Delphico templo inscripta est, opusculo, interpretari velle videatur, his verbis:

11 Οὔτε οὖν ἀριθμὸν, οὔτε τάξιν, οὔτε σύνδεσμον, οὔτε ἄλλο d ΠΛΟΥΤΑΡΧΟΥ
τῶν ἐλλιπῶν μορίων οὐδὲν οἶμαι τὸ γράμμα σημαίνειν· ἀλλ'
ἔστιν αὐτοτελὴς τοῦ Θεοῦ προσαγόρευσις καὶ προσφώνησις,
ἅμα τῷ ῥήματι τὸν φθεγγόμενον εἰς ἔννοιαν καθιστᾶσα τῆς
2 τοῦ Θεοῦ δυνάμεως. Ὁ γὰρ Θεὸς ἕκαστον ἡμῶν τῶν ἐνταῦθα
προσιόντων οἷον ἀσπαζόμενος προσαγορεύει τὸ ΓΝΩΘΙ ΣΑΥ-
ΤΟΝ, ὃ τοῦ ΧΑΙ͂ΡΕ δὴ οὐθὲν μεῖόν ἐστιν· ἡμεῖς δὲ πάλιν ἀμει-
βόμενοι τὸν Θεὸν ΕΙ͂ φαμὲν, ὡς ἀληθῆ καὶ ἀψευδῆ καὶ μόνην
μόνῳ προσήκουσαν τὴν τοῦ ΕΙ͂ προσαγόρευσιν ἀποδιδόντες.
3 Ἡμῖν γὰρ ὄντως τοῦ εἶναι μέτεστιν οὐδὲν, ἀλλὰ πᾶσα p. 528
θνητὴ φύσις ἐν μέσῳ φθορᾶς καὶ γενέσεως γενομένη φάσμα
4 παρέχει καὶ δόκησιν ἀμυδρὰν καὶ ἀβέβαιον αὑτῆς. Ἂν δὲ
τὴν διάνοιαν ἐπερείσῃ τις, λαβέσθαι βουλόμενος, ὥσπερ ἡ
σφόδρα περίδραξις ὕδατος τῷ πιέζειν καὶ εἰς ταυτὸ συνά-
γειν διαρρέον ἀπόλλυσι τὸ περιλαμβανόμενον, οὕτω τῶν
παθητῶν καὶ μεταβλητῶν ἑκάστου τὴν ἄγαν ἐνέργειαν ὁ

d 2. οὔτε οὖν] οὖν om. B. 3. ἐλλιπῶν] ἐλλειπῶν D. 4. ἄλλον F. 6. προφώνησις G. ἅμα—δυνάμεως om. B. ἅμα om. C.F.G. 10. τὸ γνῶθι] ἴσ. τῷ γν. Vigeri margo et sic Meziriacus ad Plutarch. ὁ τοῦ χαῖρε—ἐστιν om. B. δὴ οὐδὲν] δήπουθεν C.D.G. δὴ οὐθὲν Plut. I. δήποθεν F. 11. μεῖον om. C.G. 12. εἶ φαμὲν] εἴπομεν B.C.D.F.G. ult. τοῦ εἶ] τοῦ εἶναι Plut. ἡμῖν γὰρ βουλόμενος om. B. ἡ. μὲν γὰρ D.F.G.

p. 528. θνητὴ πᾶσα] πᾶσα θνητὴ C.F.G. 2. πᾶσα] πᾶσι D. 4. αὑτῆς om. C.F.G. αὐτῆς D.E. 5. ἀπερείσῃ] ἐπερείσῃ C.D.F.G.I. 6. τῷ] τὸ D. 9. ἐνέργειαν] ἐνάργειαν Plut. Hæc verba sæpius permutari notum est.

11 Equidem neque numerum, neque ordinem, neque vinculum, neque aliud Plutarch. p. 391 f.
quodlibet dimidiatæ particulæ genus ea syllaba significari existimo. Est
omnino Dei perfectum ex sese integrumque nomen, quod ei a quo pronun-
tiatur, una cum voce ipsum continuo potestatis divinæ sensum et cogita-
2 tionem injiciat. Nam cum unumquemque nostrum qui eo accedimus, hac
veluti Deus salutatione compellat, Nosce te ipsum, quod quidem nihilo
minus sonat, quam Salve: tum vero nos, resalutandi Numinis gratia, re-
spondemus Εἶ: (Es) quasi veram ac propriam, adeoque solam eique soli
convenientem hanc a nobis appellationem tribui fateamur.
3 Nos enim vere nullo modo sumus: sed omnis omnino natura mortalis,
in quodam interitus ortusque medio constituta, umbram sui duntaxat
4 aliquam, exilemque ac lubricam opinionem ostendit; quam si incumbente
in eam animo comprehendere volueris, tum vero, quemadmodum aquam si
manu vehementius retinere coneris, dum premis, dum in unum cogis,
effluit illa penitusque dilabitur. Sic ratio, dum eorum quæ varios subinde
casus ac mutationes subeunt, illustrem illam quæ sibi objiciatur speciem

ΠΛΟΥΤΑΡΧΟΥ

λόγος διώκων ἀποσφάλλεται, τῇ μὲν εἰς τὸ γινόμενον αὐτοῦ, τῇ δὲ εἰς τὸ φθειρόμενον, οὐδενὸς λαβέσθαι μένοντος, οὐδὲ b
5 ὄντος ὄντως δυνάμενος. Ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ καθ' Ἡράκλειτον, οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν, ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει, μᾶλλον δὲ οὐδὲ πάλιν οὐδὲ ὕστερον, ἀλλ' ἅμα συνίσταται καὶ ἀπολείπει, καὶ πρόσεισι καὶ ἄπεισιν.
6 Ὅθεν οὐδὲ εἰς τὸ εἶναι περαίνει τὸ γινόμενον αὐτῆς, τῷ μηδέποτε λήγειν μηδ' ἵστασθαι τὴν γένεσιν· ἀλλ' ἀπὸ σπέρματος ἀεὶ μεταβάλλουσαν, ἔμβρυον ποιεῖν, εἶτα βρέφος, εἶτα παῖδα, μειράκιον ἐφεξῆς, νεανίσκον, ἄνδρα, πρεσβύτην, γέ- c
ροντα, τὰς πρώτας φθείρουσαν γενέσεις καὶ ἡλικίας ταῖς ἐπι-
7 γινομέναις. Ἀλλ' ἡμεῖς ἕνα φοβούμεθα γελοίως θάνατον, ἤδη τοσούτους τεθνηκότες καὶ θνήσκοντες. Οὐ γὰρ μόνον, ὡς Ἡράκλειτος ἔλεγε, πυρὸς θάνατος, ἀέρι γένεσις, ἀλλ' ἔτι σαφέστερον ἐπ' αὐτῶν ἡμῶν· φθείρεται μὲν ὁ ἀκμάζων

b. μένοντος—δυνάμενος om. B. ὄντος οὔτε ὄντως δυναμένου C.F.G. 4. κατὰ ἕξιν] καταδεῖξιν B. κατὰ δεῖξιν C.F.G. 5. σκίδνησι] σκίδνυσι C. 6. οὐδὲ π.] οὐ π. C.D.F.G. 8. εἰς τὸ εἶναι om. B.C.D.F.G. 9. λήγειν] λέγειν C.I. λέγει F. mox ἵσταται F.G. 11. ἐμποιεῖν] ποιεῖν B.C.D. F.G. Tum εἶτα βρέφος ex ed. Viger. exciderunt. c 2. φθείρουσαν] φθείρουσα B.C.D.F.G. 3. ἐπιγενομέναις D.I. 4. θάνατον π. ἀποτεθ. ἤδη καὶ θν.] θάνατον ἤδη τοσούτους τεθνηκότες B. θ. ἤδη πολλοὺς ἀποτ. C.F.G. ἤδη τοσούτους γε τεθνηκότας D. 6. γένεσις] Adjiciendum ex Plutarcho, καὶ ἀέρος θάνατος, ὕδατι γένεσις. 7. ἔστι] ἔτι E.G.I. ἡμῶν] ἴδοις ἂν Plut.

propius insequitur, aberrat ac luditur, quod partim in id quod oritur, partim in id quod interit, sic incurrat, nihil ut quod maneat, quodque vere
5 sit, comprehendere omnino possit. Nam ut *eundem fluvium*, quod Heraclitus dicere solebat, *bis nemo subire potest:* ita mortalem naturam eodem in statu hærentem nemo bis attingat, sed repentino mutationis impetu dissipatur illico, rursumque colligitur; vel potius, ne rursum quidem aut
6 postea, sed existit simul ac desinit, accedit simul simulque discedit. Ita quæ pars illius nascitur, ea nunquam ut perfecte sit assequitur, quod ortus ille neque unquam desinat, neque consistat usquam, sed jam inde ab semine, fœtum inchoatum, mox infantem, puerum inde, inde adolescentem, tum juvenem, senem, vetulum, continua mutatione fingit, ac priores ortus
7 ætatesque delet successione novarum. At nos ridicule sane facimus, qui mortem unam timeamus, jam mortui toties, totiesque morientes. Nec enim modo, quod Heraclitus dicebat, *ignis interitus, aëris ortus est*, et aëris interitus, aquæ vicissim ortus: verum id in nobis etiam ipsis longe illustrius videre est: succedente sene vir extinguitur, ut vir juvene, juvenis

ΠΛΟΥΤΑΡΧΟΥ

γενομένου γέροντος, ἐφθάρη δὲ ὁ νέος εἰς τὸν ἀκμάζοντα, καὶ ὁ παῖς εἰς τὸν νέον, εἰς δὲ τὸν παῖδα τὸ νήπιον, ὁ δὲ χθὲς εἰς τὸν σήμερον τέθνηκεν, ὁ δὲ σήμερον εἰς τὸν αὔριον· μένει δὲ d οὐδὲ εἷς, οὐδέ ἐστιν εἷς, ἀλλὰ γινόμεθα πολλοί, περὶ ἕν τι φάντασμα καὶ κοινὸν ἐκμαγεῖον ὕλης περιελαυνομένης καὶ
8 ὀλισθαινούσης. Ἐπεὶ πῶς οἱ αὐτοὶ μένοντες ἑτέροις χαίρομεν νῦν, ἑτέροις πρότερον, τἀναντία φιλοῦμεν, καὶ μισοῦμεν, καὶ θαυμάζομεν, καὶ ψέγομεν, ἄλλοις χρώμεθα λόγοις, ἄλλοις πάθεσιν, οὐκ εἶδος, οὐ μορφήν, οὐ διάνοιαν ἔτι τὴν αὐτὴν
9 ἔχοντες; Οὔτε γὰρ ἄνευ μεταβολῆς ἕτερα πάσχειν εἰκός, οὔτε μεταβάλλων ὁ αὐτὸς ἂν εἴη. Εἰ δὲ ὁ αὐτὸς οὐκ ἔστιν,
[311] οὐδ᾽ ἔστιν, ἀλλ᾽ ἐκ τοῦ αὐτὸν μεταβάλλειν, γινόμενος ἕτερος ἐξ ἑτέρου· ψεύδεται δὲ ἡ αἴσθησις ἀγνοίᾳ τοῦ ὄντος, εἶναι τὸ p. 529 φαινόμενον.

10 Τί οὖν ὄντως ὄν ἐστι; Τὸ ἀΐδιον καὶ ἀγένητον καὶ ἄφθαρτον, ᾧ χρόνος οὐδεὶς μεταβολὴν ἐπάγει. Κινητὸν γάρ τι, καὶ κινουμένῃ συμφανταζόμενον ὕλῃ, καὶ ῥέον ἀεὶ καὶ μὴ στέ-

c 11. αὔριον τέθνηκεν D. d. εἰς τὸν] εἰς τὴν E.I. 4. οἱ αὐτοὶ] οἱ δ᾽ αὐτοὶ B. 6. φιλοῦμεν καὶ μ.] μ. καὶ φιλ. C.F.G. 12. οὐδ᾽ ἔστιν] οὐκ ἔστιν B.F. ult. γινόμενος] γενομ. C.F.G. Tum ἕτερος om. B.

p. 529. τοῦ ὄντος εἶναι] τοῦ εἶναι τὸ ὄντως φ. B. ὄντως D. 2. τί οὖν ὄντως—συννέμησιν om. B. 4. γάρ τι] τι om. C. Mox συμφανταζ.—ἡ κινουμένη φανταζόμενον D. γὰρ ἡ κ. συμφανταζομένη G. συνφαντ. F.I. φαντ. Steph. 5. ἔοικε D. (sic coll.)

puero, puer infante extincto succedit: imo hesternus in hodiernum interiit, ut in crastinum interit hodiernus. Manet autem nemo, nemo unus est, sed omnino multi efficimur, dum circa unum aliquod simulacrum, exemplarque
8 commune volutatur assidue labiturque materia. Enimvero si iidem manemus, quî tandem alia nobis modo placent, qui aliis ante ducebamur? quî contraria vel amamus aut odimus, vel prædicamus aut damnamus? quî denique aliter atque aliter vel loquimur, vel afficimur, non speciem, non
9 vultum, non mentem amplius eandem retinentes? Quippe, nec sine mutatione, tanta rerum in quoquam varietas, nec is qui mutatur, idem esse potest. Idem porro si non est, ne est ipse quidem, sed ex continua sui mutatione alter subinde fit ex altero. Sensus interea, quoniam ejus quod est naturam ignorat, quod esse adhuc videtur, id esse falso opinatur.

10 Ecquid igitur illud est, quod vere est? Id unum utique, quod sempiternum est, quod ortu simul interituque caret, cui nullum tempus mutationem adfert. Est enim omnino tempus mobile quiddam, quodque simul cum mobili materia, semper fluens, ac nihil usquam firmitatis habens, sic

ΠΛΟΥΤΑΡΧΟΥ

γον, ὥσπερ ἀγγεῖον φθορᾶς καὶ γενέσεως, ὁ χρόνος. Οὗ δὴ
τὸ μὲν ἔπειτα, καὶ τὸ πρότερον, καὶ τὸ ἔσται λεγόμενον, καὶ
11 τὸ γέγονεν, αὐτόθεν ἐξομολόγησίς ἐστι τοῦ μὴ ὄντος. Τὸ
γὰρ ἐν τῷ εἶναι μηδέπω γεγονὸς, ἢ πεπαυμένον ἤδη τοῦ εἶναι
λέγειν ὡς ἔστιν, εὔηθες καὶ ἄτοπον. Ἐν ᾧ δὲ μάλιστα τὴν
νόησιν ἐπερείδοντες τοῦ χρόνου, τὸ ΕΝΕΣΤΗΚΕ, καὶ τὸ ΠΑΡ-
ΕΣΤΙ, καὶ τὸ ΝΥΝ φθεγγόμεθα, τοῦτ' αὖ πάλιν ἐκλυόμενος ὁ b
12 λόγος ἀπόλλυσιν. Ἐκθλίβεται γὰρ εἰς τὸ μέλλον καὶ τὸ
παρῳχημένον, ὥσπερ αὐγὴ, βουλομένοις ἰδεῖν, ἐξ ἀνάγκης
διϊστάμενον. Εἰ δὲ ταυτὰ τῷ μετροῦντι πέπονθεν ἡ μετρου-
μένη φύσις, οὐδὲ αὐτῇ μένον, οὐδὲ ὄν ἐστι, ἀλλὰ γινομένη καὶ
13 φθειρομένη κατὰ τὴν πρὸς τὸν χρόνον συννέμησιν. Ὅθεν
οὐδὲν τοιοῦτόν ἐστιν ἐπὶ τοῦ ὄντος λέγειν, ὡς ἦν, ἢ ἔσται·
ταῦτα γὰρ ἐγκλίσεις τινὲς καὶ μεταβάσεις καὶ παραλλάξεις c
τοῦ μένειν ἐν τῷ εἶναι μὴ πεφυκότος.

14 Ἀλλ' ΕΣΤΙΝ ὁ Θεὸς, εἰ χρὴ φάναι, καὶ ἔστι κατ' οὐδένα

a 6. ἐξ οὗ δὴ] οὗ C.F.G. ἐξ om. D. 8. γέγονεν αὐτόθεν] γεγονέναι ποθεν C.D.F.G. Mox ἐστι om. F.G. 9. μηδέπω] μηδέποτε F.G. 10. ὡς οὐκ ἔστιν E. 11. ἄτοπον] ἄπονον C.F.G. b. ἐκλυόμενος] ἐκδυόμενος E.I. ἄγαν ἐκδυόμενος Plut. 2. λόγος] χρόνος C.D.F.G. 3. παρῳχημένον] παρωχημένον (παρωχημένων F.) ἐξ ἀνάγκης· εἰ δὲ ταῦτα τῷ μετρ. etc. C.F.G. ὥσπερ αὐγὴ] ὥσπερ ἀκμὴ Plutarch. Lego ὡς ἀστραπή. Toup. 6. αὐτὴ μόνον] αὐτῇ μένον C. Vigeri marg. Mox καὶ φθειρομένη om. C.F.G. 8. ὡς ἦν] ὡς εἰ μὴ ταῦτα ἔσται ἐγκλίσεις B.C.F.G. τοιάδε .... ὡς εἰ μὴ ταῦτα ἔσται D. c 2. καὶ D.

tanquam vas aliquod interitus ortusque, cogitatur. Cujus profecto vel appellationes ipsæ, posterius, prius, erit, fuit, illud non esse palam ac per
11 sese confitentur. Nam quod vel nondum habuit ut sit, vel jam esse desiit, id esse, non nisi stolide absurdeque dicas. Quin etiam illud ipsum, quo maxime temporis cogitationem sustinemus, atque fulcimus, dum vel *instans*, vel *præsens*, vel *nunc* dicimus, soluta dissipataque ratio confestim
12 amittit: perinde enim in futurum ac præteritum elisa distrahitur, ut in oculorum radiis usu venit, si quis quod sua quadam necessitate disjunctum atque divulsum est, id semel intueri velit. Jam si eadem ipsa quæ tempori metienti conveniunt, ea quam metitur natura subeat, ne ipsa quidem aut manet, aut vere est, sed prout tempori contribuitur, vel nascitur, vel
13 interit. Quare nihil ejusmodi quod per *erat*, vel *erit*, significetur, de eo quod est, dici queat: cum ista ejusmodi rei, quæ per sese firmiter et constanter esse non potest, inclinationes quædam, seu trajectiones, deflexionesque sint.

14 At vero ita plane loquendum, Deus est, nec tamen ipse tempore ullo est,

ΠΛΟΥΤΑΡΧΟΥ

χρόνον, ἀλλὰ κατὰ τὸν αἰῶνα τὸν ἀκίνητον, καὶ ἄχρονον, καὶ ἀνέγκλιτον, καὶ οὗ πρότερον οὐδέν ἐστιν, οὐδὲ ὕστερον, οὐδὲ μέλλον, οὐδὲ παρῳχημένον, οὐδὲ πρεσβύτερον, οὐδὲ νεώτερον· ἀλλ' εἷς ὢν ἑνὶ τῷ νῦν τὸ ἀεὶ πεπλήρωκε· καὶ μόνον ἐστὶ τὸ κατ' αὐτὸ ὄντως ὄν, οὐ γεγονὸς, οὐδὲ ἐσόμενον, οὐδὲ ἀρξάμενον, οὐδὲ παυσόμενον. Οὕτως οὖν αὐτὸ δεῖ σεβομένους ἀσπάζεσθαι καὶ προσαγορεύειν, ἢ καὶ νὴ Δί', ὡς ἔνιοι τῶν παλαιῶν, ΕἿ ἝΝ. Οὐ γὰρ πολλὰ τὸ θεῖόν ἐστιν, ὡς ἡμῶν ἕκαστος, ἐκ μυρίων διαφορῶν ἐν πάθεσι γινομένων ἄθροισμα d
παντοδαπὸν καὶ πανηγυρικὸν μεμιγμένον· ἀλλ' ἓν εἶναι δεῖ τὸ ὄν, ὥσπερ ὂν τὸ ἕν· ἡ δὲ ἑτερότης, διαφορὰ τοῦ ὄντος, εἰς γένεσιν ἐξίσταται τοῦ μὴ ὄντος.

12 Μωσέως καὶ τῶν παρ' Ἑβραίοις προφητῶν ἁπάντων ἄρρητον εἶναι τὸ θεῖον διδασκόντων, καὶ τῆς ἀρρήτου p. 530
προσηγορίας τὸ σύμβολον διὰ τῆς παρ' αὐτοῖς ἀνεκφω-

c 4. ἀνέγκλητον] ἀνέγκλιτον B.C.D.F.G. Vigeri marg. ἀνέκλειπτον Cyrill. adv. Jul. p. 266. Tum καὶ οὐ C. 6. ἀλλ' εἷς ὢν ἑνὶ τῷ νῦν] ἀλλ' εἴσω μένειν (μένει C.F.G.) ἐν τῷ νῦν καὶ B.C.F.G. νῦν καὶ τὸ D. 8. αὐτὸ] αὐτὸν I. οὐδὲ γεγονὸς] οὐ γεγ. B.C.D.F.G. 9. παυσόμενον] παυσάμενον D. 10. αὐτὸ δεῖ] αὐτὴ δὴ B. 11. ἢ καὶ νὴ δί' etc.] ἢ καὶ οὐ πολλὰ τὸ B. d. διαφορῶν om. I. ἐμπάθεσι] ἐν π. B.C.D.I. Tum γινόμενον B. 2. πανηγυρικῶς Plut. 3. ἓν om. B.C.D.F.G. ὂν τὸ ἕν. εἰδὲ] ἕν. ἡ δὲ B.C.F.G. τὸ ἓν, ἓν D. ult. προφητῶν ἀπ.] ἀπ. προφ. C.F.G.

sed æternitate duntaxat, quæ motu omni, omnique tempore simul et inclinatione caret: cujus nec prius quicquam est, nec quicquam posterius, futurum nihil, nihil præteritum, vetustius nihil, nihilque recentius. Sed qui unus est, idem uno etiam nunc, sempiterni durationem implet: adeoque illud unum est, quod vere per sese est, non autem aut fuit, aut futurum est; quemadmodum nec aliquando cœpit, nec unquam desiturum est. Sic igitur idem ipsum venerando, salutare nos, et appellare decet, aut saltem, his verbis, *Unum es*, id quod priscorum nonnulli factitabant. Nec enim plura Deus est, uti nostrum quilibet, qui congeries quædam sumus, ex omni sexcentarum varietatum diversis ex casibus mutationibusque nascentium genere, et quadam veluti universitate conflata atque permixta. Sed unum oportet id esse, quod est, ac vicissim id esse, quod unum est. Nam alterum quid si additur, illud sane tanquam ejus quod est differentia, ad ejus quod nullum est, procreationem declinat.

Hactenus Plut.

12 Similiter cum Moses ac prophetæ Hebræorum universi, naturam divinam verbis explicari non posse doceant, ejusque reconditi nominis

νήτου σημειώσεως ὑποφαινόντων, τούτοις καὶ ὁ Πλάτων συμφώνως αὐτοῖς ῥήμασιν ἐν τῇ μεγάλῃ Ἐπιστολῇ οἷά φησιν ἄκουε·

ΠΛΑΤΩΝΟΣ 2 Ῥητὸν γὰρ οὐδαμῶς ἐστιν ὡς ἄλλα μαθήματα, ἀλλ' ἐκ πολλῆς συνουσίας γιγνομένης περὶ τὸ πρᾶγμα αὐτὸ καὶ τοῦ συζῆν, ἐξαίφνης, οἷον ἀπὸ πυρὸς πηδήσαντος ἐξαφθὲν φῶς, τῇ ψυχῇ γενόμενον αὐτὸ ἑαυτὸ ἤδη τρέφει.

Καὶ τόδε δὲ τοῦ φωτὸς τὸ παράδειγμα προλαβὼν
ἄλλος Ἑβραίων προφήτης παρέστησεν εἰπών, Ἐσημει- b
ώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Καὶ ἄλλος πάλιν, Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

13 Μωσέως περὶ τοῦ τῶν ὅλων Θεοῦ φήσαντος, Ἄκουε c
2 Ἰσραήλ, Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐστι, πάλιν ὁ Πλάτων τούτῳ συντρέχων, ἕνα Θεὸν εἶναι ὡς καὶ οὐρανὸν ἕνα διδάσκει, ὧδέ πῃ λέγων ἐν Τιμαίῳ·

ΠΛΑΤΩΝΟΣ Πότερον οὖν ὀρθῶς ἕνα οὐρανὸν προσειρήκαμεν, ἢ πολλοὺς

p. 530. 4. αὐτοῖς ῥήμασιν om. B. 5. γὰρ om. F. 7. γινομ.] γιγνομ. B.C. Mox αὐτὸ om. F. 10. δὲ τοῦ] δὲ om. C.F.G. b 3. ὀψόμεθα] ὀψώμεθα B. c. ὅτι θεὸς εἷς ἐστὶ μόνος om. B.C.D. F.G. post φήσαντος. 5. πότερον] πρότερον B. 6. προσειρή.] εἰρή. C.F.G. προειρ. Viger.

quandam veluti notam, singulari, quam ipsimet efferre non possint, elementorum informatione repræsentent: vide sis quam belle Plato cum iisdem in magna illa Epistola consentiat, dum ita loquitur.

Plato Ep. VII. p. 341. 2 Nec enim, inquit, uti reliqua disciplinarum genera solent, ulla penitus exprimi verborum significatione potest: sed tantum, post longam cum eo vitæ consuetudinem, repente lumen aliquod, sic tanquam exiliente igne succensum, ubi semel in animum incidit, se ipso deinceps alitur et gliscit.

Atque hanc etiam luminis similitudinem, alius Hebræorum prophetarum non nemo jam ante occupaverat, his verbis, *Signatum est super nos lumen vultus tui, Domine.* Itemque alius, *In lumine tuo,* inquit, *videbimus lumen.* (Ps. 4, 7. 35, 10.)

13 Præterea, cum de universi moderatore Deo, unum Moses Deum illum esse pronuntiet, dum ait, *Audi Israel, Dominus Deus noster* (Deut. 6, 4.)
2 *Dominus unus est:* Plato rursus cum eo conveniens, uti cœlum unum, ita Deum unum esse docens in Timæo, (Plat. Tim. p. 31 a.)

Rectene igitur, inquit, cœlum unum esse antea statuimus, an vero

καὶ ἀπείρους λέγειν ἦν ὀρθότερον; Ἕνα, εἴπερ κατὰ τὸ παράδειγμα δεδημιουργημένος ἔσται. Τὸ γὰρ περιέχον πάντα ὁπόσα νοητὰ ζῷα, μεθ' ἑτέρου δεύτερον οὐκ ἄν ποτε εἴη. ΠΛΑΤΩΝΟΣ

3 Δῆλος δέ ἐστιν ἕνα Θεὸν εἰδὼς, εἰ καὶ συνήθως Ἕλλησι τῇ τῶν πλειόνων εἴωθε χρῆσθαι προσηγορίᾳ, καὶ ἀπὸ τῆς πρὸς Διονύσιον ἐπιστολῆς, ἐν ᾗ σύμβολα διδοὺς [312] τῶν τε διὰ σπουδῆς αὐτῷ γραφομένων ἐπιστολῶν καὶ d τῶν ἄλλως ἀπερριμμένων, τῶν μὲν μηδὲν ἐχουσῶν σπουδαῖον σημεῖον τὸ τῶν θεῶν ὄνομα προτάξειν ἔφησε, τῶν δὲ πεφροντισμένως αὐτῷ συνταττομένων, τὸ τοῦ Θεοῦ. Λέγει δ' οὖν ὧδε κατὰ λέξιν·

4 Περὶ δὲ δὴ τοῦ ξυμβόλου τοῦ περὶ τὰς ἐπιστολὰς, ὅσας τε ἂν ἐπιστέλλω σπουδῇ καὶ ὅσας μὴ, οἶμαι μέν σε μεμνῆσθαι, ὅμως δ' ἐννόει καὶ σφόδρα πρόσεχε τὸν νοῦν· πολλοὶ γὰρ οἱ κελεύοντες γράφειν, οὓς οὐ ῥᾴδιον φανερῶς διωθεῖ-

c 8. τὸ γὰρ περιέχον—κατὰ λέξιν om. B. 9. δεύτερον] δευτέρου C. F.G. d 3. προστάξειν] προτάξειν D. pr. F.G. Vigeri marg. προστάξειν D. corr. πεφροντισμένους G. 5. περὶ δὲ] περὶ δὲ δὴ C.D. F.G.I. Tum ξυμβ. B.C.F.G.I. 6. πρὸς] π with ε above (παρὰ) B. περὶ C.F.G.I. 8. δ' ἐννόει] δὲ νόει B. 9. κελεύοντες] καὶ λέγοντες B.D. 10. διωθῆσθαι F.

multos, adeoque infinitos posuisse præstabat? Unum utique, si modo suum ad exemplar conformatum illud esse concedimus. Quod enim animantes omnes intelligentia præditos complectatur, id sane nunquam alterum ab altero fuerit.

3 Eundem porro, ut vulgari Græcorum more plurium numinum appellatione uti soleat, Deum tamen unum agnoscere, vel ex ea quam ad Dionysium scribit epistola quivis intelligat: ubi quas studiose ac serio conscriberet epistolas, ab aliis quas temere negligenterque profunderet, sua quadam nota secernens; quæ grave nihil ac serium continerent, iis deorum; quæ vero diligenter abs se ac meditato scriberentur, illis Dei sese nomen, proprium veluti characterem, impressurum esse declarat. Sic enim ad verbum scribit. Plato Ep.XIII. p. 363.

4 Propriam quod attinet epistolarum notam, seu quas serio, dataque opera, seu quas negligentius scribo, tametsi ejus te meminisse existimo, nunc tamen illam cogites velim, ac diligenter attendas. Nos enim permulti, ad sibi scribendum invitant, quibus id facile negari non possit. Igitur sic

ΠΛΑΤΩΝΟΣ

σθαι. Τῆς μὲν οὖν σπουδαίας ἐπιστολῆς ὁ Θεὸς ἄρχει, θεοὶ δὲ τῆς ἧττον.

Διαρρήδην δὲ ὁ αὐτὸς ὁμολογεῖ ἐκ παλαιῶν τὸ περὶ τοῦ Θεοῦ δόγμα μεμαθηκέναι, λέγων ἐν τοῖς Νόμοις· p. 531

Ὁ μὲν δὴ Θεὸς, ὡς καὶ ὁ παλαιὸς λόγος, ἀρχὴν καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος. Τῷ δ' αἰεὶ ξυνέπεται δίκη, τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός· ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς, κεκοσμημένος· ὁ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασι ἐπαιρόμενος, ἢ τιμαῖς, ἢ καὶ σώματος εὐμορφίᾳ, ἅμα νεότητι καὶ ἀνοίᾳ, φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως, ὥστε οὔτε ἄρχοντος οὔτε τινὸς ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, b καταλείπεται ἔρημος Θεοῦ· καταλειφθεὶς δὲ, καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν, σκιρτᾷ ταράττων πάντα ἅμα, καὶ πολλοῖς τισὶν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον οὐ πολὺν ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησε.

ult. ἐκ παλαιῶν om. B.

p. 531. 4. εὐθείαν] εὐθέα C.E.F.G.I. Vigeri margo. εὐθεῖα D. Prætuli εὐθείᾳ ut infra p. 798 d. Hinc usque ad ἁπάντων ἔχων om. B. 8. ὁ δὲ] εἰ δὲ C.G. Supra καὶ κεκοσ. F.G. 10. εὐμορφίαν I. 12. ὡς δὲ in marg. ὥστε D. ὡς δὲ F.G. b 4. ὁμοῦ] ἅμα C.E.F.G.I. Plat. 6. μεμπτὴν] μεμπτὸν C. 7. ἄρδην om. F.

habeto, Quam serio scribimus, hanc a Deo auspicamur, a diis vero, quæ minus habet studii.

Et vero, se ab antiquioribus sanam de Deo sententiam hausisse conceptis ipse disertisque verbis in Legibus confitetur, dum ait:

Plato IV. Legg. p. 716 a.

Deus certe quidem, uti ex priscorum doctrina constat, rerum universarum principia, finem, mediumque complexus, recta illa, quomodo natura postulat, obeundo perficit. Eum perpetuo justitia sequitur, eorum qui abs divina lege discedunt ultrix atque vindex: cui quidem affixus demisso compositoque animo comitatur, quisquis ad felicitatem aspirat: contra vero qui vel superbia intumescens, vel opum vi copiaque sublatus, vel etiam honorum amplitudine, corporisve specie, cum juventutis flore stultitiaque conjuncta insolescens, animo petulantius exardescit, perinde ut si nec principe, nec moderatore ullo indigeat, sed potius ad cæteris imperandum aptus ipsemet idoneusque sit, is Deo vacuus relinquitur: relictus autem, adhibitis illico geminæ protervia sociis, exultat cuncta miscendo; atque interim aliquid esse permultis videtur, at modico post tempore, dignas ab eo pœnas exigente justitia, seipsum, domumque simul, cum tota funditus civitate perdit.

6 Ταῦτα ὁ Πλάτων. Σὺ δέ γε τῷ, Ὁ μὲν δὴ Θεὸς ἀρ-
χὴν καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, παρά-
θες ἀπὸ τῆς Ἑβραίων προφητείας τὸ, Ἐγὼ Θεὸς πρῶτος,
καὶ ἐγὼ μετὰ ταῦτα· τῷ δὲ, Εὐθεία περαίνει κατὰ φύσιν c
ἐπιπορευόμενος, τὸ, Εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.
7 Καὶ πρὸς τὸ, Τῷ δ' αἰεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομέ-
νων τοῦ θείου νόμου τιμωρὸς, σύγκρινον τὸ, Δίκαιος κύριος
καὶ δικαιοσύνας ἠγάπησεν· καὶ τὸ, Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀν-
ταποδώσω, λέγει Κύριος· καὶ τὸ, Διότι ἔκδικος Κύριος, καὶ
ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. Τῷ δὲ,
Ἧς ὁ εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς κε-
κοσμημένος, ἑπόμενόν ἐστι τὸ, Ὀπίσω Κυρίου τοῦ Θεοῦ σου d
8 πορεύσῃ. Τῷ δὲ, Ὁ δ' ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας κατα-
λείπεται ἔρημος Θεοῦ, τὸ, Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσε-
ται, ταπεινοῖς δὲ δίδωσι χάριν· καὶ, Χαρμονὴ δὲ ἀσεβῶν,
πτῶμα ἐξαίσιον. Ταῦτα μὲν οὖν ἀπὸ μυρίων σμικρὰ

b 11. καὶ ἐγὼ] ἐγὼ καὶ I. c. εὐθείαν] εὐθεῖα B. εὐθέα C.E.F.G.I. εὐθεία D. 2. εἶδε] οἶδε D. 3. καὶ πρὸς—δίκη om. B. qui mox τῶν δ'. τὸ τῷ] τῷ τῷ C. 7. κύριος ἔκδικος I. 10. καὶ κεκοσμ. F.G.I. 11. ἑπόμενόν ἐστι om. B.C.F.G. h. l. sed add. post πορεύσῃ. d. τῷ δὲ ὁ δ'] τὸ δὲ ὁ B. τῷ δ' C.F.G.

6 Hæc Plato. Jam vero, cum illis, *Deus certe quidem, rerum uni-
versarum principia, finem, mediumque complexus*, hæc tu ex Hebræo-
rum prophetia compone, *Ego Deus primus, et novissimus ego sum.* Is. 41, 4.
Itemque cum illo, *Recta perficit*, alterum hoc, *Rectitudines novit vultus* Ps. 10, 3.
7 *ejus*, deinde cum illis, *Eum perpetuo justitia sequitur, eorum qui abs
divina lege discedunt, ultrix atque vindex*, ista confer, *Justus Dominus,* Ps. 10, 8.
et justitias dilexit : itemque hæc alia : *Mea est ultio, et ego retribuam,* Rom. 12,
dicit Dominus; necnon ista, *Quoniam vindex Dominus, et retribuet* 20.
facientibus abundanter superbiam. Præterea cum illis, *cui quidem* Ps. 30,
affixus demisso compositoque animo comitatur, quisquis ad felicitatem 23.
aspirat, congruit sane quod sequitur, *Post Dominum Deum tuum am-* Deut.
8 *bulabis.* Denique cum illis, *At vero superbia intumescens, abs Deo* 13, 4.
vacuus relinquitur, hæc compone, *Deus superbis resistit, humilibus* Jac. 4, 6.
autem dat gratiam, et, *Lætitia impiorum, casus terribilis.* Ac de Job. 20,
summo quidem rerum omnium moderatore Deo, hæc de infinitis 5. ap. 70.

CHURCH DIVINITY SCHOOL OF THE PACIFIC LIBRARY

περὶ τοῦ ἐπὶ πάντων Θεοῦ. Θέα δὲ καὶ τὰ περὶ τοῦ
δευτέρου αἰτίου [οἷα τῇ διανοίᾳ εἰσίν.]
14 Τὰ μὲν δὴ περὶ τοῦ πρώτου τῶν ὅλων αἰτίου τοῦτον
ἡμῖν ἀνωμολογήσθω τὸν τρόπον. Ἐπίσκεψαι δὲ καὶ τὰ p. 532
περὶ τοῦ δευτέρου, ὃν δὴ Θεοῦ Λόγον, καὶ Θεὸν ἐκ Θεοῦ
εἶναι τὰ Ἑβραίων παιδεύει λόγια, καθάπερ καὶ ἡμεῖς
2 αὐτοὶ θεολογεῖν δεδιδάγμεθα. Ὁ μὲν οὖν Μωσῆς δι-
αρρήδην δύο θεολογεῖ Κυρίους, ἐν οἷς φησὶ, Καὶ ἔβρεξε
Κύριος παρὰ Κυρίου πῦρ καὶ θεῖον ἐπὶ τὴν τῶν ἀσεβῶν
πόλιν· ἔνθα συνήθως ἐπὶ τῶν δύο τὴν ὁμοίαν τῶν
παρ' Ἑβραίοις χαρακτήρων ἐποιήσατο παράθεσιν· αὕτη
δέ ἐστι ἡ διὰ τῶν τεσσάρων στοιχείων ἀνεκφώνητος b
3 παρ' αὐτοῖς θεολογία. Τούτῳ δὲ καὶ ὁ Δαβὶδ, ἄλλος
προφήτης ὁμοῦ καὶ βασιλεὺς Ἑβραίων, συνᾴδων φησὶν,
Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου· τὸν
μὲν ἀνωτάτω Θεὸν διὰ τοῦ πρώτου Κυρίου, τὸν δὲ τού-
[313] του δεύτερον διὰ τῆς δευτέρας ὑποφήνας προσηγορίας.

d 8. οἷα τῇ δ. ἐ. om. C.F.G.I. ult. ἀνωμολογήσθω] εἴρητο B. εἴρηται D. ἀνομολογείσθω C.F.G.
p. 532. ἐπίσκεψαι] θέα B.D. 4. δεδιδάγ.] ἐδιδαγ. C. b 2. τούτῳ δὲ καὶ] τοῦτο δὲ καὶ ὁ B.C. Mox C.F.G. ἑβραίων προφήτης καὶ β. σ. ὁ Δαβὶδ D.G. 3. βασιλεὺς—φησὶν] βασιλεὺς συνάδει· εἶπεν B. 5. Addit D. ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. 7. δευτέρας ἀποφήνας] τοῦ β' ὑποφ. B. ὑποφ. item. C.F.G.I.

pauca sufficiant; deinceps cujusmodi sint quæ secundum ad principium pertinent, considera.
14 De primo totius universi principio hæc a nobis pro confessis ha-
beantur. Nunc vero in secundi contemplationem ingredere, quod
Dei Verbum, ac Deum ex Deo esse Hebræorum docent oracula,
2 cujusmodi theologia nos etiam imbuti et informati sumus. Moses
Gen. 19, 24. certe quidem, Dominos agnoscit prædicatque duos, dum ait, *Et pluit*
Dominus a Domino ignem et sulphur, super impiorum civitatem: ubi
solito more similem apud Hebræos in ambobus literarum notam ex-
pressit, quæ alia non est, quam illa ipsa, quam efferre nequeunt,
3 elementis quatuor informata divini Numinis appellatio. Eidem quo-
que David accinens, alius et ipse Hebræorum propheta simul et rex,
Ps. 109, 1. ita loquitur, *Dixit Dominus Domino meo, sede a dextris meis:* ubi
quemadmodum prioris Domini voce Deum maximum, ita posteriori
appellatione alterum ab illo declaravit. Quem enim cogitare fas est,

Τίνι γὰρ ἄλλῳ θέμις ὑπονοεῖν τὰ δεξιὰ τῆς ἀγεννήτου
θεότητος παραχωρεῖσθαι, ἢ μόνῳ τῷ περὶ οὗ ὁ λόγος;
4 Ὃν ὁ αὐτὸς προφήτης ἐν ἑτέροις λευκότερον διασαφεῖ
Λόγον τοῦ Πατρὸς, δημιουργὸν τῶν ὅλων ὑφιστάμενος c
εἶναι τὸν θεολογούμενον, ἐν οἷς φησὶ, Τῷ Λόγῳ Κυρίου οἱ
5 οὐρανοὶ ἐστερεώθησαν. Καὶ Σωτῆρα δὲ τὸν αὐτὸν τῶν
δεομένων τῆς παρ' αὐτοῦ θεραπείας εἰσάγει, λέγων,
6 Ἀπέστειλε τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς. Καὶ ὁ
τούτου δὲ παῖς ὁμοῦ καὶ διάδοχος Σολομὼν, ἑτέρῳ
προσρήματι τὴν αὐτὴν παριστὰς διάνοιαν, ἀντὶ Λόγου
Σοφίαν εἰπὼν, τάδε ὡς ἐξ αὐτῆς προσώπου διέξεισιν·
7 Ἐγὼ ἡ Σοφία κατεσκήνωσα βουλὴν, καὶ γνῶσιν, καὶ ἔν-
νοιαν ἐγὼ ἐπεκαλεσάμην. Εἶθ' ἑξῆς ἐπιλέγει, Κύριος d
ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος
ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ
ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. Ἡνίκα
8 ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ. Τοῦ δ' αὐτοῦ

b 8. διὰ τῆς] διὰ om. B.C.G. Tum τοῦ C. ἀγενήτου D. c. δημιουργὸν—θεολογούμενον om. B. δημιουργικὸν C.E.F.G.I. 6. δὲ παῖς] δὲ om. B. qui om. ὁμοῦ καὶ διάδ. et ἑτέρῳ—καὶ τάδε ἐστι. d 5. τῶν βουνῶν] τῶν om. C.F.G.

qui ab ingenita divinitate ad ipsius dexteram considendi jus acce-
4 perit, præter unum illum, quo de sermo a nobis instituitur? Quem
idem ipse propheta, planius adhuc alibi Patris Verbum esse pronun-
tiat, dum illum universi molitorem esse testatur ac ponit, *Verbo*, in- Ps. 32, 6.
5 quiens, *Domini cœli firmati sunt.* Quin omnium etiam, ejus ope et
curatione indigentium, Servatorem illum esse confirmans, *Misit*, Ps. 106,
6 inquit, *Verbum suum, et sanavit eos.* Similiter ejusdem filius simul 20.
atque successor Salomon, appellatione quidem alia, sensu tamen
prorsus eodem, pro Verbo Sapientiam nominans, hæc illius ex per-
7 sona commemorat, *Ego Sapientia habitans in consilio, et cognitionem* Prov. 8,
et intelligentiam invocavi. Tum paulo post ita prosequitur, *Dominus* 12. 22.
creavit me initium viarum suarum in opera sua. Ante sæculum fun-
davit me, in principio antequam terram faceret, antequam montes con-
stitissent. Ante omnes colles gignit me. Quando præparabat cœlum,
8 *aderam ipsi.* Ejusdem quoque sunt quæ sequuntur, *Deus in sapi-* Prov. 3,
19.

πάλιν καὶ τάδε ἐστὶ, Ὁ Θεὸς ἐν τῇ Σοφίᾳ ἐθεμελίωσε τὴν
γῆν, ἡτοίμασεν δὲ οὐρανοὺς ἐν φρονήσει. Ἔτι δὲ καὶ τάδε
λέγεται εἶναι τοῦ αὐτοῦ, Καὶ ὅσα ἐστὶ κρυπτὰ καὶ ἐμ-
φανῆ ἔγνων· ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με Σοφία.
9 Εἶτ' ἐπιλέγει, Τί δ' ἐστὶ Σοφία, καὶ πῶς ἐγένετο; [Ἐγὼ]
ἀπαγγελῶ, καὶ οὐκ ἀποκρύψω ὑμῖν μυστήρια, ἀλλ' ἐξ
10 ἀρχῆς γενέσεως ἐξιχνιάσω. Καὶ ἑξῆς διασαφεῖ τὰ τοιάδε,
Ἔστι γὰρ αὕτη πνεῦμα νοερὸν, ἅγιον, μονογενὲς, πολυμερὲς,
λεπτὸν, εὐκίνητον, τρανὸν, ἀμόλυντον, παντοδύναμον, παν-
επίσκοπον, καὶ διὰ πάντων χωροῦν πνευμάτων νοερῶν,
καθαρῶν, λεπτοτάτων. Πάσης γὰρ κινήσεως κινητικώτερον p. 533
σοφία. Διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαρό-
τητα. Ἀτμὶς γάρ ἐστι τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ ἀπόρ-
ροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής. Διὰ τοῦτο
οὐδὲν μεμολυσμένον εἰς αὐτὴν παρεμπίπτει. Ἀπαύγασμα
γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ
Θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ. Δια-
τείνει δὲ ἀπὸ πέρατος εἰς πέρας εὐρώστως, καὶ διοικεῖ τὰ

d 8. ἡτοίμασεν] ἡτοίμασεν δὲ B.C.D.F.G.I. 9. ἔτι δὲ] ἔτι δὲ καὶ B.C.F.G.I. Mox καὶ om. B.D.F.G.I. 11. τεχνῆτις] τεχνίτις B.C.F.G. τεχνῖτης I. 12. ἐγὼ om. C.E.F.G. ult. χωρὸν I.
p. 533. 5. μεμολυσμένου F. 10. εὐρωστ.] εὐρρωστ. C.G. διοικεῖται] διοικεῖ B.C.F.G. Tum τὰ om. I.

Sap. 7, 21. *entia fundavit terram, præparavit cœlos in prudentia.* Tum etiam ista,
Omnia occulta et aperta novi: omnium enim artifex docuit me sapi-
Sap. 6, 22. 9 *entia.* Quibus sequentia deinceps adjungit, *Quid autem est sapientia,*
et quomodo genita est? Ego referam et non abscondam a vobis sacra-
10 *menta, sed ab initio nativitatis investigabo.* Deinde rem illustrans
Sap. 7, 22. uberius, *Est enim,* inquit, *ipsa spiritus intelligentiæ, sanctus, unigenitus,*
multiplex, subtilis, mobilis, disertus, incoinquinatus, omnem habens virtutem, omnia prospiciens, omnes permeans spiritus, intelligibiles, puros, tenuissimos, omnibus enim mobilibus mobilior est sapientia: penetrat autem ac pervadit omnia propter suam munditiam. Vapor est enim virtutis Dei, et emanatio quædam est omnipotentis gloriæ sincera. Et ideo nihil inquinatum in eam incurrit. Candor est enim lucis æternæ, et speculum sine macula Dei efficacitatis, et imago bonitatis illius.
Cap. 8. 1. *Attingit autem a fine usque ad finem fortiter, et disponit omnia sua-*

πάντα χρηστῶς. Ταῦτα μὲν ἡ γραφή. Τὴν δὲ [διὰ] τοῦ
δόγματος διάνοιαν Φίλων ὁ Ἑβραῖος λευκότερον ἑρμη- b
νεύων τοῦτον παρίστησι τὸν τρόπον·

15 Εὐπρεπὲς γὰρ τοῖς ἑταιρείαν πρὸς ἐπιστήμην θεμένοις ἐφίεσθαι μὲν τοῦ τὸ ὂν ἰδεῖν· εἰ δὲ μὴ δύναιντο, τὴν γοῦν εἰκόνα αὐτοῦ τὸν ἱερώτατον λόγον. ΦΙΛΩΝΟΣ

2 Ἐν τῷ δ' αὐτῷ συγγράμματι καὶ τάδε φησί· c

Κἂν μηδέπω μέντοι τυγχάνῃ τις ἀξιόχρεως Υἱὸς Θεοῦ προσαγορεύεσθαι, σπουδαζέτω κοσμεῖσθαι κατὰ τὸν πρωτόγονον αὐτοῦ Λόγον, τὸν ἀγγέλων πρεσβύτατον, ὡς ἂν
3 ἀρχάγγελον πολυώνυμον ὑπάρχοντα. Καὶ γὰρ Ἀρχὴ, καὶ Ὄνομα Θεοῦ, καὶ Λόγος, καὶ ὁ κατ' εἰκόνα Ἄνθρωπος, καὶ ὁ ὁρῶν Ἰσραὴλ, προσαγορεύεται. Διὸ προήχθην ὀλίγῳ πρότερον ἐπαινέσαι τὰς ἀρετὰς τῶν φασκόντων ὅτι πάντες ἐσμὲν
4 υἱοὶ ἑνὸς Ἀνθρώπου. Καὶ γὰρ εἰ μή πω ἱκανοὶ Θεοῦ παῖδες d
νομίζεσθαι γεγόναμεν, ἀλλά τοι τῆς ἀειδοῦς εἰκόνος αὐτοῦ Λόγου τοῦ ἱερωτάτου· Θεοῦ γὰρ εἰκὼν λόγος ὁ πρεσβύτατος.

a 11. γραφή] Pergit B. ὁ δὲ Φίλων λευκότερον ταῦτα παρίστησι. διὰ om. F.G. b. τόνδε] τοῦτον C.F.G.I. 5. ἑταιρίαν] ἑταιρείαν B.C.F.G. 7. εἰ δὲ] εἰ γοῦν C.F.G. omisso γοῦν infra. 8. τὸν ἱερώτ.—καὶ τάδε om. B. c 2. τυγχάνῃ] τυγχάνοι C.F.G. υἱὸς θ. πρ.] πρ. υ. θ. B. 4. τὸν ἀγ.] καὶ ἀγ. F. 5. καὶ ὡς] καὶ om. B.C.F.G. Phil. ἂν om. F. d 2. ἀειδοῦς] αἰδοῦς G.

viter. Hæc scriptura. Cujus quidem doctrinæ sensum Philo Hebræus exponens, clarius hunc in modum illustriusque repræsentat:

15 Decet enim, inquit, eos, qui cum scientia societatem inierunt, ejus quod est, videndi desiderio teneri: aut, si minus id possint, ejus saltem imaginis, hoc est sacratissimi verbi. Philo Jud. ed. Mang. T. I. p. 419, 16.

2 Quo eodem libro, hæc etiam quæ sequuntur habet.

Ut quis minus adhuc filii Dei appellatione dignus fuerit, se ipsum tamen ad primogenitum illius verbum, qui angelorum antiquissimus, ac veluti ib. p. 427, 1.
3 archangelus plurimis nominibus insignis est, conformare conetur. Etenim principium, Dei nomen, Verbum, homo secundum imaginem, et videns Israel appellatur. Itaque ad celebrandas eorum virtutes paulo ante per-
4 motus sum, qui nos omnes hominis unius filios esse dicunt. Nam ut nondum idonei simus, qui pro Dei liberis habeamur; ejus quidem imaginis sensum omnem superantis, Verbi inquam sacratissimi esse possumus. Dei enim imago verbum hoc antiquissimum est.

5 Καὶ πάλιν ἐπιλέγει,

ΦΙΛΩΝΟΣ "Ηκουσα μέντοι καὶ τῶν Μωσέως ἑταίρων τινὸς ἀποφθεγξαμένου τοιόνδε λόγιον, Ἰδοὺ Ἄνθρωπος ᾧ ὄνομα Ἀνατολή. Καινοτάτη πρόσρησις, ἐὰν γε τὸν ἐκ σώματος καὶ ψυχῆς [314] συνεστῶτα λέγεσθαι νομίσῃς· ἐὰν δὲ τὸν ἀσώματον ἐκεῖνον θείαν ἰδέαν φοροῦντα, ἱκανῶς ὁμολογήσεις ὅτι εὐθυβολώτατον
6 ὄνομα ἐπεφημίσθη τὸ Ἀνατολὴ αὐτῷ. Τοῦτον μὲν γὰρ πρεσβύτατον Υἱὸν ὁ τῶν ὅλων ἀνέτειλε Πατὴρ, ὃν ἑτέρωθι πρωτόγονον ὠνόμασε. Καὶ ὁ γεννηθεὶς μέντοι μιμούμενος τὰς τοῦ Πατρὸς ὁδοὺς, πρὸς παραδείγματα ἀρχέτυπα τὰ ἐκείνου p. 534 βλέπων ἐμόρφου τὰ εἴδη.

7 Ταῦτά μοι ἀπὸ τοῦ Ἑβραίου Φίλωνος ἐνταῦθα κείσθω, ληφθέντα ἐκ συγγράμματος ᾧ τέθειται ἐπιγραφὴ, Περὶ τοῦ τὸ χεῖρον τῷ κρείττονι φιλεῖν ἐπιτίθεσθαι. Ἤδη δέ μοι καὶ ἄλλοτε τὰ τῆς τῶν παλαιῶν Ἑβραίων εὐσεβείας δόγματα παρατιθεμένῳ ἐν τοῖς τῆς Εὐαγγελικῆς Προπαρασκευῆς, καὶ τὰ περὶ τοῦ δευτέρου αἰτίου διεί-

d 10. θείαν ἰδέαν φοροῦντα] θείας ἀδιαφοροῦντα εἰκόνος Phil. ὁμολογήσῃς F.G. 12. ἀνατολή] ἀνατολῆς C.F.G.I. ult. ὠνόμ.] ὀνόμ. C. καὶ ὁ γεννηθεὶς] καὶ ἐγεννήθη B.

p. 534. 2. ταῦτά μοι] ταῦτα ἀπὸ τοῦ Ἑβραίου Φίλωνος συγγράμματος κείσθω ἐπιγεγραμμένου περὶ τοῦ etc. B. 3. ληφθέντα] ληφθέντι D.I. 5. Περὶ τοῦ τὸ χ.] Non ex h. l. sed ex libro Περὶ Συγχύσεως Διαλέκτων. αὐτῷ] τῷ B.C.F.G.I. Tum ἤδη δέ μοι—τεθεολογημένων om. B. qui pergit καιρὸς δ'— 7. παραθεμένῳ] παρατιθεμένῳ C.E.F.G.I. 9. καὶ τὰ] καὶ τὰς E.

ib. p. 414, 22. Zac. 6, 12.

5 Tum ista subjungit,

Quin etiam ab socio Mosis aliquo ejusmodi pronuntiatum esse oraculum audivimus, *Ecce homo, cui nomen Oriens.* Novum profecto nomen, si aliquem ex corpore animoque conflatum intelligas. Sin autem incorporeum illum, ac divinum exemplar ferentem accipias, tum enimvero, convenientissimum hoc ipsi orientis nomen impositum esse, facile admodum libenterque
6 fateberis. Eum quippe Filium antiquissimum edidit universi parens, quem etiam alibi primogenitum appellavit. Is autem ex Deo genitus, in archetypa illius exemplaria respiciendo formavit.

7 Hactenus ex illo Hebræi Philonis opere, cujus hic titulus est, *Deterius perfectiori semper infestum esse.* Verum cum jam alibi veterum Hebræorum dogmata pietatem religionemque complexa protulerim, tum vero quæ secundum ad principium pertinent, hoc in Evangelicæ Præparationis opere, satis abs me pro instituto quidem

ληπται αὐτάρκως, ἐφ᾽ ἃ καὶ νῦν τοὺς φιλομαθεῖς ἀνα-
πέμψω. Τοσούτων οὖν παρ᾽ Ἑβραίοις καὶ τόνδε τὸν b
τρόπον περὶ τοῦ δευτέρου τῶν ὅλων αἰτίου τεθεολογη-
μένων, καιρὸς ἤδη καὶ τοῦ Πλάτωνος ἐν τῷ Ἐπινομίδι
τάδε λέγοντος ἐπακοῦσαι·

16 Καὶ τιμὰς ἀποδιδῶμεν, μὴ τῷ μὲν ἐνιαυτὸν, τῷ δὲ μῆνα,
τοῖς δὲ μή τινα μοῖραν τάττωμεν, μηδέ τινα χρόνον, ἐν ᾧ c
διεξέρχεται τὸν αὐτοῦ πόλον, συναποτελῶν κόσμον, ὃν ἔταξε
λόγος ὁ πάντων θειότατος· ὃν ὁ μὲν εὐδαίμων πρῶτον μὲν
ἐθαύμασεν, ἔπειτα δὲ ἔρωτα ἔσχε τοῦ καταμαθεῖν ὁπόσα
θνητῇ φύσει δυνατά.

ΠΛΑΤΩΝΟΣ

2 Καὶ ἐν ἐπιστολῇ δὲ τῇ πρὸς Ἑρμείαν Ἐραστόν τε
καὶ Κορίσκον εὖ μάλα πεφυλαγμένως τέθειται τὸ δόγμα,
ὧδε πρὸς λέξιν ἐπιστέλλων·

Ταύτην τὴν ἐπιστολὴν πάντας ὑμᾶς τρεῖς ὄντας ἀναγνῶναι
χρὴ, μάλιστα μὲν ἀθρόους· εἰ δὲ μὴ, κατὰ δύο κοινῇ κατὰ d
δύναμιν ὡς οἷόν τε ἐστὶ πλειστάκις· καὶ χρῆσθαι συνθήκῃ καὶ

b 2. ἤδη om. F. 3. Ἐπιμενίδη] Leg. Ἐπινομίδι. Vid. supra p. 471 d 11. c. μή τε] μὴ B.C.D.F.G.I. τάττωμεν μήτε] τάττομεν μὴ δὲ B.C. τ. μηδὲ D.I. 6. καὶ ἐν ἐπιστ.—ἐπομνύντας om. B. d 2. κεχρῆσθαι D.F.G. Steph.

meo disputata sunt: ad quæ proinde nunc rei studiosos remittam. Cum igitur ejusmodi apud Hebræos de secundo rerum universarum principio theologiæ ratio fuerit, tempus jam est, uti Platonem in Epimenide ita disserentem audiamus.

Plato Epinom. p. 986.

16 Et honores, inquit, habeamus, sic tamen, ut non jam annum alteri, alteri mensem, dies aliis tribuamus, aut ullum omnino tempus, quo suam quilibet conversionem absolvat, dum ad mundi, quem verbum omnium longe divinissimum conformavit, perfectionem ipse concurrit. Quod quidem verbum, quisquis beatus est, primum admirari, tum ejusdem, quatenus mortali naturæ fas est, cognoscendi amore ac studio teneri solet.

2 Idem in ea quam ad Hermiam, Erastum, et Coriscum scribit epistola, dogmatis hujus sententiam prudenter admodum inseruit, his verbis.

Epist. p. 323.

Epistolam hanc a vobis tribus, inquit, simul convenientibus legi decet: sin autem, a duobus vicissim unaque conjunctis, idque quam sæpissime fieri poterit. Præterea pactum inter vos, legemque ratam fixamque servari,

ΠΛΑΤΩΝΟΣ

νόμῳ κυρίῳ, ὅ ἐστι δίκαιον, ἐπομνύντας σπουδῇ τε ἅμα μὴ ἀμούσῳ καὶ τῇ τῆς σπουδῆς ἀδελφῇ παιδείᾳ, καὶ τὸν τῶν πάντων Θεὸν ἡγεμόνα τῶν τε ὄντων καὶ τῶν μελλόντων, τοῦ τε ἡγεμόνος καὶ αἰτίου πατέρα κύριον ἐπομνύντας· ὅν, ἐὰν ὀρθῶς φιλοσοφῶμεν, εἰσόμεθα πάντες σαφῶς εἰς δύναμιν ἀνθρώπων εὐδαιμόνων.

3 Ἆρά σοι δοκεῖ ταῦτα λέγων ὁ Πλάτων τοῖς Ἑβραίων ἐπηκολουθηκέναι δόγμασιν, ἢ πόθεν ἄλλοθεν ἐπῆλθεν αὐτῷ τοῦ πάντων τὸν γενητῶν αἰτίου κρείττονα ἄλλον Θεὸν, τὸν δὴ καὶ πατέρα τοῦ πανηγεμόνος, προσειπεῖν; Πόθεν δ᾽ αὐτῷ τὸ τοῦ Κυρίου ἐπὶ τοῦ Πατρὸς τοῦ δη- p. 535
μιουργοῦ τάξαι ὄνομα, μηδενός πω πρὸ αὐτοῦ Ἑλλήνων
4 ἀκοαῖς, ἀλλὰ μηδὲ εἰς νοῦν ταῦτα καταβεβλημένου; Εἰ δὲ καὶ ἑτέρων ἡμῖν πάλιν μαρτύρων δεῖ εἰς ἀναμφίλεκτον παράστασιν τῆς τε τοῦ φιλοσόφου διανοίας, καὶ τῆς τοῦ λόγου κατασκευῆς, ἐπάκουσον οἷά σοι Πλωτῖνος,

d 3. νόμῳ κυρίῳ] κυρίῳ τούτῳ D.F.G. 4. σπουδῇ] ἀλλὰ καὶ σπουδῇ B. Mox τῇ om. B.C.F.G.I. 5. τῶν πάντων] τῶν om. B.F.G. καὶ τοῦ πάντ. C. 6. τῶν μελ.] τῶν om. I. 7. τοῦ τε] τοῦτο B. qui om. τοῦ αἰτίου. 11. ἐπηκολουθηκέναι] ἐπηκολούθησε B. 13. τὸν γενητῶν] τὸν om. B. 14. τὸν δὴ] τὸν δὲ C.G. Hinc usque ad προσειπεῖν om. B. qui pergit ἢ πόθεν.

p. 535. 3. ἀλλὰ μηδὲ] ἀλμὴ δὲ B. 5. μαρτυριῶν] μαρτύρων C.F.G.I. 7. ἐπάκουσον] ἴδε οἷα φησὶ Πλωτῖνος B. qui γράφει pro συνέταξε—γράφων. ἴδε D. in textu ἐπάκουσον in marg. οἷά σοι Πλ. F.G.I.

sic ut in æquum bonum juretis: adeoque studio non illiberali, ac studii sorore doctrina mutuo conjuncti, in Deum ipsum rerum omnium sive præsentium, sive futurarum præsidem, necnon præsidis etiam principiique parentem dominum juretis, quem quidem, si modo recte philosophabimur, quantum homines beati possunt, clare omnes planeque cognoscemus.

3 An non tibi videtur Plato dum hæc ait, Hebræorum dogmatis insistere? Unde enim alioqui in mentem ipsi veniret, Deum alterum ipsomet rerum quæ procreantur omnium principio superiorem, imo et universi moderatoris parentem appellare? Unde porro, huic ipsi rerum conditoris parenti, Domini nomen imponere? quæ profecto Græcorum nunquam auribus, imo ne animis quidem, mortalium ante
4 se quisquam injecerat. Jam si ad certam et exploratam vel hujus philosophi sententiæ fidem, vel susceptæ disputationis confirmationem, testimoniis insuper aliis opus est: audi præterea, quæ Plotinus

ἐν οἷς περὶ τῶν τριῶν ἀρχικῶν ὑποστάσεων συνέταξε, διασαφεῖ γράφων·

17 Κόσμον αἰσθητὸν τόνδε εἴ τις θαυμάζει, εἴς τε τὸ μέγεθος b καὶ τὸ κάλλος καὶ τὴν τάξιν τῆς φορᾶς τῆς ἀϊδίου βλέπων, καὶ θεοὺς τοὺς ἐν αὐτῷ, τοὺς μὲν ὁρωμένους, τοὺς δὲ καὶ ἀφανεῖς ὄντας, καὶ δαίμονας, καὶ ζῷα, φυτά τε πάντα· ἐπὶ τὸ ἀρχέτυπον αὐτοῦ καὶ τὸ ἀληθινώτερον ἀναβὰς, κἀκεῖ πάντα ἰδέτω νοητὰ, καὶ παρ' αὐτῶν ἀΐδια ἐν οἰκείᾳ συνέσει καὶ ζωῇ, καὶ τούτων τὸν ἀκήρατον νοῦν προστάτην, καὶ σο- c φίαν ἀμήχανον.

ΠΛΩΤΙΝΟΥ

2 Εἶθ' ἑξῆς τούτοις ἐπιφέρει λέγων,

Τίς οὖν ὁ τοῦτον γεννήσας; Ὁ ἁπλοῦς, καὶ ὁ πρὸ τοῦ [315] τοιούτου, ὁ αἴτιος τοῦ καὶ εἶναι καὶ πολὺν εἶναι τοῦτον, ὁ τὸν ἀριθμὸν ποιῶν· ὁ γὰρ ἀριθμὸς, οὐ πρῶτος· καὶ γὰρ πρὸ τῆς δυάδος τὸ ἕν· δεύτερον δὲ, δυὰς, καὶ παρὰ τοῦ ἑνὸς γενομένη.

3 Καὶ πάλιν ἐπιβὰς ἐπιλέγει·

b 2. *θαυμάζει*] *θαυμάσοι* B.D. 7. *ἐπὶ τὸ*] *ἰδέτω* F. 10. *αὐτῶν*] Plot. *αὐτῷ*. *καὶ ἐν οἰκ.* D. Mox *ζωῆς* I. c. *τοῦτον*] *τούτων* B.C.D.F.I. *ἀκήρατον νοῦν*] *ἀκλήρευτον γοῦν* F. 3. *ὁ τοῦτον*] *τοῦτον* om. C.F. Mox *καὶ ἁπλῶς* D. 4. *τοῦ τοιούτου*] *τοιούτου πλήθους* Plot. *τοῦ εἶναι*] *τοῦ καὶ εἶναι* B.C.D.F.G. 8. *πάλιν ἐπιβὰς ἐπιλέγει*] *αὖ φησί* B.C.F.G.

in suo de tribus substantiis principii vim et rationem habentibus opere, hæc in verba persequitur:

17 Si quis, inquit, aspectabilem hunc mundum admiratur, ejus magnitudinem, speciem, conversionis ordinem sempiternæ, quique in eo versantur deos, seu videri oculis, seu non videri possint, genios item, animantes, ac genera plantarum omnia considerans: idem ejus ad exemplar longe sane verius cogitatione aspirans, cuncta etiam ibi spiritalia, atque apud ipsum in propria cognitione vitaque, sempiterna, simulque mentem illam immutabilem, rerumque moderatricem omnium, et superiorem quavis æstimatione sapientiam contempletur.

Plotin. p. 484 d.

2 Deinde quibusdam interjectis ita prosequitur:

Quis igitur illum condidit? quis, inquam, simplex ille, tanta multitudine prior, causa quamobrem ipse et est et multiplex est, ac numerum omnem efficiens? Quippe, numerus enim primus non est, cum binario prius unum sit, secundusque binarius, atque ab uno procreatus.

p. 486 a.

3 Deinde progressus ista subjungit,

ΠΛΩΤΙΝΟΥ

Πῶς οὖν, καὶ τί δεῖ νοῆσαι περὶ ἐκεῖνο μένον; περίλαμψιν
ἐξ αὐτοῦ μέν, ἐξ αὐτοῦ δὲ μένοντος· οἷον ἡλίου τὸ περὶ αὐτὸν
λαμπρὸν φῶς περιθέον, ἐξ αὐτοῦ ἀεὶ γεννώμενον, μένοντος δέ. d
4 Καὶ πάντα τὰ ὄντα ἕως μένει, ἐκ τῆς αὐτῶν οὐσίας, ἀναγκαίαν
τὴν περὶ αὐτὰ πρὸς τὸ ἔξω αὐτῶν, ἐκ τῆς παρούσης δυνάμεως,
δίδωσιν αὐτῶν ἐξηρτημένην ὑπόστασιν, εἰκόνα οὖσαν οἷον ἀρ-
5 χετύπων, ὧν ἐξέφυ. Πῦρ μέν, τὴν παρ' αὐτῷ θερμότητα,
καὶ χιὼν οὐκ εἴσω μόνον τὸ ψυχρὸν κατέχει. Μάλιστα δὲ
ὅσα εὐώδη μαρτυρεῖ τούτῳ· ἕως γάρ ἐστι, πρόεισί τι ἐξ αὐ-
6 τῶν περὶ αὐτά, ὧν ἀπολαύει ὑποστάντων ὅ τι πλησίον. Καὶ
πάντα δὲ ὅσα ἤδη τέλεια γεννᾷ· τὸ δὴ ἀεὶ τέλειον ἀεὶ καὶ p. 536
7 ἀΐδιον γεννᾷ· καὶ ἔλαττον δὲ ἑαυτοῦ γεννᾷ. Τί οὖν χρὴ περὶ
τοῦ τελειοτάτου λέγειν; Μηδὲν ἀπ' αὐτοῦ, ἢ τὰ μέγιστα
μετ' αὐτό. Μέγιστον δὲ μετ' αὐτὸν νοῦς, καὶ δεύτερον. Καὶ
γὰρ ὁρᾷ ὁ νοῦς ἐκεῖνον, καὶ δεῖται αὐτοῦ μόνου, ἐκεῖνος δὲ

c 12. τε ἀεὶ] αἰεὶ B.C.F.G. d 2. αὐτοῦ] αὐτῶν B.C.D.F.G. Mox περὶ τὰ αὐτὰ D. 5. ἀρχέτυπον] ἀρχετύπων Vigerus ex Plot. et sic I. 6. αὐτῷ] αὐτοῦ Plot. G.I. 7. τὸν ψυχρὸν om. F. 8. τούτῳ] τοῦτο Plot. ult. καὶ πάντα—σαφέστερον λέγειν om. B.

p. 536. τέλειον] τέλεια C.I. Viger. τὸ δὴ—γεννᾷ om. C. 4. μετ' αὐτὸ] μετ' αὐτὸν Plotinus cum mss. Theodoreti Ther. p. 33, 19. 5. αὐτὸν] αὐτὸ F.G.

p. 487 d.
Quo igitur modo, quidve nobis circa illud, dum idem perpetuo manet,
cogitandum erit? Nempe fulgor aliquis circumfusus, ex ipso quidem, sed
eodem persistente manans: cujusmodi solis fuerit clarum hocce lumen,
quod circa illum volvitur, ab eoque continue, sed tamen eodem manente
4 producitur. Ita plane quicquid est, quamdiu manet, ex propria substantia,
necessarium aliquid, quod in sese hæreat, ac semper ex sese pendeat, foras
tamen pro sua cujusque ac præsenti facultate transmittit, quod ejus ipsius
unde profectum est, sui tanquam exemplaris imago quædam expressa sit.
5 Et ignis quidem suum extra se calorem effundit: nixque suum frigus non
intrinsecus modo inclusum tenet. Verum id potissimum omni odorum
genere comprobatur. Ex illis enim, quandiu sunt, efflatur circa sese ali-
quid, quod etiam cum vicinis naturæ suæ vim fructumque communicat.
6 Et quoniam omnia, ubi maturitatem perfectionemque suam assequuta sunt,
aliud generare solent; proinde quod perfectum semper est, idem semper
ac sempiternum aliquid generat, et ejusmodi aliquid quod se ipso minus
7 sit. Ecquid igitur de perfectissimo statuere nos oportet? Ab eo nihil, aut
maxima secundum ipsum omnia proficisci. Atqui res post ipsum maxima,
eademque secunda, mens est. Ipsum enim mens intuetur, eoque uno in-
diget; ipse autem mente nihil prorsus. Et sane si quid ab eo, qui mente

τούτου οὐδέν. Καὶ τὸ γεννώμενον ἀπὸ κρείττονος νοῦ, νοῦν εἶναι· καὶ κρείττων ἁπάντων νοῦς, ὅτι τἄλλα μετ' αὐτόν. ΠΛΩΤΙΝΟΥ

8 Τούτοις ἑξῆς ἐπιφέρει λέγων·

Ποθεῖ δὲ πᾶν τὸ γεννῆσαν καὶ τοῦτο ἀγαπᾷ, καὶ μάλιστα ὅταν ὦσι μόνοι τὸ γεννῆσαν καὶ τὸ γεγεννημένον. Ὅταν δὲ b καὶ τὸ ἄριστον ᾖ τὸ γεννῆσαν, ἐξ ἀνάγκης σύνεστιν αὐτῷ, ὡς τῇ ἑτερότητι μόνον κεχωρίσθαι. Εἰκόνα δὲ ἐκείνου εἶναι λέγομεν τὸν νοῦν. Δεῖ γὰρ σαφέστερον λέγειν.

9 Καὶ πάλιν τούτοις ἐπιλέγει·

Καὶ διὰ τοῦτο καὶ τὰ Πλάτωνος τριττά· πάντα περὶ τὸν πάντων βασιλέα φησὶ τὰ πρῶτα· καὶ δεύτερον περὶ τὰ δεύτερα· καὶ περὶ τὰ τρίτα, τρίτον. Λέγει δὲ καὶ τοῦ αἰτίου εἶναι πατέρα· αἴτιον μὲν τὸν νοῦν λέγων· δημιουργὸς γὰρ ὁ c νοῦς αὐτῷ. Τοῦτον δέ φησι τὴν ψυχὴν ποιεῖν ἐν τῷ κρα-

a 7. ἀπὸ] ἀντὶ C. 10. γεννῆσαν] Addunt C.F.G.I. quæ propter homœoteleuton exciderunt, καὶ τοῦτο ἀγαπᾷ καὶ μάλιστα ὅταν ὦσι μόνοι τὸ γεννῆσαν, et sic ni fallor D. cum Plotino. Cum ed. Steph. consentire videtur E. Quod dedit Vigerus γεννῆσαν καὶ τὸ γεγεννημένον incuriæ ipsius tribuendum est. b 2. τό γε γεννῆσαν I. 3. ὥστε] ὡς τῇ F.G.I. Plot. Theodor. 4. εἶναι om. F.G. 6. τούτοις ἐπιλέγει] φησὶ B. 7. τριττὰ] περιττὰ F. βασιλέα] πάντων β. B.C.D.F.G. 8. πρῶτον περὶ τὰ πρῶτα] πρῶτον περὶ om. B.C.F.G. Plotin. qui eorum loco habet γάρ nec agnoscit τά. 9. ἐπὶ I. pro περί. 10. αἰτίου] αὐτοῦ D.

melior superiorque sit, generatur, id mentem esse necesse est; ea vero rerum optima cæterarum est, quod eam cæteræ omnes consequantur.

8 Quibus hæc iterum addit.

Porro quisquis generavit, quod generatum abs sese est, studio simul, et amore prosequitur, maxime vero si soli ambo genitor genitusque fuerint. Quod si genitus optimus sit, tum genitor cum eo simul ita necessario est, ut hoc tantum, quod alter ab illo sit, ab eodem secernatur. Et quidem genitoris imaginem, mentem esse dicimus: id enim jam a nobis explicandum illustrius est. p. 488.

9 Jam aliquot rursus interjectis.

Quamobrem, inquit, triplex rerum a Platone gradus ratioque statuitur, dum ait, circa universorum Deum, universa: at secundum, circa ea, quæ secundo; tertium, circa ea, quæ tertio ordine continentur, cuncta versari. Addit autem principii patrem esse, principii nomine mentem intelligens: Platoni quippe artifex mens est, idemque animum a mente in cratere p. 489.

ΠΛΩΤΙΝΟΥ τῆρι ἐκείνῳ. Τοῦ δὲ αἰτίου νοῦ ὄντος, πατέρα φησὶ τἀγαθὸν καὶ τὸ ἐπέκεινα νοῦ, καὶ ἐπέκεινα οὐσίας. Πολλαχοῦ δὲ τὸ ὂν καὶ τὸν νοῦν τὴν ἰδέαν λέγει. Ὥστε Πλάτωνα εἰδέναι ἐκ μὲν τοῦ ἀγαθοῦ τὸν νοῦν, ἐκ δὲ τοῦ νοῦ τὴν ψυχήν· καὶ εἶναι τοὺς λόγους τούσδε μὴ καινούς, μηδὲ νῦν, ἀλλὰ πάλαι μὲν εἰρῆσθαι μὴ ἀναπεπταμένως· τοὺς δὲ νῦν λόγους ἐξηγητὰς ἐκείνων γεγονέναι, μαρτυρίοις πιστωσαμένους τὰς δόξας ταύτας παλαιὰς εἶναι τοῖς αὐτοῦ Πλάτωνος γράμμασι.

11 Ταῦτα μὲν ὁ Πλωτῖνος. Ὁ δὲ Νουμήνιος τὰ Πλά- d
τωνος πρεσβεύων, ἐν τοῖς Περὶ τἀγαθοῦ τάδε καὶ αὐτὸς περὶ τοῦ δευτέρου αἰτίου λέγων διερμηνεύει·

18 ΝΟΥΜΗΝΙΟΥ Τὸν μέλλοντα δὲ συνήσειν Θεοῦ πέρι πρώτου καὶ δευτέρου χρὴ πρότερον διελέσθαι ἕκαστα ἐν τάξει καὶ ἐν εὐθημοσύνῃ τινί· κἄπειτα ἐπειδὰν δοκῇ ἤδη εὖ ἔχειν, τότε καὶ δεῖ ἐπιχει- p. 537
ρεῖν εἰπεῖν κοσμίως, ἄλλως δὲ μή. Ἢ τῷ πρωϊαίτερον πρὶν

c 6. ἐκ] καὶ F. 8. καινοὺς] κενοὺς B. 11. πιστωσαμένους] πιστωσαμένου B.C.F.G. 12. τοῖς αὐτοῦ] τοῦ αὐτοῦ I. d. ὁ δὲ Νουμ.—τἀγαθοῦ om. B. 2. τοῦ δευτ.—ἑρμηνεύει] τούτου διέξεισιν B. 5. πρότερον] πρῶτον F.G. ult. ἐπ' ἂν] ἐπειδὰν C.F.G.
p. 537. εἰπεῖν om. C.F.G. Supra δεῖν D.

illo procreari docet: cujus principii, hoc est mentis, parens sit bonum illud, quod mentem simul substantiamque prætergreditur. Præterea tam id quod est, quam mentem ipsam, ideæ nomine appellare solet: prorsus ut ex bono mentem et ideam, ex mente animum existere agnoscat Plato: neque hoc philosophandi genus insolens sit ac nuperum, quod jam olim usurpatum fuerit, licet minus explicate et enucleate traditum: ejusque proinde, quæ nunc instituuntur disputationes, interpretes modo quædam sint, quæ testimoniis ex Platonis ipsius operibus depromptis, opiniones ejusmodi priscorum hominum fuisse confirment.

11 Atque hæc Plotinus. Sequatur deinde Numenius, qui Platonis quoque doctrinam digerendam enarrandamque suscipiens, in opere suo, De bono, totidem verbis de secundo principio hunc in modum philosophatur :

18 Quisquis ad Dei tum primi, tum secundi cognitionem aspirabit, inquit, eum singula prius suo quæque loco et ordine eleganter apteque dicere; tum ubi sua cuique sedes ratioque constiterit, apposite de illis et accommodate disputare oportebit; secus vero minime. Alioqui, si quis antequam primum illud factum et constitutum erit, citius aliquid quam par esset

τὰ πρῶτα γενέσθαι ἁπτομένῳ, σποδὸς ὁ θησαυρὸς γίνεσθαι NOΥ-
2 λέγεται. Μὴ δὴ πάθωμεν ἡμεῖς ταυτόν· Θεὸν δὲ προσκα- MH-
λεσάμενοι, ἑαυτοῦ γνώμονα γενόμενον τῷ λόγῳ, δεῖξαι θη- NIOΥ
σαυρὸν φροντίδων, ἀρχώμεθα οὕτως. Εὐκτέον μὲν ἤδη, διε-
3 λέσθαι δὲ δεῖ. Ὁ Θεὸς ὁ μὲν πρῶτος ἐν ἑαυτῷ ὤν ἐστιν
ἁπλοῦς, διὰ τὸ ἑαυτῷ συγγιγνόμενος διόλου μή ποτε εἶναι
διαιρετός· ὁ Θεὸς μέντοι ὁ δεύτερος καὶ τρίτος, ἐστὶν εἷς·
συμφερόμενος δὲ τῇ ὕλῃ δυάδι οὔσῃ, ἑνοῖ μὲν αὐτήν, σχίζεται b
4 δὲ ὑπ' αὐτῆς, ἐπιθυμητικὸν ἦθος ἐχούσης καὶ ῥεούσης. Τῷ
οὖν μὴ εἶναι πρὸς τῷ νοητῷ, ἦν γὰρ ἂν πρὸς ἑαυτῷ, διὰ τὸ
[316] τὴν ὕλην βλέπειν, ταύτης ἐπιμελούμενος, ἀπερίοπτος ἑαυτοῦ
5 γίνεται. Καὶ ἅπτεται τοῦ αἰσθητοῦ καὶ περιέπει, ἀνάγει
τε ἔτι εἰς τὸ ἴδιον ἦθος ἐπορεξάμενος τῆς ὕλης.

6 Καὶ μεθ' ἕτερά φησι·

Καὶ γὰρ οὔτε δημιουργεῖν ἐστὶ χρεὼν τὸν πρῶτον, καὶ τοῦ δημιουργοῦντος δὲ Θεοῦ χρὴ εἶναι νομίζεσθαι πα-

a 3. σποδὸς] ποδὸς C.F.G. 6. ἀρχώμεθα] ἀρχόμεθα C.D. 7. εὐκτέον] εὐχθαῖος F. εὐκταῖον G. ὁ μὲν] ὁ μὴ C. 8. ἑαυτοῦ D. αὐτῷ F. b 2. εἶδος] ἦθος C.F.G.I. 7. ἀπορεξόμενος] ἐπορεξάμενος C.F.G.I. ἴσ. ἐπορεξάμενος Vigeri margo. ἀπορεξάμενος D. 9. τὸ B. δημιουργοῦντος] Theodoret. p. 33, 11. δημιουργοῦντος θεοῦ χρὴ εἶναι νομίζειν πατέρα τὸν πρῶτον θεόν. περὶ πατρὸς καὶ υἱοῦ] θεοῦ I. Cyrill. p. 272 d.

2 avidiusque susceperit, suus ei thesaurus cinis futurus est. Ne idem igitur
nobis eveniat, studiose caveamus: Deumque proinde obtestati, ut nostræ
huic disputationi suimet ipsius canon ac regula esse velit, nobisque cogitationum
thesaurum aperire, ita demum ordiamur. Prius enim fundendæ
3 preces, tum ad explicatam rei tractationem accedendum. Primus ille Deus,
ut in se ipso est, ita simplex omnino est, quod qui secum ipse totus perpetuoque
versatur, divulsus esse nunquam distractusque possit, ac secundus
quidem tertiusque Deus unus est, idem tamen, quod simul cum materia,
qui binarius quidam est, circumferatur, ut eam conjungat, ab ea tamen,
4 quæ vim aliquam concupiscendi habet, assidueque fluit, dividitur. Quod
igitur ad id quod spiritale est, minus adhærescat, (alioqui enim ad se ipsum
adhæresceret:) dum in contemplanda materia diligentius occupatur, se
5 ipsum contemplari non potest. Verum quæ sensibus usurpantur non attingit
tractatque modo, sed etiam in proprias ejus quam expetit versatque
materiæ conditiones devolvitur.

6 Idemque nonnullis interjectis.

Nec enim, inquit, primum illum Deum quicquam moliri fas est, sed

ΝΟΥ-
ΜΗ-
ΝΙΟΥ

7 τέρα τὸν πρῶτον θεόν. Εἰ μὲν οὖν περὶ τοῦ δημιουρ-
γικοῦ ζητοῖμεν, φάσκοντες δεῖν τὸν πρότερον ὑπάρξαντα,
οὕτως ἂν ποιεῖν ἔχειν διαφερόντως, ἐοικυῖα ἡ πρόσοδος αὕτη c
γεγονυῖα ἂν εἴη τοῦ λόγου· εἰ δὲ περὶ τοῦ δημιουργοῦ
μή ἐστιν ὁ λόγος, ζητοῦμεν δὲ περὶ τοῦ πρώτου, ἀφοσι-
οῦμαί τε τὰ λεχθέντα, καὶ ἔστω μὲν ἐκεῖνα ἄρρητα, μέτειμι
8 δὲ ἑλεῖν τὸν λόγον, ἑτέρωθεν θηράσας. Πρὸ μέντοι τοῦ
λόγου τῆς ἁλώσεως διομολογησώμεθα ἡμῖν αὐτοῖς ὁμολογίαν
οὐκ ἀμφισβητήσιμον ἀκοῦσαι, τὸν μὲν πρῶτον θεὸν ἀργὸν
εἶναι ἔργων ξυμπάντων καὶ βασιλέα, τὸν δημιουργικὸν δὲ
9 θεὸν ἡγεμονεῖν, δι' οὐρανοῦ ἰόντα. Διὰ δὲ τούτου καὶ ὁ
στόλος ἡμῖν ἐστὶ, κάτω τοῦ νοῦ πεμπομένου ἐν διεξόδῳ πᾶσι
10 τοῖς κοινωνῆσαι συντεταγμένοις. Βλέποντος μὲν οὖν καὶ d
ἐπεστραμμένου πρὸς ἡμῶν ἕκαστον τοῦ θεοῦ συμβαίνει ζῆν
τε καὶ βιώσκεσθαι τότε τὰ σώματα κηδεύοντος τοῦ θεοῦ τοῖς
ἀκροβολισμοῖς· μεταστρέφοντος δὲ εἰς τὴν ἑαυτοῦ περιωπὴν
τοῦ θεοῦ, ταῦτα μὲν ἀποσβέννυσθαι, τὸν δὲ νοῦν ζῆν, βίου
ἐπαυρόμενον εὐδαίμονος.

b 11. δημιουργοῦ] δημιουργικοῦ C.F.G.I. 12. δεῖν] δὴ C.F.G. c. οἰκεία] ἐοικυία C.F.G. ἐοικυῖα D.I. Vigeri margo. d 3. κηδεύοντα] κηδεύονται C.F.G. Legendum videtur κηδεύοντος, ut mss. infra p. seq. b 4. 5. ἑαυτοῦ] αὐτοῦ F.G. 6. βίον F.

7 potius artificis dei patrem ipsum habere nos oportet. Et quidem si de artifice quæstio est, cum illum ante jam extitisse necessario, atque ita demum excellenti quodam singularique modo agere posse dicimus, commodus hic et opportunus orationis ingressus jure videatur. At si omisso artifice, de primo deo loqui placet, genus id orationis usurpare religio sit. Quare, quæ dicta sunt, dicta esse nolim: ducendam aliunde mihi disputationem
8 hanc statuam. Ac primum quidem antequam eum in sermonem ingredimur, id apud nos in confesso maneat, quo de prorsus qui audiat nemo dubitare merito possit, deum primum et ab opere omni vacare, et regem esse universi: artificem vero deum, cœlum permeando, cuncta moderari.
9 Et sane commeatus noster atque apparatus omnis, ipsius beneficium est, dum certa progressione, huc mens ad eos omnes transmittitur, quos in ejus communionem vocari pro suo cujusque gradu et conditione fas sit.
10 Itaque dum in quemque nostrum conversus intuetur deus, tum enimvero sua corporibus vita, suus vigor inest, quod immissis divinitus radiis foveantur. Sin autem ad sui ipsius contemplationem oculos revocarit, tum res inferiores extingui subito, mens autem ipsa non vivere modo, sed etiam beate admodum vivere.

11 Ταῦτα μὲν ὁ Νουμήνιος. Σὺ δέ γε παράθες αὐτοῖς
τὰ ἀπὸ τῆς τοῦ Δαβὶδ προφητείας πάλαι παρ' Ἑβραίοις
τοῦτον ᾀδόμενα τὸν τρόπον, Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου,
Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. Ἐπληρώθη ἡ γῆ τῆς p. 538
κτίσεώς σου· πάντα πρός σε προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτοῖς εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν·
ἀνοίξαντος δέ σου τὴν χεῖρα, τὰ πάντα πληρωθήσεται χρηστότητος. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι,
καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ
πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσω-
12 πον τῆς γῆς. Τί γὰρ ταῦτα διαφέροι ἂν τῆς φασκούσης
τοῦ φιλοσόφου διανοίας, ὡς ἄρα "Βλέποντος μὲν καὶ b
ἐπεστραμμένου πρὸς ἡμῶν ἕκαστον τοῦ θεοῦ, συμβαίνει
ζῆν τε καὶ βιώσκεσθαι τότε τὰ σώματα κηδεύοντος τοῦ
θεοῦ τοῖς ἀκροβολισμοῖς· μεταστρέφοντος δὲ εἰς τὴν
ἑαυτοῦ περιωπὴν τοῦ θεοῦ, ταῦτα ἀποσβέννυσθαι;"

d 7. ταῦτα] ταῦτα μὲν D. ταῦτα ὁ Νουμ. om. F.
p. 538. 3. εἰς om. F.G. 4. δέ σου] δὲ om. C.G. 7. ἀντανελεῖς] ἀντανέλῃς C.G. ἀνατελῃς F. 8. αὐτῶν] αὐτὸν C. 11. διαφέροι] διαφέρει C. Tum ἂν om. D. b 2. ἐπεστ.] ἀπεστ. C.F.G. ζητεῖν D. nescio an pro ζῆν. 3. συμβαίνει] συμβαίνειν C.F.G. 4. κηδεύοντα] κηδεύοντος C.F.G.

11 Hæc Numenius. Quæ cum iis confer amabo, quæ jam olim apud
Hebræos his verbis David propheta cecinerat, *Quam magnificata sunt* Ps. 103, 24.
opera tua! omnia in sapientia fecisti: Impleta est terra creatione tua.
Omnia a te expectant ut des illis escam in tempore. Dante te illis
colligent: aperiente te manum tuam, omnia implebuntur bonitate.
Avertente autem te faciem, turbabuntur: auferes spiritum eorum, et
deficient, et in pulverem suum revertentur. Emittes spiritum tuum, et
12 *creabuntur, et renovabis faciem terræ.* Quid enim ab illa philosophi
mente discrepant? dum ait, Dum in quemque nostrum conversus
intuetur deus, tum enimvero sua corporibus vita, suus vigor inest,
quod immissis divinitus radiis foveantur. Sin autem ad sui ipsius
contemplationem oculos revocarit, tum res inferiores subito extinguantur necesse est.

13 Πάλιν δ' αὖ τοῦ σωτηρίου λόγου παρ' ἡμῖν φάντος, Ἐγώ εἰμι ἡ ἄμπελος, ὁ πατήρ μου ὁ γεωργὸς, ὑμεῖς τὰ κλήματα· ὁ Νουμήνιος ἐπάκουσον οἷα περὶ τοῦ δευτέρου αἰτίου θεολογεῖ·

ΝΟΥΜΗΝΙΟΥ

14 Ὥσπερ δὲ πάλιν λόγος ἐστὶ γεωργῷ πρὸς τὸν φυτεύοντα c ἀναφερόμενος, τὸν αὐτὸν λόγον μάλιστά ἐστιν ὁ πρῶτος θεὸς πρὸς τὸν δημιουργόν. Ὁ μέν γε ὢν σπέρμα πάσης ψυχῆς σπείρει εἰς τὰ μεταλαγχάνοντα αὐτοῦ χρήματα σύμπαντα· ὁ νομοθέτης δὲ φυτεύει καὶ διανέμει καὶ μεταφυτεύει εἰς ἡμᾶς ἑκάστους τὰ ἐκεῖθεν προκαταβεβλημένα.

15 Καὶ ἑξῆς δὲ πάλιν [περὶ τοῦ] πῶς ἀπὸ τοῦ πρώτου αἰτίου τὸ δεύτερον ὑπέστη τοιάδε φησίν·

Ὁπόσα δὲ δοθέντα μέτεισι πρὸς τὸν λαμβάνοντα, ἀπελθόντα ἐκ τοῦ δεδωκότος, ἐστὶ θεραπεία, χρήματα, νόμισμα d κοῖλον, ἐπίσημον· ταυτὶ μὲν οὖν ἐστι θνητὰ καὶ ἀνθρώπινα· τὰ δὲ θεῖά ἐστιν, οἷα μεταδοθέντα, ἐνθένδ' ἐκεῖθι γεγενημένα, ἐνθένδε τε οὐκ ἀπελήλυθε, κἀκεῖθι γενόμενα τὸν μὲν

c. τὰ φυτ.] τὸν φυτ. D.F.G. ut voluit Vigerus. ἀναφερόμενος] ἀνὰ C.F.G. 5. σύμπ.] ξύμπ. C.F. 8. περὶ τοῦ om. C.D.F.G. 10. ὁπόσα] πόσα C.E.I. d 4. ἐκεῖθι] ἐκεῖθεν D. qui infra ἔνθεν τε. 5. ἐνθένδε] ἔνθεν C.F.G. qui mox κἀκεῖθεν.

13 Rursus cum ita Christus in salutari evangelio de seipso loquatur, *Ego sum vitis, pater meus agricola, vos palmites;* vide porro cujusmodi sit Numenii de secundo principio theologia:

Joan. 15, 5.

14 Quemadmodum, inquit, agricolam inter et eum qui plantat relatio quædam est, ita plane deus primus ad artificem deum refertur. Nam primus quidem, ut omnis animæ semen est, in iis omnibus seminat, quæ ad aliquod sui consortium et communionem vocavit: at vero legislator, quæ jam ab illo proseminata sunt, eadem inserit ipse ac dividit, atque in nostrum quemque transplantat.

15 Itemque postea, dum hac in explicanda quæstione versatur, *Quemadmodum a primo principio secundum oriatur;* ita scribit,

Quæcunque postquam donata fuerint, sic ad eum qui accipit traducuntur, ut ab eo qui dederit sejungantur, exempli gratia curatio, divitiæ, argentum cælatum, aut signatum: ea mortalia sunt humanaque omnia. At vero divina ejusmodi sunt, quæ cum aliis ita communicantur, ut neque postquam illuc inde commearunt, inde tamen abscesserint; et illuc pro-

ΝΟΥΜΗΝΙΟΥ

ὤνησε, τὸν δ' οὐκ ἔβλαψε, καὶ προσώνησε τῇ περὶ ὧν ἠπί-
16 στατο ἀναμνήσει. Ἔστι δὲ τοῦτο τὸ καλὸν χρῆμα ἐπιστήμη ἡ καλή, ἧς ὤνατο μὲν ὁ λαβών, οὐκ ἀπολείπεται δ' αὐτῆς ὁ δεδωκώς. Οἷον ἂν ἴδοις ἐξαφθέντα ἀφ' ἑτέρου λύχνου λύχνον
[317] φῶς ἔχοντα, ὃ μὴ τὸν πρότερον ἀφείλατο, ἀλλὰ τῆς ἐν αὐτῷ
17 ὕλης πρὸς τὸ ἐκείνου πῦρ ἐξαφθείσης. Τοιοῦτον τὸ χρῆμά ἐστι τὸ τῆς ἐπιστήμης, ἣ δοθεῖσα καὶ ληφθεῖσα παραμένει
18 μὲν τῷ δεδωκότι, σύνεστι δὲ τῷ λαβόντι ἡ αὐτή. Τούτου δὲ p. 539
τὸ αἴτιον, ὦ ξένε, οὐδέν ἐστιν ἀνθρώπινον· ἀλλ' ὅτι ἕξις τε καὶ οὐσία ἡ ἔχουσα τὴν ἐπιστήμην ἡ αὐτή ἐστι παρά τε τῷ
19 δεδωκότι θεῷ, καὶ παρὰ τῷ εἰληφότι ἐμοὶ καί σοι. Διὸ καὶ ὁ Πλάτων τὴν σοφίαν ὑπὸ Προμηθέως ἐλθεῖν εἰς ἀνθρώπους μετὰ φανωτάτου τινὸς πυρὸς ἔφη.

Καὶ πάλιν ὑποβὰς ἑξῆς φησίν·

20 Εἰσὶ δ' οὗτοι βίοι, ὁ μὲν πρώτου, ὁ δὲ δευτέρου θεοῦ. Δηλονότι ὁ μὲν πρῶτος θεὸς ἔσται ἑστώς, ὁ δὲ δεύτερος ἔμ-

d 10. ἴδοις] ἴδῃς D. 12. τὸ] τὸν C.D. Vigeri margo. Ennius Ciceronis Off. I. 16. *Homo qui erranti comiter monstrat viam, Quasi de suo lumine lumen accendat, facit. Nihilominus ipsi lucet, cum illi accenderit.* ἀφείλετο] ἀφείλατο C.D.F.G. Tum ἀλλ' ἡ D.

p. 539. ἀνθρώπινον] ἀνθρώπου D. 3. παρὰ] παρά τε C.F.G. 7. πυρὸς om. C. πυρὸς τινὸς F.G. 10. ἔσται] ἴσ. ἔστιν Vigeri margo. οὕτως D. nescio an pro ἑστώς.

fecta, sic eum juvent qui acceperit, ut ei qui dederit nihil incommodent, imo prosint etiam aliquid, dum eorum quæ jam ante norat, ipse recordatur.
16 Cujusmodi sane honesta ac liberalis doctrina est, res plane singularis et excellens, quæ cum utilitatis accipienti plurimum afferat, ab eo tamen qui dederit non aufertur. Nam quemadmodum lucernam eam vides, quæ accensa ab altera fuerit, lumen illud retinere, quod priori non abstulerit, sed tantum qua instructa ipsa est materia, alterius igne accensa, acceperit.
17 Ita profecto doctrina, ut donetur ab altero, ab altero accipiatur, eadem tamen et in eo qui dederit postea remanet, et in eo tamen qui acceperit,
18 ipsa versatur. Cujus sane rei caussa, mi hospes, humani nihil est; sed quod habitus illa naturæque ratio, cujus ambitu scientia continetur, eadem omnino cum in deo sit, a quo profecta, tum in me simul ac te, qui acce-
19 pimus. Itaque Plato sapientiam ad homines, una cum igne clarissimo, a Prometheo delatam esse dicebat. Phileb. p. 16 c.

Idem aliquantum progressus ista subjungit.

20 Ea sunt, inquit, vitæ genera; primi dei alterum, alterum secundi. Primus quippe deus unus semper idemque persistit: secundus subinde

ΝΟΥ-ΜΗ-ΝΙΟΥ

πάλιν ἐστὶ κινούμενος. Ὁ μὲν οὖν πρῶτος περὶ τὰ νοητά, b
21 ὁ δὲ δεύτερος περὶ τὰ νοητὰ καὶ αἰσθητά. Μὴ θαυμάσῃς δ' εἰ τοῦτ' ἔφην, πολὺ γὰρ ἔτι θαυμαστότερον ἀκούσῃ. Ἀντὶ γὰρ τῆς προσούσης τῷ δευτέρῳ κινήσεως τὴν προσοῦσαν τῷ πρώτῳ στάσιν φημὶ εἶναι κίνησιν σύμφυτον· ἀφ' ἧς ἥ τε τάξις τοῦ κόσμου, καὶ ἡ μονὴ ἡ ἀΐδιος, καὶ ἡ σωτηρία ἀναχεῖται εἰς τὰ ὅλα.

22 Ἐπὶ τούτοις καὶ ἐν τῷ ἕκτῳ προστίθησι ταῦτα·

Ἐπειδὴ ᾔδει ὁ Πλάτων παρὰ τοῖς ἀνθρώποις τὸν μὲν δημιουργὸν γινωσκόμενον μόνον, τὸν μέντοι πρῶτον νοῦν, ὅστις c
καλεῖται αὐτὸ ὄν, παντάπασιν ἀγνοούμενον παρ' αὐτοῖς, διὰ
23 τοῦτο οὕτως εἶπεν, ὥσπερ ἄν τις οὕτω λέγοι· Ὦ ἄνθρωποι, ὃν τοπάζετε ὑμεῖς νοῦν οὐκ ἔστι πρῶτος, ἀλλὰ ἕτερος πρὸ τούτου νοῦς, πρεσβύτερος καὶ θειότερος.

24 Καὶ μεθ' ἕτερα ἐπιλέγει,

Κυβερνήτης μέν που ἐν μέσῳ πελάγει φορούμενος ὑπὲρ πηδαλίων ὑψίζυγος τοῖς οἴαξι διϊθύνει τὴν ναῦν ἐφεζόμενος,

b 2. θαυμάσῃς] θαυμάσεις D. 3. ἀκούσῃ] ἀκούσεις D. 4. γὰρ om. F.G. 8. ἐπὶ] ἔτι D.G.I. 9. καὶ ἐν] καὶ om. C. 11. μόνον om. F. c 2. αὐτὸν—ἀγνο.] αὐτοὸν—ἀνο. C. αὐτοὸν item E.I. 5. ἔστι] ἔτι G. 9. πηδαλίου] πηδαλίων D.F.G.I.

moveri solet. Ille spiritalibus duntaxat in rebus, hic in iis tam quæ
21 sensus, quam quæ animus percipit, occupatur. Neque vero tibi mirum id videatur; plus etiam admirabilitatis habet quod audies. Nam loco motus ejus, in quo secundus versatur, illum ego, qui primi proprius est, statum ac firmitatem quietis, nativum quendam motum esse defendo, ex quo hanc in rerum universitatem, mundi ordo ac sempiterna constantia, salusque derivetur.

22 Atque iterum libro sexto,

Cum Plato, inquit, probe intelligeret, solum artificem deum notum hominibus ac perspectum esse; at primæ illius mentis nomen obscurum penitus ipsis atque ignotum manere: hoc proinde genus orationis adhibuit,
23 perinde ut si quis hunc in modum loqueretur. Quam vos mentem homines esse conjicitis, ea quidem prima non est: antiquior altera quædam est atque divinior.

24 Itemque nonnullis interpositis,

Utique navis gubernator, medio jactatus mari, clavo quidem sublimis insidens, navim gubernaculis regit: at oculos simul atque mentem, recta

ΝΟΥΜΗΝΙΟΥ

ὄμματα δ' αὐτοῦ καὶ νοῦς εὐθὺ τοῦ αἰθέρος ξυντέταται πρὸς d τὰ μετάρσια, καὶ ἡ ὁδὸς αὐτῷ ἄνω δι' οὐρανοῦ ἄπεισι, πλέοντι κάτω κατὰ τὴν θάλατταν· οὕτω καὶ ὁ δημιουργὸς, τὴν ὕλην, τοῦ μήτε διακροῦσαι μήτε ἀποπλαγχθῆναι αὐτὴν, ἁρμονίᾳ ξυνδησάμενος, αὐτὸς μὲν ὑπὲρ ταύτης ἵδρυται, οἷον ὑπὲρ νεὼς ἐπὶ θαλάττης, τῆς ὕλης· τὴν ἁρμονίαν δὲ ἰθύνει, ταῖς ἰδέαις οἰακίζων, βλέπει τε ἀντὶ τοῦ οὐρανοῦ εἰς τὸν ἄνω θεὸν προσαγόμενον αὐτοῦ τὰ ὄμματα, λαμβάνει τε τὸ μὲν κριτικὸν ἀπὸ τῆς θεωρίας, τὸ δὲ ὁρμητικὸν ἀπὸ τῆς ἐφέσεως.

25 Καὶ ὁ σωτήριος παρ' ἡμῖν λόγος, Οὐδὲν, φησὶ, δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα. Ἀλλὰ γὰρ τοσαῦτα καὶ περὶ τοῦδε ὁ Νουμήνιος. Ὅτι δὲ οὐκ οἰκεῖα τὰ δὲ Πλάτωνι δοκοῦντα p. 540
26 διεσάφει, οὐδὲν ἐπιλέγειν δεῖ ταῖς αὐτοῦ φωναῖς. Ὁ δέ γε Πλάτων ὅτι μὴ πρῶτος ταῖσδε κέχρηται ταῖς ἐπιβολαῖς, φθάνουσι δ' αὐτὸν προειληφότες Ἑβραίων οἱ σο-

c 11. αὐτοῦ] αὖ C. ξυντέταται] ξυντέτακται E. d. αὐτῷ] αὐτοῦ C.F.G. 2. κάτω κατὰ om. D. κατὰ om. F.G. πλεονεκτικωτάτω τὴν θάλασσαν E.I. 4. διακροῦσαι] ἀποκροῦσαι C.F.G. ἀποπλεχ.] ἀποπλαχ. C. ἀποπλαγχθῆναι D.F.G. 10. προσαγόμενον] προσαγόμενα C. D.F.G. 13. ἡμῖν φησι λόγος D. ult. ταῦτα μὲν ὁ Νουμήνιος παρὰ Πλάτωνος ὃς Πλάτων οὐ πρῶτος ἀλλὰ φθανόντων αὐτὸν Ἑβραίων ταῦτα εἴρηκε D.

p. 540. δοκοῦντα] δοκοῦν E. 4. κέχρητο] κέχρηται C.F.G. φαίνονται] φθάνουσι C.F.G.I. 5. ἑβραίων] ἑβραῖον C.

summum in cœlum intentam defixamque tenet; suaque homini, dum inferius mare trajicit, via superius per cœlum conficitur. Ita noster hic artifex, ne aut materiam ipse disjiciat, aut dissipetur ipsa per sese, eam ubi temperatione colligavit, eidem, perinde ut in mari summæ navi, sic insidet, ut illam ipsius temperationem ideis, quibusdam quasi gubernaculis, moderetur: cœlique loco superiorem in deum, suos ipsius oculos in sese convertentem intuitus, ex contemplatione judicandi vim, ut ex suopte desiderio propensionem et impetum accipiat.

25 Quibus sane philosophi verbis affine illud est servatoris nostri, *Nihil,* inquit, *potest Filius facere a semetipso, nisi viderit Patrem facientem.* Jo. 5,19. Verum, ex Numenio quidem, hac de re modo satis. Qua quidem oratione, ut Platonis vere, non suam ab eo propriamque doctrinam explicari quivis intelligat, necesse nihil est hæc ad ejus
26 verba quicquam adjungere. A Platone vero non hoc primum doctrinæ genus traditum, sed ab iis qui apud Hebræos sapientia eminebant,

φοὶ, δέδεικται διὰ τῶν ἐκτεθειμένων. Εἰκότως δῆτα καὶ τῶν νέων φιλοσόφων διαφανὴς γεγονὼς Ἀμέλιος, τῆς Πλάτωνος καὶ αὐτὸς, εἰ καί τις ἄλλος, ζηλωτὴς φιλοσοφίας, πλὴν ἀλλὰ βάρβαρον ὀνομάσας τὸν Ἑβραῖον θεολόγον, εἰ καὶ μὴ ἐπ' ὀνόματος ἠξίωσε τοῦ εὐαγγελιστοῦ Ἰωάννου μνήμην ποιήσασθαι, ἐπιμαρτυρεῖ δ' οὖν ὅμως ταῖς αὐτοῦ φωναῖς, αὐτὰ δὴ ταῦτα πρὸς ῥῆμα b γράφων·

19 ΑΜΕΛΙΟΥ Καὶ οὗτος ἄρα ἦν ὁ λόγος καθ' ὃν αἰεὶ ὄντα τὰ γινόμενα ἐγίνετο, ὡς ἂν καὶ ὁ Ἡράκλειτος ἀξιώσειε, καὶ νὴ Δί' ὃν ὁ βάρβαρος ἀξιοῖ ἐν τῇ τῆς ἀρχῆς τάξει τε καὶ ἀξίᾳ καθεστη- c κότα πρὸς θεὸν εἶναι, καὶ θεὸν εἶναι· δι' οὗ πάνθ' ἁπλῶς γεγενῆσθαι· ἐν ᾧ τὸ γενόμενον ζῶν, καὶ ζωὴν, καὶ ὂν πεφυκέναι· καὶ εἰς τὰ σώματα πίπτειν, καὶ σάρκα ἐνδυσάμενον φαντάζεσθαι ἄνθρωπον, μετὰ τοῦ καὶ τηνικαῦτα δεικνύειν τῆς [318] φύσεως τὸ μεγαλεῖον· ἀμέλει καὶ ἀναλυθέντα πάλιν ἀποθεοῦσθαι, καὶ θεὸν εἶναι, οἷος ἦν πρὸ τοῦ εἰς τὸ σῶμα καὶ τὴν σάρκα καὶ τὸν ἄνθρωπον καταχθῆναι. d

b 8. ὁ Ἡρακ.] ὁ om. F. ὁ βάρβαρος ἀξιοῖ] ἀξ. ὁ β. B. c. ἀταξίᾳ] ἀξία B.C.I. Cum Steph. consentit D. 5. φαντάζεσθαι] φαντάζεται [εσθαι] D. 6. μετὰ καὶ τοῦ] μετὰ τοῦ καὶ C.F.G. Hinc usque ad καταχθῆναι om. B. 7. τὸ μεγ.] τὸ om. G. d. καταχθῆναι] καταταχθῆναι F.G.

occupatum fuisse, manifestis jam argumentis evicimus. Quin etiam Amelius, recentiores inter philosophos clarissimus, idemque Platonicæ philosophiæ studiosissimus, si quisquam alius, æmulator, ingenue certe quidem, nisi quod Hebræum ipse theologum barbarum appellat, ut Joannis evangelistæ nomen ponere noluerit, ejus tamen orationem suis ipse verbis testimonioque confirmat, dum hunc in modum scribit:

19 Atque hoc plane verbum erat, inquit, per quod, sempiternum cum esset, existebant omnia quæ fiebant, quemadmodum Heraclitus loqueretur: quod ipsum videlicet barbarus etiam ille, apud deum in principii gradu ac dignitate constitutum, imo et deum simul esse pronuntiat: per quod facta simpliciter omnia sint, in quo quicquid factum est, et vivens, et vita, et aliquid pro sua quodque natura fuerit: idem porro in corpora delabi tradit, et carne indutum, humanam speciem præ se ferre, sic tamen ut suæ interea naturæ majestatem ostendat: adeoque solutum ubi jam fuerit, dei locum denuo capessere, ac deum prorsus eundem esse, qui erat, priusquam in corpus atque in carnem hominemque descenderet.

2 Ταῦτ' οὐκ ἔτ' ἐπεσκιασμένως, ἀλλ' ἄντικρυς ἤδη
γυμνῇ τῇ κεφαλῇ μεταπεφρασμένα ἐκ τῆς βαρβάρου
θεολογίας δῆλα ἂν εἴη. Ὁ δέ γε βάρβαρος τίς ἦν
αὐτῷ, εἰ μὴ ὁ τοῦ Σωτῆρος ἡμῶν εὐαγγελιστὴς Ἰωάν-
νης, Ἑβραῖος ὢν ἐξ Ἑβραίων; Ὅς που ἀρχόμενος τῆς
3 οἰκείας γραφῆς, ὧδέ πῃ θεολογεῖ, Ἐν ἀρχῇ ἦν ὁ λόγος·
καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν. Καὶ Θεὸς ἦν ὁ λόγος· οὗτος
ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτὸν ἐγένετο, καὶ
χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν,
καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ ὁ λόγος σὰρξ
ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν
4 αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός. Τοῦ δ' αὐτοῦ P. 541
πέρι καὶ ἄλλος Ἑβραίων θεολόγος ἐπάκουσον οἷα διέξει-
σιν· Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος
πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς

d. οὐκ ἔτ'] ἔτ' om. B. 3. βαρβάρου] τοῦ β. B.F.G. 5. μὴ τοῦ] μὴ ὁ τοῦ C.D.E.F.G. 7. ὅς που] ὅπου C.F.G. 8. θεολογεῖ] ἐθεολ. C.F.G. 9. πρὸς τὸν θεὸν ἀχρὶ τοῦ] καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν C. Scil. hæc verba om. ed. Steph. sed agnoscunt mss. 11. αὐτὸν] αὐτοῦ G.

p. 541. τοῦ δ' αὐτοῦ] καὶ ἕτερος ἑβραῖος θεόλογος φησὶν, ὅς ἐστιν εἰκὼν etc. B. ἑβραῖος] ἑβραίων C.F.G.I. 2. ὧδε φησὶν D. 3. τῆς κτισ.] τῆς om. C.E.F.G.I. 4. ἐκτίσθη πάντα τὰ] ἐκτίσθη τὰ πάντα, τά τε ὁρατὰ B. τὰ π. C.E.F.G.I.

2 Hæc ille, quæ profecto non jam subobscure adumbrata, sed palam,
nudaque, quod aiunt, fronte, ex illa barbari hominis theologia trans-
lata esse nemo non videt. Barbarus autem ille, quem vocat, ecquis
porro fuit, nisi Joannes Servatoris nostri evangelista, qui Hebræus ex
Hebræis erat? Cujus hæc est ipso statim evangelii sui exordio theo-
3 logia, *In principio erat verbum, et verbum erat apud Deum, et Deus* Joan. 1.
erat verbum. Hoc erat in principio apud Deum. Omnia per ipsum
facta sunt, et sine ipso factum est nihil, quod factum est. In ipso vita
erat, et vita erat lux hominum. Et verbum caro factum est, et habi-
tavit in nobis: et vidimus gloriam ejus, gloriam quasi unigeniti a
4 *Patre.* Sed audi quid alius quoque theologus de eodem, Hebræus
et ipse, pronuntiet: *Qui est,* inquit, *imago Dei invisibilis, primogenitus* Coloss. 1,
omnis creaturæ: quoniam in ipso condita sunt universa, in cœlis et in 15.

οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ εἴτε ἀόρατα· καὶ πάντα δι' αὐτοῦ συνέστηκε, καὶ τὰ πάντα ἐν αὐτῷ ἐκτίσθη [τά τε ὁρατὰ καὶ τὰ ἀόρατα.] Ἀλλὰ καὶ τὰ περὶ τῆς τοῦ δευτέρου αἰτίου συστάσεώς τε καὶ οὐσιώσεως ὧδε τοῖς Ἑλλήνων σοφοῖς πρὸς τὰ Ἑβραίων συμπεφώνηται· μετίωμεν δῆτα καὶ ἐφ' ἕτερα.

20 Τῶν παρ' Ἑβραίοις λογίων μετὰ τὸν περὶ Πατρὸς b καὶ Υἱοῦ λόγον ἐν τρίτῃ τάξει τὸ ἅγιον Πνεῦμα καταλεγόντων, καὶ τήν γε ἁγίαν καὶ μακαρίαν Τριάδα τοῦτον ὑποτιθεμένων τὸν τρόπον, ὡς ἂν τῆς τρίτης δυνάμεως πᾶσαν ὑπερβεβηκυίας γενητὴν φύσιν, οὖσάν τε πρώτην c μὲν τῶν διὰ τοῦ Υἱοῦ συστασῶν νοερῶν οὐσιῶν, τρίτην δὲ ἀπὸ τοῦ πρώτου αἰτίου· θέα ὅπως καὶ ὁ Πλάτων τοιαῦτά τινα ᾐνίξατο, διὰ τῆς πρὸς Διονύσιον ἐπιστολῆς λέγων,

ΠΛΑΤΩΝΟΣ 2 Φραστέον δή σοι δι' αἰνιγμῶν, ἵν' ἄν τι δέλτος ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ. Ὧδε γὰρ ἔχει·

a 5. τῆς γῆς] εἴτε ὁρατὰ εἴτε ἀόρατα addunt C.E.F.G.I. τάτε ὁρατὰ καὶ τὰ ἀορ. infra om. C.G.I. 7. καὶ τὰ] καὶ om. B. 8. συστάσεώς τ. κ. οὐσ. om. B. 10. μετίωμεν] μετιτέον δὲ καὶ ἐφ' ἕτερον B. ἕτερα in fine C. pro ἕτερον. b 6. τήν γε] τήν τε G. c. πρώτην] πρώτων C. 3. ὅπως] πῶς F.G. καὶ ὁ] καὶ om. C.G. 4. τοιαῦτα] τὰ τ. I. 6. αἰνιγμάτων] αἰνιγμῶν B.C.F.G. ἢ γῆς] ἢ om. B.

terra: et omnia per ipsum constituta sunt, et omnia in ipso creata sunt, cum visibilia, tnm invisibilia. Ac de secundi quidem principii generatione, et communicata cum illo essentia hactenus ea, in quibus Græcorum sapientes cum Hebræorum doctrina consentiunt. Jam ad alia transeamus.

20 Secundum Patrem ac Filium, tertium ordine Spiritum sanctum Hebræa oracula constituunt, sanctamque ac beatam Trinitatem eo se modo habere pronuntiant, ut abs virtute hac tertia, quicquid genitæ naturæ est superari, eandemque cum spiritalium, quæ per Filium extitere, naturarum principem, tum ab primo principio tertiam esse velint. Jam vide sis, quemadmodum illa ipsa Plato subobscure licet, in ea quam ad Dionysium scripsit epistola, his verbis adumbrarit.

Plato Ep. II. p. 312 d. 2 Hæc ænigmatice, inquit, aperienda tibi sunt, uti ne, si quid forte mari terrave, epistolæ hujus paginis factum erit, intelligere possit, qui legerit.

περὶ τὸν πάντων βασιλέα πάντ' ἐστὶ, καὶ ἐκείνου ἕνεκα πάντα, καὶ ἐκεῖνο αἴτιον ἁπάντων καλῶν· δεύτερον δὲ περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα. Ἡ οὖν ἀνθρωπίνη d ψυχὴ περὶ αὐτὰ ὀρέγεται μαθεῖν ποῖα ἄττα ἐστὶ, βλέπουσα εἰς τὰ αὐτῆς συγγενῆ. ΠΛΑΤΩΝΟΣ

3 Ταῦτα οἱ τὸν Πλάτωνα διασαφεῖν πειρώμενοι ἐπὶ τὸν πρῶτον θεὸν ἀνάγουσιν, ἐπί τε τὸ δεύτερον αἴτιον, καὶ τρίτον τὴν τοῦ κόσμου ψυχὴν, θεὸν τρίτον καὶ αὐτὴν ὁριζόμενοι [εἶναι·] οἱ δέ γε θεῖοι λόγοι τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἐν ἀρχῆς λόγῳ τάττουσι κατὰ τὰ ἀποδεδομένα.

Ἕπεται τούτοις τὴν τοῦ ἀγαθοῦ ἐξετάσαι οὐσίαν.

21 Τῆς παρ' Ἑβραίοις θείας γραφῆς διαφόρως τὴν τοῦ p. 542
ἀγαθοῦ οὐσίαν, καὶ αὐτὸ τὸ ἀγαθὸν οὐδὲν ἄλλο εἶναι ἢ Θεὸν διδασκούσης, δι' ὧν τέ φησιν, Ἀγαθὸς Κύριος πᾶσι

c 8. παρὰ] περὶ C.D.F.G.I. et sic infra bis. 10. ἐκεῖνος] ἐκεῖνο B. C.F.G. Plat. Mox πάντων C.F.G. 11. τρίτον παρὰ] τρίτον ἐπὶ E. ἐπὶ τὰ δεύτ. I. d 5. ἐπί τε τὸ] καὶ τὸν B. qui om. αἴτιον. Idem mox τὸν τρίτον. 7. εἶναι om. C. εἶναι ὁριζ. E.F.G.I. 8. καὶ μακαρίαν om. B. 9. καὶ υἱοῦ] καὶ om. E.I. 10. κατὰ τὰ etc.] ἐξεταστέον οὖν καὶ τὴν τοῦ ἀγαθοῦ οὐσίαν B. 11. ἕπεται] ἕπεται δὲ D.

p. 542. 5. ἢ τοῦ θεοῦ] ἢ θεὸν B.C.F.G.

Sic enim se res habet. Circa universarum regem omnia sunt, ac propter ipsum omnia. Idem bonorum omnium principium est. At circa secundum, ea quæ secundo: circa tertium, ea quæ tertio ordine continentur, cuncta versantur. Quæ quidem hominis animus, in res sibi cognatas intentus, cujusmodi sint, perspecta et explorata habere gestit.

3 Hæc Platonis verba, qui explicandam philosophi mentem suscepere, ad primum deum, secundumque principium referunt, necnon ad tertium, quam mundi animam, deumque tertium ipsi quoque appellare solent. At sanctam illam beatamque Patris, et Filii, et Spiritus sancti Trinitatem, principii, ut jam ante diximus, vim et rationem habere divinæ literæ definiunt.

Sequitur, ut boni naturam exquiramus.

21 Boni naturam, ipsumque adeo bonum, aliud esse nihil quam Dei naturam atque bonitatem scriptura Hebræorum divina pluribus testatur modis; ut cum ait, *Bonus Dominus omnibus sustinentibus* Nahum 1, 7.

τοῖς ὑπομένουσιν αὐτόν· ψυχῇ, ἣ ἐκζητήσει αὐτόν· καὶ, Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· δι᾽ ὧν τε ὁ σωτήριος λόγος πρὸς τὸν περὶ
τοῦδε ἐρόμενον ἀπεφήνατο εἰπὼν, Τί με ἐρωτᾷς περί τοῦ b
2 ἀγαθοῦ; Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός· ἐπάκουσον τοῦ Πλάτωνος, ἅ φησιν ἐν Τιμαίῳ·

ΠΛΑΤΩΝΟΣ

Λέγωμεν δὴ δι᾽ ἥν τινα αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς ξυνέστησεν. Ἀγαθὸς ἦν· ἀγαθῷ δ᾽ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτ᾽ ἐγγίγνεται φθόνος. Τούτου δὲ ἐκτὸς ὢν, πάντα ὅτι μάλιστα ἐβουλήθη γενέσθαι παραπλήσια ἑαυτῷ.

3 Καὶ ἐν τῇ Πολιτείᾳ δὲ ταῦτά φησιν·

Ἆρ᾽ οὖν οὐ καὶ ὁ ἥλιος ὄψις μὲν οὐκ ἔστιν, αἴτιος δ᾽ ὢν αὐτῆς ὁρᾶται ὑπ᾽ αὐτῆς ταύτης; Οὕτως, ἦδ᾽ ὅς. Τοῦτον
τοίνυν, ἦν δ᾽ ἐγὼ, φάναι με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον, c
[319] ὃν τὸ ἀγαθὸν ἐγέννησεν ἀνάλογον ἑαυτῷ, ὅ τι περ αὐτὸ ἐν τῷ

a 7. ψυχῇ—αὐτὸν om. B. ψυχὴ D. ἐκζητήσει] ζητήσει F. 8. ἐξομολογεῖσθαι D. 10. ὧν γε F. b 3. ἐπάκουσον etc.] ἴδε γὰρ ἅ φησιν ὁ Πλάτων B. 6. περὶ] ἂν περὶ B. ἐγγίγνοιτ᾽ ἂν] ἐγγίνεται C.E.F.G.I. 7. τούτου] τοῦτο C.F. 11. ὃς] ὡς C. c. τὸν] τὸ B.E.F.G.I. 2. ἔκγονον] ἔγγονον C.E.I. 3. ὅτι περ—παρέχειν φήσεις om. B.

Ps. 105, 1. *eum: animæ quæ requiret ipsum.* Itemque, *Confitemini Domino, quoniam bonus, quoniam in sæculum misericordia ejus.* Ita servator ipse
Mat. 19, 17. noster, ad illum abs quo rogabatur, *Quid me interrogas de bono?* in-
2 quit: *Nemo bonus nisi solus Deus.* Nunc Platonis in Timæo sententiam accipe.

Plat. Tim. p. 29. Dicamus ergo, quam ob caussam, inquit, auctor ille molitorque deus, rebus ortum dare, atque hoc universum condere statuerit. Bonus erat; bonus autem nulla unquam ullo in genere laborat invidia. Cum igitur ea vacaret, omnia sibi quam-simillima esse voluit.

3 Idem in suis De Republica libris,

Rep. p. 508 b. Numquid vero ait, cum sol ipse visus non sit, ab eo tamen cujus ille caussa est, cernitur? Plane, inquit ille. Hunc igitur habeto, inquam, boni filium abs me vocari, quem bonum sui similem genuerit: ut quod ipsum in loco spiritali est, cum mente, rebusque mente perceptis comparatum; id

ΠΛΑΤΩΝΟΣ

νοητῷ τόπῳ πρός τε νοῦν καὶ τὰ νοούμενα, τοῦτο τοῦτον ἐν τῷ ὁρατῷ πρός τε ὄψιν καὶ τὰ ὁρώμενα.

4 Καὶ ἑξῆς ἐπιλέγει·

Τοῦτο τοίνυν τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις, καὶ τὸ γιγνώσκοντι τὴν δύναμιν ἀποδιδοῦν, τὴν τοῦ ἀγαθοῦ ἰδέαν φάθι εἶναι.

Καὶ πάλιν φησὶ,

5 Τὸν ἥλιον τοῖς ὁρωμένοις οὐ μόνον, οἶμαι, τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχειν φήσεις, ἀλλὰ καὶ τὴν γένεσιν καὶ αὔξην καὶ τροφὴν, οὐ γένεσιν αὐτὸν ὄντα. Πῶς γάρ; Καὶ τοῖς γινωσκομένοις τοίνυν μὴ μόνον τὸ γινώσκεσθαι φάναι ὑπὸ τοῦ d ἀγαθοῦ παρεῖναι, ἀλλὰ καὶ τὸ εἶναί τε καὶ τὴν οὐσίαν ὑπ' ἐκείνου αὐτοῖς προσεῖναι, οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ' ἐπέκεινα οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος.

6 Σαφέστατα διὰ τούτων οὐ μόνον τὸ γινώσκεσθαι ταῖς νοηταῖς οὐσίαις, ἀλλὰ καὶ τὸ εἶναί τε καὶ οὐσίαν ἔχειν

c 4. νοούμενα] ὁρώμενα C.F.G. Mox τοῦτο om. D.E.F.G. 7. καὶ τῷ F.G. d 2. ἀλλὰ—προσεῖναι] Addidit Vigerus ex Platone. Ea habet I. et credo E. Ad οὐσίαν D. in marg. apponit ἔχειν—μὴ εἶναι οὐσίαν quæ leguntur infra d 7. 3. αὐτοῖς] τοῖς G. οὐκ οὐσίας—οὐσίαις om. B.C. 6. ταῖς νοηταῖς οὐσίαις] ἴσ. τὰς etc. Vigeri margo. 7. τε καὶ] τε om. C.E.F.G. οὐσίαν] Addunt B.C. ὑπ' ἐκείνου αὐτοῖς προσεῖναι οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ ἀλλ' ἐπέκεινα οὐσίας.

sol in loco aspectabili sit, si cum visu ac rebus sub visum cadentibus conferetur.

4 Et paulo post,

Quod igitur et iis rebus quæ cognoscuntur veritatem tribuit, et cognoscendi vim facultatemque suppeditat, id tu boni ideam esse statuito. p. 508 e.

Itemque,

5 Solem, opinor, iis quæ videntur, non id modo tribuere dices, ut videri queant, verum etiam ortum ipsis, incrementa, nutritionemque largiri, cum tamen ortus ipse non sit: quî enim esse possit? Ergo similiter res eas quæ cognoscuntur, a bono dices, non ut cognoscantur modo, sed etiam ut sint, adeoque propriam essentiæ suæ rationem ab eodem accipere, tametsi bonum essentia non sit, sed longe supra essentiam omnem majestate simul ac potestate emineat. p. 509 b.

6 Hæc Plato, quibus clarissime docet, spiritales intelligentesque naturas a bono, (sic autem deum appellat) non ut cognosci modo

παρὰ τοῦ ἀγαθοῦ, δηλαδὴ τοῦ Θεοῦ, φησὶν ὁ Πλάτων·
τό τε ἀγαθὸν "μὴ εἶναι οὐσίαν, ἀλλ' ἐπέκεινα τῆς οὐσίας,
πρεσβείᾳ καὶ δυνάμει ὑπερέχον·" ὥστε μὴ ὁμοούσια αὐτὰ
τίθεσθαι, ἀλλὰ μηδὲ ἀγέννητα νομίζειν, ὅτι δὴ καὶ τὸ
εἶναι καὶ τὴν οὐσίαν εἴληφε παρὰ τοῦ μὴ ὄντος οὐσίας,
ἀλλ' ἐπέκεινα οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος· p. 543
ὃν δὴ καὶ μόνον εἰκότως Θεὸν τὰ Ἑβραίων ἀναγορεύει
7 λόγια, ὡς ἂν τοῖς πᾶσιν αἴτιον ὄντα. Τὰ δὴ οὖν μήτε
τὸ εἶναι μήτε τὴν οὐσίαν παρ' ἑαυτῶν ἔχοντα, ἀλλὰ
μηδὲ τῆς τἀγαθοῦ φύσεως ὄντα, οὐ δὴ εὔλογον θεοὺς
ἡγεῖσθαι, οἷς μὴ φύσει τὸ ἀγαθὸν πρόσεστιν· ἑνὶ γὰρ
τοῦτο μόνῳ, καὶ οὐδενὶ ἄλλῳ ἀναθετέον, τῷ μόνῳ ἀγαθῷ,
ὃ δὴ καὶ "ἐπέκεινα πάσης οὐσίας πρεσβείᾳ τε καὶ δυνά-
μει ὑπερέχον" θαυμασίως ὁ Πλάτων ἀνεφώνησε. Πάλιν b
δὲ καὶ ὁ Νουμήνιος ἐν τοῖς Περὶ τἀγαθοῦ, τὴν τοῦ

p. 543. 2. ὃν δὴ—λόγια om. B. 4. αἴτιον] ἴσ. add. τοῦ εἶναι Vigeri margo. 6. εὔλογον] εὐλόγως B. 7. εἶναι om. B.C.F.G. ante ἡγεῖσθαι. 8. καὶ οὐδενὶ—ἀγαθῷ om. B. οὐδὲ I. pro οὐδενί. 10. τε καὶ] δὲ καὶ ὁ C. 11. ὑπερέχειν D.F.G.I. b. πάλιν δὲ] καὶ ὁ B. qui om. ἐν τοῖς—ἀγαθοῦ. δὲ ὁ] δὲ καὶ ὁ D.F.I. 2. τοῦ ἀγ.] τἀγ. I.

possint, verum etiam ut sint, ac propriam essentiæ suæ rationem accipere: bonum tamen ipsum essentiam non esse, sed essentiam omnem majestate simul ac potestate longe multumque superare. Itaque naturas illas nec ejusdem cum illo essentiæ statuit, nec ortu carere arbitratur, quippe quæ ut essent, ac propriam essentiæ suæ rationem, ab eo quod essentia non est, sed majestate ac potestate essentiam omnem longissime prætergreditur, acceperint: quem propterea jure quidem ac merito solum Hebræa oracula Deum prædicant, cum rebus cæteris omnibus essentiæ fons principiumque sit.
7 Illas autem omnes, quibus neque ut sint, neque sua cujusque essentiæ ratio a seipsis inest, imo ne boni quidem naturæ communio, absurde prorsus ac stulte deos esse putaveris, cum ipso quoque bono sua per sese natura spolietur. Hoc enimvero uni duntaxat tribuendum est, præterea nemini, soli, inquam, illi bono, quod majestate simul ac potestate Plato, longe supra essentiam omnem eminere tam egregie præclareque pronuntiat. Cujus iterum sententiam Nu-

Πλάτωνος διάνοιαν ἑρμηνεύων, τοῦτον διέξεισι τὸν
τρόπον·

22 Τὰ μὲν οὖν σώματα λαβεῖν ἡμῖν ἔξεστι, σημαινομένοις ἔκ ΝΟΥ-ΜΗ-ΝΙΟΥ
τε ὁμοίων ἀπό τε τῶν ἐν τοῖς παρακειμένοις γνωρισμάτων
ἐνόντων· τἀγαθὸν δὲ οὐδενὸς ἐκ παρακειμένου οὐδ' αὖ ἀπὸ c
ὁμοίου αἰσθητοῦ ἐστὶ λαβεῖν μηχανή τις οὐδεμία· ἀλλὰ
δεήσει, οἷον εἴ τις ἐπὶ σκοπῇ καθήμενος, ναῦν ἁλιάδα βρα-
χεῖάν τινα τούτων τῶν ἐπακτρίδων, τῶν μόνων, μίαν, μόνην,
ἔρημον, μετακυμίοις ἐχομένην ὀξυδεδορκὼς, μιᾷ βολῇ κατεῖδε
τὴν ναῦν, οὕτω δή τινα ἀπελθόντα πόρρω ἀπὸ τῶν αἰσθητῶν
ὁμιλῆσαι τῷ ἀγαθῷ μόνῳ μόνον, ἔνθα μήτε τις ἄνθρωπος,
μήτε τι ζῷον ἕτερον, μηδὲ σῶμα μέγα μηδὲ σμικρὸν, ἀλλά
τις ἄφατος καὶ ἀδιήγητος ἀτεχνῶς ἐρημία θεσπέσιος, ἔνθα d
τοῦ ἀγαθοῦ ἤθη διατριβαί τε καὶ ἀγλαΐαι, αὐτὸ δὲ ἐν εἰρήνῃ,
ἐν εὐμενείᾳ, τὸ ἤρεμον, τὸ ἡγεμονικὸν, ἵλεων, ἐποχούμενον
2 ἐπὶ τῇ οὐσίᾳ. Εἰ δέ τις πρὸς τοῖς αἰσθητοῖς λιπαρῶν τὸ
ἀγαθὸν ἐφιπτάμενον φαντάζεται, κἄπειτα τρυφῶν οἴοιτο τῷ

b 8. *τε τῶν*] *τε* om. C.F.G. 9. *ἐνόντων*] *ὑπόντων* B. c 2. *οὐδ' οὖν*] *οὐδὲ αὖ* C.D.G.I. *οὐδὲ ἂν* F. Hinc usque ad *θεσπέσιος* om. B. 3. *ἐπὶ σκοπῇ*] *ἐπισκόπει* D. 6. *μετακυμίαις*] *μετακυμίοις* C.D.F.G. Mox *ὀξυδεδαρκὼς* D. 7. *δὴ*] *δ' εἰ* C.D.F.G. *δεῖ* E.I. 10. *μήτε τι*] *τι* om. C. 11. *μικρὸν* D. *σῶμα μέγα μηδὲ* om. F. d. *διήγητος* F. 2. *ἀγαθοῦ ἤθη*] Inepte interpres. Verte; *Boni domicilium.* Toup. 3. *αὐτὸ*] *αὐτὴ* B. *εὐμενείᾳ*] *εὐνομία* B. 4. *ἵλεων*] *ἵλεω* B. *ἵλεον* C. *ἵλεω* F.G.I.

menius in suis De bono libris exponens hunc in modum philosophatur.

22 Corporum, inquit, naturam intelligere possumus, dum partim in aliorum similium conditiones, partim in proprias et insitas obvio cuique notas intuemur. At boni rationem capere, nullo prorsus modo, neque ullius ex rei præsentis aspectu, neque ex cujusquam omnino, quæ sensibus percipiatur, similitudine possumus. Sed necesse fuerit, perinde ut si quis in edita specula considens, cymbam medio in mari perexiguam, unam ex piscatoriis illis aliquam, quæ solæ apparere solent, omni comitatu nudam, alternisque fluctibus inclusam, qua valet acie prospiciens, conjectu oculorum uno totam pervideat: ita quemque procul ab omni rerum, quæ sensu capiuntur, usu commercioque sejunctum, cum solo bono solum agere, ubi non homo, non anima, non ullum omnino corpus occurrat, sed vasta quædam omnique oratione major, ac plane divina solitudo: in qua boni mores, consuetudo, deliciæque versantur: ipsumque adeo bonum, summa pace, ac placidissima quadam animi tranquillitate fruens, princeps idem
2 omnibusque propitium, naturæ insidet universæ. Nam qui dum in rebus iis, quæ sensum feriunt, assiduus ac totus est, boni nescio quam velut eo

ΝΟΥ-
ΜΗ-
ΝΙΟΥ

ἀγαθῷ ἐντετυχηκέναι, τοῦ παντὸς ἁμαρτάνει. Τῷ γὰρ ὄντι οὐ ῥᾳδίας, θείας δὲ πρὸς αὐτὸ δεῖ μεθόδου· καί ἐστι κράτιστον, τῶν αἰσθητῶν ἀμελήσαντι, νεανιευσαμένῳ πρὸς τὰ μαθήματα, τοὺς ἀριθμοὺς θεασαμένῳ, οὕτως ἐκμελετῆσαι μάθημα, Τί ἐστι τὸ ὄν.

3 Ταῦτα μὲν ἐν τῷ πρώτῳ. Ἐν δὲ τῷ πέμπτῳ ταῦτά p. 544
φησιν,

Εἰ δ᾽ ἐστὶ μὲν νοητὸν ἡ οὐσία καὶ ἡ ἰδέα, ταύτης δ᾽ ὡμολογήθη πρεσβύτερον καὶ αἴτιον εἶναι ὁ νοῦς, αὐτὸς οὗτος μόνος εὕρηται ὢν τὸ ἀγαθόν. Καὶ γὰρ εἰ ὁ μὲν δημιουργὸς θεός ἐστι γενέσεως, ἀρκεῖ τὸ ἀγαθὸν οὐσίας εἶναι ἀρχή. Ἀνάλογον δὲ τούτῳ μὲν ὁ δημιουργὸς θεὸς, ὢν αὐτοῦ μιμητὴς, τῇ δὲ οὐσίᾳ ἡ γένεσις, εἰκὼν (γὰρ) αὐτῆς ἐστὶ καὶ μίμημα.
4 Εἴπερ δὲ ὁ δημιουργὸς ὁ τῆς γενέσεώς ἐστιν ἀγαθὸς, ἦ που ἔσται καὶ ὁ τῆς οὐσίας δημιουργὸς αὐτοάγαθον, σύμφυτον τῇ b

d 8. τῷ γὰρ ὄντι—τὸ ἐν om. B. ult. ἐν] ὂν C. ὂν G.I. μάθημάτα τά τε ἐστι τὸ ὂν D.

p. 544. πέμπτῳ] δευτέρῳ B.D. 2. ἡ οὐσία] ἡ om. B. 3. ὡμολ.] ὁμολ. B. 4. ὢν] ὂν B.D. 6. ἀρχὴ] ἀρκεῖ E.I. Trapezuntius: *Nam si creator Deus generationis est, satis est ut ipsum bonum substantiæ principium sit, cui quidem bono Deus proportionalis est, cum sit imitator ejus, substantiæ autem generatio proportionalis, imago enim est ejus et imitatio.* ἐστὶν] εἶναι B.C.D.E.F.G.I. Mox τοῦτο B. 9. οὖσα] ἐστι B.C.D.E.F.G.I. (γὰρ) suppeditavit Trapez. εἰ γὰρ] εἴπερ δὲ C.D.F.G. εἴπερ E.I. Hinc usque ad αὐτοαγαθὸν om. B.

devolantis cogitationem informat, ac deinde illius se familiaritate usum homo delicatus ac voluptarius existimat, næ is vehementer errat. Nec enim ipsum facili ac ludicra, sed plane divina quadam arte industriaque quærendum est. Quo in genere optimum sane fuerit, omnibus iis quæ in sensum cadunt præteritis, in mathematicas disciplinas animose in primis atque ardenter incumbere, atque ubi numerorum discrimina rationesque pervideris, tum in hac demum quæstione, Quid unum et cujusmodi sit, assidua meditatione versari.

3 Hæc in primo Numenius: at quæ sequuntur, in quinto:

Jam, inquit, si tam essentia, quam idea, spiritale quiddam est, et si utraque antiquiorem, imo et caussam utriusque mentem esse confitemur, eam profecto solam bonum esse necesse est. Nam si artifex deus generationis principium est, bonum ipsum profecto essentiæ principium erit. Enimvero ut artifex ille deus cum bono, cujus æmulator est, ita cum essentia generatio similitudinis atque affinitatis aliquid habet, quod ejus
4 imago quædam et imitatio sit. Quod si artifex generationis auctor bonus est, essentiæ quidem artifex, ipsummet per sese bonum erit, atque in

ΝΟΥ-ΜΗ-ΝΙΟΥ

[320] οὐσίᾳ. Ὁ γὰρ δεύτερος, διττὸς ὤν, αὐτοποιεῖ τήν τε ἰδέαν ἑαυτοῦ καὶ τὸν κόσμον, δημιουργὸς ὤν· ἔπειτα θεωρητικὸς ὅλως. Συλλελογισμένων δ' ἡμῶν ὀνόματα τεσσάρων πραγμάτων, τέσσαρα ἔστω ταῦτα· Ὁ μὲν πρῶτος θεὸς, αὐτοάγαθον· ὁ δὲ τούτου μιμητὴς, δημιουργὸς ἀγαθός· ἡ δ' οὐσία, μία μὲν ἡ τοῦ πρώτου, ἑτέρα δὲ ἡ τοῦ δευτέρου· ἧς μίμημα ὁ καλὸς κόσμος, κεκαλλωπισμένος μετουσίᾳ τοῦ καλοῦ.

6 Καὶ ἐν τῷ ἕκτῳ δὲ ἐπιλέγει,

Μετέχει δὲ αὐτοῦ τὰ μετίσχοντα ἐν ἄλλῳ μὲν οὐδενὶ, ἐν c
δὲ μόνῳ τῷ φρονεῖν· ταύτῃ ἄρα καὶ τῆς ἀγαθοῦ συμβάσεως ὀνίναιτ' ἂν, ἄλλως δ' οὔ. Καὶ μὲν δὴ τὸ φρονεῖν τοῦτο δὲ συντετύχηκε μόνῳ τῷ πρώτῳ. Ὑφ' οὗ οὖν τὰ ἄλλα ἀποχραίνεται καὶ ἀγαθοῦται, ἐὰν τοῦτο ἐκείνῳ μόνον μόνῳ
7 προσῇ, ἀβελτέρας ἂν εἴη ψυχῆς ἔτι ἀμφιλογεῖν. Εἰ γὰρ ἀγαθός ἐστιν ὁ δεύτερος οὐ παρ' ἑαυτοῦ, παρὰ δὲ τοῦ πρώτου, πῶς οἷόν τε ὑφ' οὗ μετουσίας ἐστὶν οὗτος ἀγαθὸς, μὴ

b 2. αὐτὸς ποιεῖ] αὐτοποιεῖ C.D. αὐτὸ ποιεῖ E. αὐτοποιεῖν G. Mox αὐτοῦ C. 4. θεωρητικῶς] θεωρητικὸς C. Tum ὅλος D. ἡμῖν F. 5. τεττά.] τεσσα. C. bis. 10. μετουσίᾳ τοῦ καλοῦ] τοῦ κ. μ. B. 11. μετέχοντα καὶ] μετίσχοντα sine καὶ B.C.D.F.G. καὶ om. I. c 3. καὶ μὲν δὴ—ἀμφιλογεῖν om. B. δεῖν] δὲ C.D.F.G. 5. μόνον μόνῳ] μόνῳ μόνον C.F.G. 9. μετουσίας] μετουσία F. οὗτος ἀγαθὸς] ἀγαθὸς οὗτος B.

essentiæ rationem et naturam immersum. Nam secundus sane, duplex ipse cum sit, idemque artifex, primum quidem et ideam ipse suam, et mundum hunc procreat, deinde vero totus in contemplatione versatur. Quare, ut rerum quatuor nomina colligamus, quatuor hæc esse possint: deus primus, quod ipsum per sese bonum est: ejusdem imitator artifex bonus: essentia duplex, primi altera, altera secundi: cujus imitatio est pulcher ille mundus, pulchri communione exornatus.

6 Idem rursus in sexto.

Cæterum, inquit, quicquid ejus in communionem vocatur, unius tantum in sapientiæ vocatur: quippe quod ita demum ex ipsius boni conjunctione fructum aliquem capere possit, secus autem nullum. Cujus quidem sapientiæ fons non nisi penes primum illum esse debuit. Siquidem a quo cætera omnia cum perfectionem ipsa suam, tum aliquam boni rationem accipiunt, ei-ne tantum uni hæc perfecti boni dignitas insit, præterea du-
7 bitare, stolidi profecto ac vecordis animi fuerit. Si enim secundus non per sese bonus est, sed tantum primi beneficio; quî tandem fieri posset, ut cujus unius communione bonus alter iste sit, is ipsum per sese bonum

ΝΟΥΜΗΝΙΟΥ

ἀγαθὸν εἶναι, ἄλλως τε κἂν τύχῃ αὐτοῦ ὡς ἀγαθοῦ μεταλα-
8 χὼν ὁ δεύτερος; Οὕτω τοι ὁ Πλάτων ἐκ συλλογισμοῦ τῷ d
ὀξὺ βλέποντι ἀπέδωκε τὸ ἀγαθὸν ὅτι ἐστὶν ἕν.

Καὶ πάλιν ἑξῆς φησί·

9 Ταῦτα δὲ οὕτως ἔχοντα ἔθηκεν ὁ Πλάτων ἄλλῃ καὶ ἄλλῃ χωρίσας· ἰδίᾳ μὲν γὰρ τὸν κυκλικὸν ἐπὶ τοῦ δημιουργοῦ ἐγράψατο ἐν Τιμαίῳ εἰπών, "Ἀγαθὸς ἦν·" ἐν δὲ τῇ Πολιτείᾳ τὸ ἀγαθὸν εἶπεν ἀγαθοῦ ἰδέαν· ὡς δὴ τοῦ δημιουργοῦ ἰδέαν οὖσαν τὸ ἀγαθόν, ὅτι πέφανται ἡμῖν ἀγαθὸς μετουσίᾳ
10 τοῦ πρώτου τε καὶ μόνου. Ὥσπερ γὰρ ἄνθρωποι μὲν λέγονται τυπωθέντες ὑπὸ τῆς ἀνθρώπου ἰδέας, βόες δ' ὑπὸ τῆς βοός, ἵπποι δ' ὑπὸ τῆς ἵππου ἰδέας· οὕτω καὶ εἰκότως, ὁ δημιουργὸς εἴπερ ἐστὶ μετουσίᾳ τοῦ πρώτου ἀγαθοῦ ἀγαθός, ἰδέα ἂν εἴη ὁ πρῶτος νοῦς, ὢν αὐτοάγαθον.

ΠΛΑΤΩΝΟΣ

23 Οὕτω δὲ γεγενημένος, (δῆλον δ' ὅτι ὁ κόσμος,) πρὸς τὸ λόγῳ p. 545
καὶ φρονήσει περιληπτὸν, καὶ κατὰ τὰ αὐτὰ ἔχον δεδημιούρ-

c 9. εἶναι om. B.C.D.E F.G.I. d. οὕτω τοι] τοι om. C.F.G. συλλογισμοῦ] συλλογῆς B. 4. ἔθη μὲν] ἔθηκεν B.C.D.F.G.I. ἴσ. ἔτι Vigeri margo. χωρίσας] χωρήσας B C.F.G. χορήσας D. 6. ἐγρα. τὸν ἐν Τιμ. D. 7. ἐν δὲ—ἰδέαν om. B. 9. ὅς τις] ὅτι B.D. ὅς τι C.F.G. 10. ὅπως] ὥσπερ C.F.G. 12. ὑπὸ τῆς βοός, ἵπποι δὲ ex ed. Vigeriana exciderunt. 14. ἰδέα ἂν] ἰδέαν B.E.I.

p. 345. 4. δηλονότι] δῆλον δ' ὅτι B.C.F.G. δ' ὅτι I. 6. ἔχον] ἔχων D.

non esset; maxime vero, cum secundus eo duntaxat qua bonus est per-
8 fruatur? Ita sane Plato, si rem acute dispicias, bonum unum esse argumento confecit.

Itemque paulo post,

9 Hoc philosophiæ genus, alibi quidem aliter informatum Plato ac distinctum reliquit. Nam qui privatim in Timæo, vulgarem quandam artifici deo rationem descripsit, dum ait, Bonus erat: idem in Republica, bonum boni ideam esse pronuntiat, quippe bonum artificis ideam esse definiens, quem nonnisi primi illius soliusque boni communione bonum esse cogno-
10 vimus. Quemadmodum enim homines hominis, bovisque boves, equi similiter idea conformatos equos dicimus: ita sane, cum artifex primi boni communione bonus sit, mens ipsa prima, quæ ipsummet per sese bonum sit, idea jure dicatur.

23 Cum igitur (inquit Plato) procreatus ita fuerit, (mundus videlicet) se-
Plat. Tim. p. 29. quitur ipsum ad exemplaris alicujus, quod ratione tantum ac mente capia-

ΠΛΑΤΩΝΟΣ

γηται. Τούτων δὲ ὑπαρχόντων αὖ πᾶσα ἀνάγκη τόνδε τὸν κόσμον εἰκόνα τινὸς εἶναι.—Τὰ γὰρ δὴ νοητὰ ζῷα πάντα ἐκεῖνο περιλαβὸν ἔχει ἐν ἑαυτῷ, καθάπερ ὅδ' ὁ κόσμος ἡμᾶς. b

2 Ταῦτα μὲν ὁ Πλάτων ἐν Τιμαίῳ. Τὴν δὲ τῶν εἰρημένων διάνοιαν ἐκ τῶν Διδύμῳ Περὶ τῶν ἀρεσκόντων Πλάτωνι συντεταγμένων ἐκθήσομαι. Γράφει δὲ οὕτως·

ΔΙΔΥΜΟΥ

3 Τῶν κατὰ φύσιν αἰσθητῶν κατὰ γένος ὡρισμένα τινὰ παραδείγματα φάμενος εἶναι τὰς ἰδέας, ὧν τὰς ἐπιστήμας γίνεσθαι καὶ τοὺς ὅρους. Παρὰ πάντας γὰρ ἀνθρώπους ἄνθρωπόν τινα νοεῖσθαι· καὶ παρὰ πάντας ἵππους, ἵππον· καὶ κοι- c
4 νῶς παρὰ τὰ ζῷα, ζῷον ἀγένητον καὶ ἄφθαρτον. Ὃν τρόπον δὲ σφραγῖδος μιᾶς ἐκμαγεῖα γίνεσθαι πολλὰ, καὶ συχνὰς εἰκόνας ἑνὸς ἀνδρὸς, οὕτως ἐκ μιᾶς ἑκάστης ἰδέας αἰσθητῶν σωμάτων φύσεις παμπληθεῖς, τῆς μὲν ἀνθρώπων ἀνθρώπους ἅπαντας, καὶ κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τῶν ἄλλων τῶν κατὰ

a 7. ὑπαρχόντων] ὑπαρχουσῶν B. qui om. αὖ. 9. πάντα ζῶα ἐκεῖνα G. ἐκεῖνο] ἐκείνῳ περιλαβὸν D. περιλαβὸν I. περιλ. ἔχει ἐν ἑαυ.] ἐν ἑαυ. π. ἔχ. B.C. περιλαβὼν F.G. Tum ζῶα ἐκεῖνα ἐν ἑαυ. C. ἐν ἑαυτῷ om. D. ἐν αὐτῷ E. b 4. διδύμων D.I. 6. τῶν κατὰ] Seqq. sine nomine auctoris leguntur apud Stobæum Ecl. Phys. p. 30. ed. Canter. p. 330. Heeren. 8. γίνεσθαι] γενέσθαι B. ὅρους] ὅρκους F. c 2. τρόπον δὲ] δὲ τρ. B. 5. αἰσθητῶν—ἰδέαν om. B. 7. καὶ κατὰ] καὶ om. D.F.G. Mox λόγον καὶ ἐπὶ τῶν κ. φ. D.

tur, quodque eodem se modo semper habeat, imitationem elaboratum fuisse. Id quod si semel conceditur, mundum etiam hunc alicujus imaginem esse concedatur, necesse est. Nam exemplar quidem illud vim spiritalium animantium universam, uti nos iste mundus, in sese complectitur. p. 30.

2 Hæc Plato in Timæo. Cujus ego loci sententiam, ex iis quæ Didymus De Platonis opinionibus conscripsit, in medium proferam. Sic autem ipse loquitur :

3 Eorum, inquit, quæ pro naturæ suæ ratione, sensibus usurpantur, certa quædam in quoque genere ac definito exemplaria, quas ideas vocabat, Plato constituit, quibus proprie cum scientiæ, tum definitionis ratio conveniat. Etenim præter omnes homines, hominem; præter equos, equum; atque in universum præter animantes omnes, animantem quendam ortu
4 simul interituque carentem animo cogitari. Et quemadmodum unius ejusdemque sigilli expressæ complures formæ, virique unius imagines permultæ esse possunt: ita prorsus ex unaquaque sensu perceptorum corporum idea, vim naturarum ingentem existere: verbi caussa ex hominum idea, homines universos; quod ipsum de cæteris omnibus sit pro sua

ΔΙΔΥΜΟΥ

5 φύσιν. Εἶναι δὲ τὴν ἰδέαν ἀΐδιον οὐσίαν αἰτίαν καὶ ἀρχὴν
6 τοῦ ἕκαστον εἶναι τοιοῦτον, οἷα ἐστὶν αὐτή. Καθάπερ οὖν
τὰ κατὰ μέρος ὥσπερ ἀρχέτυπα τῶν αἰσθητῶν προηγεῖσθαι
σωμάτων, οὕτως τὴν πάσας ἐν ἑαυτῇ περιέχουσαν, καλλίστην
καὶ τελειοτάτην οὖσαν, ὑπάρχειν τοῦδε παράδειγμα τοῦ κό- d
σμου· πρὸς γὰρ ταύτην ἀφομοιωθέντα ὑπὸ τοῦ δημιουργή-
σαντος αὐτὸν ἀπειργάσθαι Θεοῦ κατὰ πρόνοιαν ἐκ τῆς πάσης
οὐσίας.

7 Ταῦτα καὶ ἀπὸ τοῦ δεδηλωμένου ἀνδρός. Φθάνει γε
μὴν καὶ ταῦτα Μωσῆς ὁ πάνσοφος, πρὸ τοῦ φαινομένου
ἡλίου καὶ ἄστρων καὶ πρὸ τοῦ ὁρωμένου οὐρανοῦ, ὃ δὴ
[321] στερέωμα καλεῖ, πρό τε τῆς καθ' ἡμᾶς ξηρᾶς γῆς, καὶ
πρὸ τῆς παρ' ἡμῖν ἡμέρας καὶ νυκτὸς, φῶς ἕτερον παρὰ
τὸ τοῦ ἡλίου ἡμέραν τε καὶ νύκτα καὶ τὰ λοιπὰ πρὸς
τοῦ πανηγεμόνος καὶ αἰτίου τῶν ὅλων Θεοῦ πεποιῆσθαι
8 διδάσκων. Ἀλλὰ καὶ οἱ μετὰ Μωσέα παῖδες Ἑβραίων p. 5

c 9. τοῦ ἕκαστον—αὐτὴ om. B. 10. τὰς—ἀρχέτυπον] τὰ—ἀρχέτυπα C.F.G. 12. πάσας] πᾶσαν C.D.F.G.I. d 3. ἀπειργάσθαι] ἀπειργάσασθαι D. 5. ταῦτα καὶ—διδάσκων om. B. 9. γῆς] τῆς C.F. φῶς pro φῶ C. 11. τοῦ ἡλίου] τοῦ om. C.F.G. τὸ om. I. 12. πρὸς] πρὸ I.
p. 546. ἑβραίων om. B.

5 cujusque natura statuendum. Ideam porro sempiternam quandam essentiam esse vult, quæ rebus singulis caussa principiumque sit, ut qualis ipsa
6 est, tales esse possint. Ut igitur peculiares ideæ, sensu percepta corpora, sic tanquam archetypum aliquod antegrediuntur: ita pulcherrimam illam atque perfectissimam, quæ cæteras omnes sinu suo complectitur, mundi hujus exemplar esse defendit: quod ejus ad imitationem, auctoris sui molitorisque Dei providentia conditus, atque omni ex naturarum genere conflatus extiterit.

7 Hactenus ex Didymo. At enimvero totum etiam hoc philosophiæ genus Moses ille sapientissimus occupavit, dum ante solem istum quem cernimus ante astra cætera et cœlum aspectabile, quod firmamentum vocat, ante nostram hanc sicciorem terram, ante diem nostrum, nostramque noctem, aliam quandam lucem, ab solis distinctam lumine, atque abs die, nocte, cæterisque omnibus diversam, a summo totius universi moderatore ac molitore Deo factam esse docet.
8 Quinetiam sequuti Mosem Hebræi, solem quandam esse statuunt,

ἥλιόν τινα εἶναι ἀσώματον οὐ πᾶσιν ὁρατὸν, οὐδὲ θνη-
τοῖς ὀφθαλμοῖς ὑπαγόμενον ὁρίζονται, ὡς ὁ προφήτης
ἐκ προσώπου Θεοῦ λέγων, *Τοῖς δὲ φοβουμένοις με ἀνα-*
9 *τελεῖ ἥλιος δικαιοσύνης.* Καὶ αὐτὴν δὲ δικαιοσύνην, οὐχὶ
τὴν ποιὰν ἐν ἀνθρώποις, ἀλλὰ τὴν ταύτης ἰδέαν οἶδεν
ἄλλος Ἑβραίων προφήτης, ὁ φήσας περὶ Θεοῦ, *Τίς ἐξή-*
γειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην; Ἐκάλεσεν αὐτὴν κατὰ
πρόσωπον αὐτοῦ, καὶ πορεύσεται δ' ὡσεὶ ἐνώπιον ἐθνῶν. b
10 Καὶ Λόγον δὲ θεῖον, ἀσώματον, καὶ οὐσιώδη, ἀρτίως ἡμῖν
ὁ κοινὸς ἡμῶν λόγος ἐν τοῖς πρόσθεν ἀπὸ τῆς Ἑβραίων
παρίστη γραφῆς. Οὗ περὶ Λόγου καὶ τάδε παρὰ τοῖς
αὐτοῖς εἴρηται· *Ὃς ἐγεννήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιο-*
11 *σύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις.* Λέγεται καὶ
Ζωὴ, λέγεται καὶ Σοφία, λέγεται καὶ Ἀλήθεια. Καὶ
πάντα τὰ κατ' οὐσίαν ὄντα τε καὶ ὑφεστῶτα οἱ Ἑβραίων
λόγοι διδάσκουσιν, (εἰ δὴ Ἑβραῖοι καὶ οἱ τοῦ Σωτῆρος
ἡμῶν ἀπόστολοί τε καὶ μαθηταὶ,) ναὶ μὴν καὶ μυρίας c

a 9. *τοῦ θεοῦ*] *τοῦ* om. B.C.F.G. b 2. *θεῖον*] *θεὸν* B. 3. *ἡμῶν ὁ λόγος* F. 4. *παρίστησι*] *παρίστη* F.G.I. 5. *παρ' αὐτοῖς*] *παρὰ τοῖς* B.I. *παρὰ τοῖς αὐτοῖς* C.D.F.G. 9. *πάντα τὰ*] *τὰ* om. B.C.F.G. 11. *οἱ δὴ*] *εἰ δὴ* B.I. *εἰ δὲ* C.F. c. *τε καὶ*] *τε* om. B.

qui corpore careat, nec ab omnibus spectari possit, imo nec sub mor-
tales oculos omnino cadat : ut cum propheta Dei personam sustinens,
9 *Timentibus me*, inquit, *orietur sol justitiæ.* Et vero ipsam quoque Malach.
justitiam, non certam hanc atque singularem, cui locus inter homines 4, 2.
est, sed ejus ideam agnoscebat alius ille Hebræorum propheta, qui
de Deo loquens, *Quis*, inquit, *suscitavit ab oriente justitiam? vocavit* Isa. 41,
10 *eam ante faciem suam, et procedet quasi in conspectu gentium.* Et 2.
divinum quoque Verbum, corpore omni carere, ac nobiscum essentiæ
ratione convenire, nostrum hoc commune verbum Hebræorum ex
literis jam ante patefecit. Quo de Verbo hæc insuper apud illos
habentur, *Qui natus est nobis sapientia a Deo, justitia, et sanctificatio,* 1 Cor.
11 *et redemptio.* Quippe, Vita etiam, et Sapientia, et Veritas appellatur. 1, 30.
Præterea, quæcunque proprio substantiæ more sunt, atque subsistunt,
ea quidem omnia Hebræorum monumenta docent, (nam in Hebræis
ipsi quoque Servatoris nostri apostoli atque discipuli numerantur,)

ἄλλας ἀσωμάτους δυνάμεις, οὐρανοῦ τε ἐπέκεινα καὶ
πάσης τῆς ὑλικῆς καὶ ῥοώδους οὐσίας· ὧν τὰς εἰκόνας
ἐν τοῖς αἰσθητοῖς φασὶ κατατυπῶσαι· ἐφ᾽ ὧν ἤδη καὶ
12 τοὔνομα τῆς εἰκόνος παρειλήφασι. Τὸν γοῦν ἄνθρωπον
εἰκόνα διαρρήδην νοητοῦ παραδείγματος εἶναι, καὶ πάντα
τὸν ἀνθρώπων βίον ἐν εἰκόνι διαπορεύεσθαι εἰρήκασι.
Λέγει δ᾽ οὖν ὁ Μωσῆς, Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον,
κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. Καὶ πάλιν ἄλλος Ἑ- d
βραῖος τὰ πάτρια φιλοσοφῶν, Μέντοιγε, φησὶν, ἐν εἰκόνι
διαπορεύεται ἄνθρωπος. Ἤδη δὲ καὶ οἱ τῶν ἱερῶν νόμων
ἐξηγηταὶ ἐπάκουσον ὅπως τὴν ἐν τοῖς Μωσέως γράμ-
μασι διάνοιαν σαφηνίζουσι. Λέγει δ᾽ οὖν ὁ Ἑβραῖος
Φίλων, τὰ πάτρια διερμηνεύων αὐτοῖς ῥήμασιν·

24 Εἰ δέ τις ἐθελήσειε γυμνότερον χρήσασθαι τοῖς ὀνόμασιν,
ΦΙΛΩΝΟΣ οὐδὲν ἂν ἕτερον εἴποι τὸν νοητὸν κόσμον ἢ Θεοῦ λόγον ἤδη

c 2. ἄλλας] ἄλλως B. 3. ἐπέκεινα] καὶ ἐπέκ. C.F.G. 5. φασὶ] φησὶ D. Tum ἴσ. κατατυποῦσθαι Vigeri margo. κατατετυπῶσαι F. 8. τὸν τῶν] τῶν om. B.C.F.G. d 3. ἤδη δὲ] ἄκουσον δὲ καὶ ἀπὸ τῶν ἐξηγητοῦ τοῦ θείου νόμου τοῦ Φίλωνος ὅπως τὴν ἐν τούτοις διάνοιαν σαφηνίζει B. 5. τοῖς] τῇ F. 7. ἑρμηνεύων] διερμηνεύων C.F.G.I. 10. Phil. γυμνοτέροις.

simulque vim quandam naturarum aliarum corporis expertium infini-
tam, cœlumque ipsum, et quicquid in materiam immersæ fluxæque
substantiæ est longissime prætergressam. Quarum quidem imagines
in iis quæ sensu percipiuntur expressas esse volunt, quibus propterea
12 nomen imaginis tribuere vulgo solent. Hominem certe quidem spi-
ritalis exemplaris imaginem conceptis verbis appellant, et vitam
hominum universam *in imagine pertransire* pronuntiant. Quippe ita
Gen. 1, 27. Moses, *Et fecit*, inquit, *Deus hominem, ad imaginem Dei fecit illum*.
Ps. 38, 7. Hebræus item alius patrio et ipse ritu philosophans, *Veruntamen*,
inquit, *in imagine pertransit homo*. Sed audi tu vero, quemadmodum
Phil. p. 5, 27. ed. Mang. T. I. sacrarum legum interpretes Mosaicæ doctrinæ sententiam aperiant.
Philo sane, Hebræus homo gentis suæ literas explicans, totidem
verbis ita disserit.

24 Si quis, inquit ille, planioribus verbis uti volet, is aliud nihil mundum
illum mente perceptum, quam Dei mundum hunc re ipsa molientis verbum

κοσμοποιοῦντος. Οὐδὲ γὰρ ἡ νοητὴ πόλις ἕτερόν τί ἐστιν ἢ p. 547 ὁ τοῦ ἀρχιτέκτονος λογισμὸς, ἤδη τὴν νοητὴν πόλιν κτίζειν ΦΙΛΩΝΟΣ
2 διανοουμένου. Τὸ δὲ δόγμα τοῦτο Μωσέως ἐστὶν, οὐκ ἐμόν. Τὴν γοῦν ἀνθρώπου γένεσιν ἀναγράφων ἐν τοῖς ἔπειτα διαρ-
3 ρήδην ὁμολογεῖ, ὡς ἄρα κατ' εἰκόνα Θεοῦ διετυπώθη. Εἰ δὲ τὸ μέρος εἰκὼν εἰκόνος, δηλονότι καὶ τὸ ὅλον εἶδος σύμπας οὗτος ὁ αἰσθητὸς κόσμος, εἰ μείζων τῆς ἀνθρωπίνης ἐστὶ, μίμημα θείας εἰκόνος δηλονότι· καὶ ἡ ἀρχέτυπος σφραγὶς, ὅν φαμεν νοητὸν εἶναι κόσμον, αὐτὸς ἂν εἴη τὸ παράδειγμα, ἀρχέτυπος ἰδέα τῶν ἰδεῶν, ὁ Θεοῦ λόγος. b

4 Φησὶ δ' ὡς Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τὴν ἀρχὴν παραλαμβάνων, οὐχ ὡς οἴονταί τινες τὴν κατὰ χρόνον· (χρόνος γὰρ οὐκ ἦν πρὸ κόσμου·) ἀλλ' ἢ σὺν αὐτῷ
5 γέγονεν, ἢ μετ' αὐτόν. Ἐπεὶ γὰρ διάστημα τῆς τοῦ κόσμου κινήσεώς ἐστιν ὁ χρόνος, πρότερον δὲ τοῦ κινουμένου κίνησις οὐκ ἂν γένοιτο, ἀλλ' ἢ ἀναγκαῖον αὐτὴν ὕστερον ἢ ἅμα συνίστασθαι· ἀναγκαῖον ἄρα καὶ τὸν χρόνον ἢ ἰσήλικα κόσμου γεγονέναι, ἢ νεώτερον ἐκείνου, πρεσβύτερον δὲ ἀποφαίνεσθαι c

p. 547. οὐδὲ γὰρ—ἐστιν om. B. 3. διανοουμένου] διανοουμένας I. 5. ἀναγράφων] ἀνάγραφον D. 8. καὶ τὸ] ἂν τὸ B. qui mox ὅλος (οὗτος) κόσμος. 9. εἰ μείζων] ὁ μεῖζον Phil. 11. καὶ ἡ] ἡ om. B. καὶ ἡ om. D. b. θεοῦ] θεὸς B. 9. αὐτὴν ὕστερον] αὐτὴν om. B.D. 11. ἰσήλικα] ἰσόλικα B. c. πρεσβύτερον δὲ] πρ. δὲ ἐκείνου B.

esse dicat. Nec enim aliud est urbs mente percepta, quam ipsamet architecti ratio, urbem illam quam animo informavit suo, re ipsa condere sta-
2 tuentis. Quæ quidem doctrina Mosis est, non mea. Enimvero, ubi hominis procreationem ipse describit, progressus aliquantum, *ad imaginem* Gen. 1,
3 *Dei formatum illum fuisse, diserte confitetur.* Quod si pars mundi aliqua, 17. imaginis imago est, idem profecto de universa hac specie, toto, inquam, mundo hoc aspectabili statuendum erit, qui quidem imaginis divinæ imitatio est, humana longe major atque perfectior. Ex quo etiam quivis intelligat, archetypum illud primariumque sigillum, quem nos mundum mente perceptum vocamus, exemplar archetypum ideamque idearum, hoc est, ipsummet Dei Verbum esse.

4 Explicat enim ipse, quemadmodum *In principio fecerit Deus cælum et terram;* ubi principii nomine, non illud sane, ut nonnulli putant, quod ex tempore ducitur intelligit; nec enim ante mundum tempus erat, sed aut
5 cum eo simul, aut post eum esse cœpit. Cum enim tempus mundi motus intervallum quoddam sit, nec motus eo quod movetur prior esse queat, sed necessario vel ipso posterior, vel cum eo simul existat, tempus etiam utique vel æquale mundi, vel etiam eo recentius esse necesse est; nam antiquius

ΦΙΛΩΝΟΣ

6 τολμᾶν, ἀφιλόσοφον. Εἰ δ' ἀρχὴ μὴ παραλαμβάνεται τανῦν ἡ κατὰ χρόνον, εἰκὸς ἂν εἴη μηνύεσθαι τὴν κατ' ἀριθμόν, ὡς τὸ ἐν ἀρχῇ ἐποίησεν ἴσον εἶναι τῷ πρῶτον ἐποίησε τὸν οὐρανόν.

7 Εἶθ' ἑξῆς λέγει·

[322] Πρῶτον οὖν ὁ ποιῶν ἐποίει οὐρανὸν ἀσώματον, καὶ γῆν ἀόρατον, καὶ ἀέρος ἰδέαν καὶ κενοῦ· ὧν τὸ μὲν ἐπεφήμισε σκότος, ἐπειδὴ μέλας ὁ ἀὴρ τῇ φύσει, τὴν δὲ ἄβυσσον· πο-
8 λύβυθον γὰρ τό γε κενὸν καὶ ἀχανές. Εἶθ' ὕδατος ἀσώματον οὐσίαν καὶ πνεύματος· καὶ ἐπὶ πᾶσιν ἑβδόμου φωτός, ὃ πάλιν d ἀσώματον ἦν, καὶ νοητὸν ἡλίου παράδειγμα, καὶ πάντα ὅσα φωσφόρα ἄστρα κατὰ τὸν οὐρανὸν ἔμελλε συνίστασθαι.
9 Προνομίας δὲ τό τε πνεῦμα καὶ τὸ φῶς ἠξιοῦτο· τὸ μὲν γὰρ ὠνόμασε Θεοῦ, διότι ζωτικώτατον τὸ πνεῦμα, ζωῆς δὲ Θεὸς αἴτιος· τὸ δὲ φῶς, ὅτι ὑπερβάλλον καλόν· τοσούτῳ γὰρ τὸ νοητὸν τοῦ ὁρατοῦ λαμπρότερόν τε καὶ αὐγοειδέστερον, ὅσῳ περ ἥλιος, οἶμαι, σκότους, καὶ ἡμέρα νυκτός, καὶ τὰ κριτήρια

c 6. ἐποίησε] ᾧ ἐπ. C.F.G. 7. ἐποίει] ἐποίησεν B.D. 8. ἀέριον D. 10. μέλας] μέγας D. 11. καινὸν] κενὸν B.C. τε κενὸν D. F.G. τε item E. d. ὃ] ἣ B. 3. Ph. πάντων. 5. Ph. ἠξίου. 8. τοσούτῳ] τοσοῦτον B. τοσοῦτο C.F.G. τοσοῦτον τόσον τὸν τοῦ D. γὰρ om. E.F.G.

6 facere velle, cum omni philosophia pugnare est. Quod si hoc loco principium illud non intelligit, quod ex tempore ducitur, par omnino fuerit quod in numero versatur accipere; ut illud, *In principio fecit*, idem significet, ac primum fecit cœlum.

p. 6, 24. 7 Inde aliquot interjectis,

Primum ergo conditor ille Deus corporis expers cœlum creavit, nec non *terram invisibilem*, aërisque simul ideam et vacui. E quibus alterum illud tenebras appellavit, quod natura sua nigrorem aër adjunctum habeat; alterum hoc abyssum, hoc est sine fundo, quod altissimum quiddam va-
8 cuum sit, atque vastissimum. Tum aquæ similiter ac spiritus expertem corporis substantiam: lucis denique septimæ, quæ corpore carens ipsa quoque, mente perceptum solis, ac cæterorum omnium clarissimorum
9 siderum, quæ producenda deinde forent, exemplar erat. Jam spiritus atque lucis eximium aliquid ac præcipuum esse voluit: nam illum, Dei spiritum nominavit, quod spiritus vitam, cujus auctor Deus est, maxime foveat; hanc vero, lucem, quod excellenti pulchritudine conspicua sit. Tanto enim utique lux illa quæ mente percipitur, aspectabili hac illustrior ac splendidior est, quanto vel tenebræ solis, vel nox diei, vel sentiendi vis

10 νοῦς ὁ τῆς ὅλης ψυχῆς ἡγεμών, ὀφθαλμῶν σώματος. Τὸ δὲ p. 548 ἀόρατον καὶ νοητὸν φῶς ἐκεῖνο θείου λόγου γέγονεν εἰκών, ΦΙΛΩΝΟΣ τοῦ διερμηνεύσαντος τὴν γένεσιν αὐτοῦ· καὶ ἔστιν ὑπερουράνιος ἀστὴρ πηγὴ τῶν αἰσθητῶν ἀστέρων, ἣν οὐκ ἂν ἀπὸ σκοποῦ καλέσειεν ἄν τις παναύγειαν, ἀφ' ἧς ἥλιος καὶ σελήνη καὶ οἱ ἄλλοι πλανῆται καὶ ἀπλανεῖς ἀρύονται, καθ' ὅσον ἑκάστῳ δύναμις, τὰ πρέποντα φέγγη· τῆς ἀμιγοῦς καὶ καθαρᾶς αὐγῆς ἐκείνης ἀμαυρουμένης, οὗ ἂν ἄρξηται τρέπεσθαι κατὰ τὴν ἐκ νοητοῦ πρὸς αἰσθητὸν μεταβολήν. Εἰλικρινὲς γὰρ οὐδὲν τῶν b ἐν αἰσθήσει.

11 Καὶ μετὰ βραχέα ἐπιλέγει·

Ἐπεὶ δὲ φῶς μὲν ἐγένετο, σκότος δ' ὑπεξέστη καὶ ἀνεχώρησεν, ὅροι δ' ἐν τοῖς μεταξὺ διαστήμασιν ἐπάγησαν, ἑσπέρα τε καὶ πρωΐα, κατ' ἀναγκαῖον τοῦ χρόνου μέτρον, ἀπετελεῖτο εὐθύς, ὃ καὶ ἡμέραν καλῶς ποιῶν ἐκάλεσεν· καὶ ἡμέραν, οὐχὶ πρώτην, ἀλλὰ μίαν, ἣ λέλεκται διὰ τὴν τοῦ νοητοῦ κόσμου 12 μόνωσιν, μοναδικὴν ἔχοντος φύσιν. Ὁ μὲν οὖν ἀσώματος

p. 548. σώματος] τοῦ σώματος F.G. 3. διερμηνεύσαντος] δὴ ἑρμηνεύσαντος D. 6. ἀπὸ] ἄπο D. 7. οἱ ἄλλοι] οἱ om. B. Supra ὁ ἥλιος C.F.G. πλανῆται] πλανῆτες D. 8. ἀρύονται—τὴν φύσιν om. B. ἀρότονται D. ἀρύτονται I. 9. φθάνῃ D. 10. οὗ ἂν] ὅταν Phil. 11. τοῦ νοητοῦ] τοῦ om. C.F.G.I. b. αἴσθησιν D. 4. ὅροι] ὄρη F.G. 5. τε καὶ] τε om. D.E.F.G. 6. ἀπετελεῖτο] ἀποτελεῖται D. 10. τὴν φύσιν] τὴν om. C.F.G.I.

ac facultas, mentis animi totius principis, vel denique corpus oculorum 10 splendore superatur. Porro lux illa, mente sola, non visu percepta, verbi divini, ortus sui interpretis imaginem expressit, astrum cœlo superius, fonsque siderum aspectabilium, quam luminis universitatem rite ac significanter appelles, unde sol, luna, stellæque cæteræ tam fixæ, quam errantes, pro suis quæque viribus convenientem splendorem hauriunt, dum sensim hebescit purus ille simplexque fulgor, ubi cœperit hæc spiritalis in aspectabile conversione mutari. Sincerum quippe nihil est quod in sensus cadit.

11 Itemque post pauca,

Ubi autem, inquit, lux extitisset, tenebræque summotæ loco cessissent, p. 7, 39. terminis etiam medio intervallo fixis atque constitutis, vespera nimirum atque diluculo, prout necessaria temporis mensura postulabat, id perfectum continuo est, quod ipse diem jure nuncupavit; et diem, non primum, sed unicum, idque propter spiritalis illius, qui adjunctam a natura unitatem 12 habet, mundi solitudinem. Jamque suam incorporeus ille mundus per-

ΦΙΛΩΝΟΣ κόσμος ἤδη πέρας εἶχεν, ἱδρυθεὶς ἐν τῷ θείῳ λόγῳ· ὁ δ᾽ αἰσθητὸς πρὸς παράδειγμα τούτου ἐτελειογονεῖτο· καὶ πρῶτον c αὐτοῦ τῶν μερῶν, ὃ καὶ πάντων ἄριστον, ἐποίει τὸν οὐρανὸν ὁ δημιουργὸς, ὃν ἐτύμως στερέωμα προσηγόρευσεν, ἅτε σωματικὸν ὄντα. Τὸ γὰρ σῶμα φύσει στερεὸν, ὅ τι περ καὶ τριχῇ διαστατόν. Στερεοῦ δὲ καὶ σώματος ἔννοια τίς ἑτέρα, πλὴν τὸ πάντῃ διεστηκός; Εἰκότως οὖν ἀντιθεὶς τῷ νοητῷ καὶ ἀσωμάτῳ τὸν αἰσθητὸν καὶ σωματοειδῆ, τοῦτον στερεὸν ἐκάλεσε.

Ταῦτα ὁ Φίλων. Συνᾴδει δὲ αὐτῷ καὶ ὁ Κλήμης, ἐν τῷ ἕκτῳ Στρωματεῖ λέγων ὧδε·

25 Κόσμον τε αὖθις τὸν μὲν νοητὸν οἶδεν ἡ βάρβαρος φιλο- d
ΚΛΗΜΕΝΤΟΣ σοφία, τὸν δὲ αἰσθητόν· τὸν μὲν ἀρχέτυπον, τὸν δὲ εἰκόνα τοῦ καλοῦ παραδείγματος. Καὶ τὸν μὲν ἀνατίθησι μονάδι, ὡς ἂν νοητόν· τὸν δὲ αἰσθητὸν ἑξάδι· γάμος γὰρ παρὰ τοῖς
2 Πυθαγορείοις, ὡς ἂν γόνιμος ἀριθμὸς, ἡ ἑξὰς καλεῖται. Καὶ ἐν μὲν τῇ μονάδι συνίστησιν οὐρανὸν ἀόρατον, καὶ γῆν ἁγίαν, p. 549
καὶ φῶς νοητόν. Ἐν ἀρχῇ γάρ φησιν, ἐποίησεν ὁ Θεὸς τὸν

b 1 1. ἱδρυθεὶς] ἱδρυνθεὶς D. c. ἐτελειογονεῖτο] ἐτεκνογονεῖτο B. 2. ὃ καὶ] ἢ καὶ B. 6. δὲ καὶ] καὶ om. B. 7. τῷ νοητῷ] τῷ om. F. 8. αἰσθητὸν om. B. d 7. μονάδα I.
p. 549. 2. φησιν om. B.

fectionem sortitus erat, divino in verbo situs, cum ejus ad exemplar aspectabilis iste absolveretur. Cujus partem omnium uti optimam, ita et principem cœlum, artifex elaboravit, quod vere idem ac proprie firmamentum, utpote corpore præditum appellavit. Corpus quippe natura sua firmum est, idemque trifariam dividi potest. Nam firmi quidem et corporis, quænam alia notio est, quam ejus rei quam omni ex parte dividere possis? Jure itaque spiritali et corporis experti, aspectabile hoc et corporeum opponens, firmum appellavit.

Atque hactenus Philo, cui affinia plane ac gemina Clemens Stromate sexto hunc in modum persequitur.

25 Præterea mundum, inquit, mente alterum, alterum sensu perceptum
Strom. V. c. 14. p. 702, 16. barbara agnovit philosophia, et illum quidem archetypum, hunc vero præclari exemplaris imaginem. Illum item, quod sola mente capiatur, unitati; hunc, qui in sensum cadit, senario attribuit. Senarium enim Pythagorei,
Vid. infra p. 671 a. 2 quod fœcundus is numerus sit, conjugium vocarunt. Et quidem in unitate, cœlum illud quod videri non potest terramque sanctam, et lucem mente perceptam constituit, *In principio enim*, inquit, *fecit Deus cœlum et terram;*

ΚΛΗΜΕΝ ΝΟΣ

οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος. Εἶτ' ἐπιφέρει, Καὶ εἶπεν ὁ Θεὸς, γενέσθω φῶς, καὶ ἐγένετο φῶς. Ἐν δὲ τῇ κοσμογονίᾳ τῇ αἰσθητῇ στερεὸν οὐρανὸν δημιουργεῖ· τὸ δὲ στερεὸν 3 αἰσθητόν· γῆν τε ὁρατὴν, καὶ φῶς βλεπόμενον. Ἆρ' οὐ δοκεῖ σοι ἐντεῦθεν ὁ Πλάτων ζῴων ἰδέας ἐν τῷ νοητῷ ἀπολείπειν κόσμῳ, καὶ τὰ εἴδη τὰ αἰσθητὰ, κατὰ τὰ γένη δη- 4 μιουργεῖν τὰ νοητά; Εἰκότως ἄρα ἐκ γῆς μὲν τὸ σῶμα διαπλάττεσθαι λέγει Μωσῆς, ὃ γήϊνόν φησιν ὁ Πλάτων σκῆνος, b ψυχὴν δὲ τὴν λογικὴν ἄνωθεν ἐμπνευσθῆναι ὑπὸ Θεοῦ εἰς 5 πρόσωπον. Ἐνταῦθα γὰρ τὸ ἡγεμονικὸν ἱδρῦσθαι λέγουσι, τὴν διὰ τῶν αἰσθητηρίων ἐπεισόδιον τῆς ψυχῆς ἐπὶ τοῦ πρω- [323] τοπλάστου εἴσοδον ἑρμηνεύοντες, διὸ καὶ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τὸν ἄνθρωπον γεγονέναι. Εἰκὼν μὲν γὰρ Θεοῦ λόγος ὁ θεῖος καὶ βασιλικὸς, ἄνθρωπος ἀπαθής· εἰκὼν δὲ εἰκόνος, ἀνθρώπινος νοῦς.

Ἀκούσωμεν δὲ καὶ τῶν ῥηθησομένων.

26 Ἔτι πρὸς τούτοις ὁ Πλάτων τοῖς Ἑβραίων ἐπακο- c λουθήσας λόγοις, οὐ μόνον ἀσωμάτους καὶ ἀγαθὰς δυνά-

a 4. γενέσθω] γενηθήτω B. 5. κοσμογενείᾳ] κοσμογονίᾳ C.F.G. Clem. κοσμογονείᾳ D. 9. ἀπολείπειν] ἀπολιπεῖν C.F.G. b 5. ἐπεισόδιον] ἴσ. ἐπείσοδον Vigeri margo. ἐπισοδ. B. 10. ἀκούσωμεν—ῥηθησομένων om. C.I. ἀκούσομεν D.

Terra autem erat invisibilis. Tum addit, *Et dixit Deus, fiat lux, et facta est lux.* At in ea mundi, quæ sub sensum cadit, procreatione, solidum cœlum molitur; quod autem solidum est, idem quoque sensus movet: 3 terram item ac lucem aspectabilem. Num tibi hoc Plato sequutus videtur, dum animantium ideis, eo in mundo quem sola mens capit, relictis, formas illas quæ in sensum cadunt, pro spiritalium generum varietate molitur. 4 Enimvero jure sane Moses corpus hoc, quod terrestre tabernaculum a Platone dicitur, e terra fictum; at ratione præditum animum, desuper in 5 faciem a Deo inspiratum fuisse commemorat. Tum enim principem illam animi facultatem constitutam esse dicunt, nec aliud quicquam animi primum in parentem subeuntis ingressum, quam ejusdem per sensus accessionem esse volunt. Atque hanc esse caussam, quamobrem ad imaginem, et similitudinem factus homo dicatur. Imago quippe Dei est, divinum illud regiumque verbum, homo patiendi expers: at imaginis imago, humana mens est.

Verum sequentia porro audiamus.

26 Quinetiam Hebræorum doctrinam sequutus Plato, non expertes

μεις ἀλλὰ καὶ ἐναντίας φησὶν εἶναι, ὧδέ πη γράφων ἐν τῷ δεκάτῳ τῶν Νόμων·

ΠΛΑΤΩΝΟΣ

2 Ψυχὴν διοικοῦσαν καὶ ἐνοικοῦσαν τοῖς πάντη κινουμένοις, d πῶς οὐ καὶ τὸν οὐρανὸν ἀνάγκη διοικεῖν φάναι;

Τί μήν;

Μίαν, ἢ πλείους; Πλείους, ἐγὼ ὑπὲρ σφῶν ἀποκρινοῦμαι. Δυοῖν μέν που ἔλαττον μηδὲν τιθῶμεν, τῆς τε εὐεργέτιδος, καὶ τῆς τἀναντία δυναμένης ἐξεργάζεσθαι.

3 Εἶθ' ὑποβάς φησιν,

Ἐπειδὴ γὰρ συνεχωρήσαμεν ἡμῖν αὐτοῖς εἶναι μὲν τὸν οὐρανὸν πολλῶν μεστὸν ἀγαθῶν, εἶναι δὲ καὶ τῶν ἐναντίων, πλειόνων δὲ τῶν μή, μάχη δή φαμεν, ἀθάνατός ἐσθ' ἡ τοιαύτη, καὶ φυλακῆς θαυμαστῆς δεομένη. Ξύμμαχοι δὲ ἡμῖν θεοί τε καὶ δαίμονες, ἡμεῖς δ' αὖ κτήματα θεῶν καὶ δαιμόνων.

4 Πόθεν καὶ ταῦτα τῷ Πλάτωνι ἐγὼ μὲν οὐκ ἂν ἔχοιμι

c 7. γράφομεν D. d. τοῖς πάντη] ἐν ἅπασι τοῖς πάντη Plat. πῶς οὐ] πῶς om. B.C.F.G. 2. ἀνάγκη om. B.D. διοικ. ἀν. C.F.G. 3. μὴν] μὲν B. Mox πλείους sec. om. B.C.F.G.I. 4. που om. F.G. 6. δυναμένης] δυνάμεως I. 7. ἐπειδὴ γὰρ] γὰρ om. C. 10. δὴ om. B.C.F.G.I. 12. ξύμμαχοι δὲ] ξύμμαχοί τε C.D.F.G.I.

modo corporis benignasque naturas, sed alias etiam hostiles infestasque ponit, Legum decimo hunc in modum scribens.

Plato Legg. p. 896.

2 Numquid animum illum, qui et omnia moderatur, et in omnibus quæ passim moventur, habitat, cœlum etiam ipsum regere necessario fatendum erit?

Erit sane?

Unum autem, an plures esse statuemus. Plures equidem vestro ipse loco respondeam. Nos vero ne duobus saltem pauciores esse dicamus, beneficum ac benignum alterum, alterum contraria vi et facultate præditum.

p. 906 a.

3 Inde longius aliquanto progressus,

Cum enim jam inter nos convenerit, cœlum permultis quidem partim bonis plenum esse, partim contrariis, quibuscum tamen genus aliud nullum misceatur: immortalis profecto pugna sit ista necesse est, et cautionem postulat omnino singularem. At vero uti nobis dii simul ac dæmones opitulantur, ita nos quædam vicissim deorum sumus dæmonumque possessio.

4 Unde ista porro in mentem Platoni venerint, equidem statuere non

φράζειν· ὃ δ' ἔχω φάναι ἀληθὲς, μυρίοις πρόσθεν ἢ Πλά- p. 550
τωνα γενέσθαι χρόνοις καὶ τοῦθ' Ἑβραίοις ἀνωμολογῆ-
5 σθαι τὸ δόγμα. Λέγει δ' οὖν ἡ παρ' αὐτοῖς γραφὴ, *Καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον τοῦ Θεοῦ· καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν, περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας αὐτήν*, διάβολον μὲν τὴν ἐναντίαν δύναμιν, ἀγγέλους δὲ Θεοῦ
6 τὰς ἀγαθὰς προσειποῦσα. Ταύτας δὲ τὰς ἀγαθὰς δυνάμεις, καὶ πνεύματα θεῖα, καὶ λειτουργοὺς Θεοῦ προσαγορεύει ἐν οἷς φησὶν, *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.* b
7 Ἀλλὰ καὶ τὴν διαμάχην τῶν ἐναντίων ὧδε παρίστησιν ὁ φήσας, *Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευ-*
8 *ματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.* Ἄντικρυς δ' ἔοικεν ὁ Πλάτων τὸ Μωσέως λόγιον μεταφράζειν, τὸ

ult. φράζειν] λέγειν B.D.
p. 550. 2. χρόνοις γενέσθαι] γεν. χρ. B.C.D.F.G. 3. ἀνωμολογῆσθαι] ἀνωμολογεῖσθαι C.F.G. 4. ὡς ἡ] ὡσεὶ B.D. ἡ om. F.G. Mox ἦλθον post θεοῦ B. 7. περιπατήσας F. b 5. πρὸς τὰς ἀρχὰς omisit Vigerus. 6. σκότους τοῦ αἰῶνος] κόσμου C.F.G.I. 7. ἐπουρανίοις] οὐρανίοις C.

possum; vere tamen hoc pronuntiare possum, sexcentis antequam Plato nasceretur annis, Hebræos homines id etiam doctrinæ genus
5 esse professos. Sane quidem sacris eorum literis ita scriptum habetur, *Cum die quadam venissent angeli Dei, ut assisterent coram Deo,* Job. 1.
affuit etiam inter eos diabolus cum circuivisset terram, et perambu- 6, 7.
lasset eam. Quo loco, diaboli nomine infesta illa natura, Dei vero
6 angelorum, beneficæ aliæ designantur. Quas quidem meliores naturas, spiritus etiam divinos, Deique administros appellant, dum aiunt, *Qui facis angelos tuos spiritus, et ministros tuos flammam ignis.* Ps. 103,
7 Quinetiam hostilium naturarum pugnam expressit, qui dixit, *Non est* 4.
nobis colluctatio adversus sanguinem et carnem, sed adversus principes Eph. 6,
et potestates, adversus mundi rectores tenebrarum hujus sæculi, contra 12.
8 *spiritualia nequitiæ in cœlestibus.* Enimvero illud etiam Mosis oraculum plane interpretatus videtur Plato, quod sic habet, *Quando* Deut. 32, 8.

φῆσαν, ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς
Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, δι’
ὧν κτήματα θεῶν καὶ δαιμόνων τὸ πᾶν γένος ἀνθρώπων c
εἶναι ὡρίσατο.

27 Καὶ ἐν τοῖς περὶ ψυχῆς δὲ ἀθανασίας οὐδὲν Μω- d
σέως ὁ Πλάτων διέστηκε τῇ δόξῃ. Ὁ μέν γε
πρῶτος ἀθάνατον οὐσίαν εἶναι τὴν ἐν ἀνθρώπῳ ψυ-
χὴν ὡρίσατο, εἰκόνα φήσας ὑπάρχειν αὐτὴν Θεοῦ, μᾶλ-
λον δὲ κατ’ εἰκόνα Θεοῦ γεγενῆσθαι. Εἶπε γὰρ, Φη-
σὶν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ’ εἰκόνα καὶ ὁμοί-
ωσιν ἡμετέραν. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ’
2 εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. Καὶ ἑξῆς τὸν σύνθετον
τῷ λόγῳ διαιρῶν εἴς τε τὸ φαινόμενον σῶμα καὶ εἰς
τὸν κατὰ ψυχὴν νοούμενον ἐπιλέγει, Καὶ ἔλαβεν ὁ Θεὸς
χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασεν τὸν ἄνθρωπον, καὶ ἐνεφύ-
σησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ
3 ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Ἀλλὰ καὶ ἀρχικόν φησιν p. 551

b 9. ὅτε] ὅτι D. d. ψυχῆς] ψ. δὲ B.C.F.G.I. 6. φησὶν ὁ θ.] ὁ θ. φησὶν C.F.G.I. 8. καὶ ὁμοίωσιν ἡμετ.] ἡμετ. καὶ καθ’ ὁμο. B. ἡμ. καὶ ὁμ. F.G. seqq. usque ad ἐπιλέγει om. B. 13. ἔπλασεν ὁ θεὸς] ὁ θεὸς om. B.C.F.G. ult. ὁ ἄνθρ.] ὁ om. B.

dividebat altissimus gentes, quando separabat filios Adam, constituit terminos populorum juxta numerum angelorum Dei, cum universum hominum genus, deorum ac dæmonum possessionem esse pronuntiavit.

27 Jam vero de immortalitate animæ, gemina quoque Mosis fuit Platonisque sententia, Et ille quidem immortalem esse in homine animi substantiam, prior tum statuit, cum eam Dei imaginem, vel
Gen. 1, 26. potius divinam ad imaginem factam esse docuit. *Dixit enim Deus*, inquit, *Faciamus hominem ad imaginem et similitudinem nostram. Et*
2 *fecit Deus hominem: ad imaginem Dei fecit illum.* Deinde compositum, in corpus hoc aspectabile, et eum qui animo tenus intelligitur
Gen. 2, 7. oratione distinguens, addit: *Et accepit Deus pulverem ex terra, et formavit Deus hominem, et inspiravit in faciem ejus spiraculum vitæ,*
3 *et factus est homo in animam viventem.* Eundem præterea omnium

αὐτὸν καὶ βασιλικὸν γενέσθαι τῶν ἐπὶ γῆς πάντων. Λέγει δ' οὖν, καὶ εἶπεν ὁ Θεὸς, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς. Καὶ ἐποίησεν ὁ Θεὸς [324] τὸν ἄνθρωπον ἐν εἰκόνι αὐτοῦ, κατ' εἰκόνα Θεοῦ ἐποίησεν
4 αὐτόν. Πῶς δ' ἂν ἄλλως εἰκὼν ἐπινοοῖτο Θεοῦ καὶ ὁμοίωμα ἢ κατὰ τὰς ἐν τῷ Θεῷ δυνάμεις καὶ κατὰ τὴν τῆς ἀρετῆς ὁμοιότητα; Μωσεῖ δὴ καὶ ἐν τούτοις ὥσπερ μεμαθητευμένος ὁ Πλάτων ἐπάκουσον ἐν τῷ Ἀλκιβιάδῃ οἷά φησιν·

ΠΛΑΤΩΝΟΣ

5 Ἔχομεν οὖν εἰπεῖν ὅ τι τῆς ψυχῆς ἐστὶ θειότερον ἢ b τοῦτο περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν ἐστίν;

Οὐκ ἔχομεν.

Τῷ θεῷ ἄρα τοῦτο ἔοικεν αὐτῆς· καί τις εἰς τοῦτο βλέπων,

p. 551 1. βασιλικὸν γενέσθαι] βασιλικὸν γεγονέναι C.I. qui mox ἁπάντων. βασ. γ. post πάντων in B. β. γενέσθαι αὐτὸν D. βασιλέα γεγονέναι—ἁπάντων F.G. 2. λέγει δ' οὖν om. B. Addunt C.F.G. καὶ εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν κ. ἀ. et sic E.I. quæ om. edd. 5. πάσης] καὶ πάσης C.F.G.I. 6. κατ' εἰκόνα] ἐν εἰκόνι αὐτοῦ κατ' ἐ. θ. C.E.F.G.I. 7. ἐπινοοῖτο] ἐπινοεῖτο B. Tum τοῦ θεοῦ C. 8. ἐν τῷ—ὁμοιότητα om. B. 9. τὴν τῆς] κατὰ τὴν τῆς C.F.G.I. 10. δὲ καὶ] δὴ καὶ C.G.I. 11. τοιάδ'] ἐπάκουσον ἐν τῷ Ἀλκ. οἷά (ὁποῖα E.I.) φησι C.E.F.G.I. 12. θειότερον] θειότατον B.C.D.E.F. G.I. b. τὸ εἰδέναι] τὸ om. C.F.G.I. 2. θείῳ] θεῷ B.C.E.F.G.I. θεῷ D. (ει superscript)

quæ in terra sunt principem ac regem creatum fuisse tradit, dum ait, *Et præsint piscibus maris, et volatilibus cœli, et bestiis universæ terræ.* Gen. 1, 26.
4 *Et fecit Deus hominem: ad imaginem Dei fecit illum.* Quomodo autem aliter Dei imago ac similitudo intelligatur, quam ex divinarum facultatum imitatione, virtutisque similitudine? Quo etiam in genere Plato, perinde ut si Mosis discipulus fuisset, hæc in Alcibiade philosophatur.

Plat. Alcib. p. 133.

5 Potestne a nobis divinius aliquid in animo statui, quam id in quo intelligentia sapientiaque versatur?

Non potest.

Illa igitur animi facultas, divinæ similis utique fuerit: ac proinde qui in

ΠΛΑΤΩΝΟΣ καὶ πᾶν τὸ θεῖον γνοὺς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ἂν γνοίη μάλιστα.

Φαίνεται.

Ἆρ' οὖν, ὅθ' ὥσπερ κάτοπτρά ἐστι σαφέστερα τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου, καὶ καθαρώτερα καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὄν.

Ἔοικέ γε ὦ Σώκρατες.

Εἰς τὸν Θεὸν ἄρα βλέποντες, ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρώμεθ' ἂν, καὶ τῶν ἀνθρωπίνων, εἰς τὴν ψυχῆς ἀρετήν· καὶ c
οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γινώσκοιμεν ἡμᾶς αὐτούς.

Ναί.

6 Ταῦτα μὲν ἐν τῷ Ἀλκιβιάδῃ. Ἐν δὲ τῷ Περὶ ψυχῆς ὅπως πλατύτερον ἑρμηνεύει τὰ κατὰ τοὺς τόπους [ὁ αὐτὸς λέγων οὕτως·]

Θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων· τὸ μὲν ὁρατὸν, τὸ δὲ ἀειδές; Θῶμεν, ἔφη. Καὶ τὸ μὲν ἀειδὲς ἀεὶ κατὰ

b 5. ἑαυτὸν] αὐτὸν C.F.G. 6. γὰρ οὖν etc.] ἆρ' οὖν B.C.F.G. Hæc non agnoscunt Platonis exempl. v. Stobæus 21, 24. p. 183, 40. Gesn. σαφέστατα] σαφέστερα C.E.F.G.I. Vigeri margo. c 3. γινώσκοιμεν] γινώσκομεν B.C.D.F.G.I. ναὶ—Ἀλκιβιάδῃ om. B. 5. πλατύτερον] ὅπως πλ. C.F.G.I. ὅπως suprasc. D. Mox ὁ αὐτὸς λεγ. οὐτ. om. C.E.I. ἑρμηνεύει item om. E.I. 6. τοὺς τόπους] ἴσ. τοῦτον τὸν τόπον Vigeri margo. θῶμεν οὖν—συγγενέστερον om. B.

eam intuebitur, ac simul quicquid divini est, deum, inquam, et sapientiam intelliget; is demum se ipsum una perfectissimeque cognoscet.

Enimvero liquet, opinor, illud; quemadmodum specula quædam sunt, quæ oculi nostri pupillam perspicuitate, nitore, ac splendore superent: ita deum illo ipso, quod nostro in animo perfectissimum est, puriorem et illustriorem esse.

Et merito id quidem o Socrates.

Cum igitur in Deum ipsum intuebimur, tum pulcherrimo sane rerum etiam humanarum speculo, ad vim animi perspiciendam utemur, atque ita nos ipsos pervidere maxime ac nosse poterimus.

Ita prorsus.

6 Hæc in Alcibiade. At in dialogo De Anima locum hunc uberius fusiusque tractans, sic loquitur.

Plat. Phæd. p. 79. Placetne, inquit Socrates, duo rerum genera statuamus, aspectabile unum, alterum non aspectabile? Placet, inquit. Et hoc quidem non

τὰ αὐτὰ ἔχον, τὸ δὲ ὁρατὸν μηδέποτε κατὰ ταυτά; Καὶ d ΠΛΑΤΩΝΟΣ
7 ταῦτα, ἔφη, θῶμεν. Φέρε δὴ, ἦδ' ὅς, ἄλλο δή τι ἡμῶν αὐτῶν
τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; Οὐδὲν ἄλλο, ἔφη. Ποτέρῳ
οὖν ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι καὶ συγγενέστερον
τὸ σῶμα; Παντὶ, ἔφη, τοῦτό γε δῆλον ὅτι τῷ ὁρατῷ. Τί
δὲ ἡ ψυχή; ὁρατὸν, ἢ ἀειδές; Οὐχ ὑπὸ ἀνθρώπων γε, ὦ
Σώκρατες, ἔφη. Ἀλλὰ μὴν ἡμεῖς γε τὰ ὁρατὰ καὶ τὰ μὴ
τῇ τῶν ἀνθρώπων φύσει ἐλέγομεν, ἢ ἄλλῃ τινὶ οἴει; Τῇ τῶν
8 ἀνθρώπων. Τί οὖν περὶ ψυχῆς λέγομεν; ὁρατὸν ἢ ἀόρατον
εἶναι; Οὐχ ὁρατόν. Ἀειδὲς ἄρα; Ναί. Ὁμοιότερον
ἄρα ψυχὴ σώματός ἐστι τῷ ἀειδεῖ, τὸ δὲ τῷ ὁρατῷ. Πᾶσα
9 ἀνάγκη, ὦ Σώκρατες. Οὐκοῦν καὶ τόδε πάλαι ἐλέγομεν, ὅτι p. 552
ἡ ψυχὴ ὅταν μὲν τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι,
ἢ διὰ τοῦ ὁρᾶν, ἢ διὰ τοῦ ἀκούειν, ἢ δι' ἄλλης τινὸς αἰσθήσεως·
(τοῦτο γάρ ἐστι τὸ διὰ τοῦ σώματος, τὸ δι' αἰσθήσεως

c 9. τὰ αὐτὰ] ταυτὰ C.F.G.I. d 2. δή τι] τι om. C.F.G. τι δὴ I. 4. ὁμοιωτ.] ὁμοιοτ. C. qui mox om. ἄν. Hoc F.G. 6. παντὶ—ὁρατῷ] πανταχῇ τοῦτό γε δὴ τῷ ὁρ. B.C.F.G.I. πανταχοῦ τοῦτό γε δὴ τῷ ὁρ. E. 8. γε om. D. 11. ἐλέγομεν] λέγομεν B.C.F.G.I. Tum ἢ ἀόρατον om. B. οἴει] οἴη^{ει} D. 14. ἀειδὲς] ἀεὶ δὲ B. ὁμοιότερον] ὁμοιότερος C.

p. 552. οὐκοῦν καὶ τόδε ἐλέγ.] καὶ λοιπὸν τὸ πάλαι λεγόμενον B. πάλαι C.F.G. pro τόδε. οὐκοῦν καὶ πάλιν ἐλ. E.I. 2. προσχρῆται] χρῆται B.C.F.G.I. 3. ἢ διὰ τοῦ ὁ.] οὐχὶ ἢ διὰ τοῦ ὁ. B.C.F.G. 5. τὸ δι' αἰσθήσεως om. B.C.E.F.G.I.

aspectabile, eodem semper modo se habere; aspectabile autem illud, nun-
7 quam? Et hoc quoque placet, inquit. Age jam, inquit ille, an aliquid in
nobis præter corpus animumque reperias? Nihil vero, inquit. Utri ergo
generi corpus nostrum simile magis cognatumque dixerimus? Nemini
vero, inquit dubium, quin aspectabili. Quid animus autem? Num aspectabile
quid est, an potius non aspectabile? Non hominibus certe quidem, o
Socrates. Atqui nos sane cum aspectabile aut non aspectabile diceremus,
humanæ naturæ respectu utrumque dicebamus: tu vero aliamne aliquam
8 cogitabas? Equidem humanam quoque solam. Utrum igitur de animo
dicebamus, videri eum posse, an contra? Non posse, inquit. Esse igitur
aliquid non aspectabile? Esse. Animus ergo rei non aspectabili similior
est, quam corpus; hoc vero aspectabili similius. Necesse id prorsus, o
9 Socrates. Num id præterea dicebamus, animum quoties ad aliquid investigandum
corporis operam interponit, sive hoc visu fiat, sive auditu, sive
alio quocunque sensu: (quod enim sensu percipitur, corporis opera utique

ΠΛΑΤΩΝΟΣ

σκοπεῖν τι·) τότε μὲν ἕλκεται ὑπὸ τοῦ σώματος εἰς ταῦτα τὰ μηδέποτε κατὰ ταυτὰ ἔχοντα· καὶ αὐτὴ πλανᾶται, καὶ ταράττεται, καὶ ἰλιγγιᾷ, ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτο-
10 μένη; Πάνυ γε. Ὅταν δὲ αὐτὴ καθ' αὐτὴν σκοπῇ, ἐκεῖσε οἴχεται, εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡσαύτως ἔχον, καὶ ὡς ξυγγενὴς οὖσα αὐτοῦ ἀεὶ μετ' ἐκείνου τε b γίνεται, ὅταν περ αὐτὴ καθ' ἑαυτὴν γένηται, καὶ ἐξῇ αὐτῇ· καὶ πέπαυταί τε τοῦ πλάνου, καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη. Καὶ
11 τοῦτο αὐτῆς τὸ πάθημα φρόνησις κέκληται. Παντάπασιν, ἔφη, καλῶς καὶ ἀληθῆ λέγεις, ὦ Σώκρατες. Ποτέρῳ οὖν αὖ σοι δοκεῖ τῷ εἴδει, καὶ ἐκ τῶν πρόσθεν [εἰρημένων,] καὶ ἐκ τῶν νῦν λεγομένων, ἡ ψυχὴ ὁμοιότερον εἶναι καὶ συγγενέστερον; Πᾶς ἄν, ἔμοιγε δοκεῖ, ἦδ' ὅς, συγχωρῆσαι, ὦ Σώκρατες, c ἐκ ταύτης τῆς μεθόδου, καὶ ὁ δυσμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστιν ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλ-
12 λον ἢ τῷ μή. Τί δὲ τὸ σῶμα; Τῷ ἑτέρῳ. Ὅρα δὴ καὶ

a 6. ὑπὸ] ἀπὸ B. εἰς τὰ] εἰς ταῦτα τὰ B.C.E.F.G.I. 7. πλαν. κ. ταρ.] ταρ. κ. πλαν. C.F.G. 9. γε αὐτὴ] γε om. B.C.E.I. Mox αὐτὴν C.I. pro ἑαυτὴν et infra καὶ αὐτὴ F.G. 10. οἴχεται] ἔρχεται B.D. 11. τε καὶ] τε om. B.C.F.G.I. Tum καὶ ὡσαύτως ἔχον om. E. b. ἀεὶ om. E.I. 2. ἑαυτὴν] αὐτὴν F.G. 3. γένηται] γίνηται C.F.G. Tum καὶ τῇ αὐτῇ B.C. καὶ ἐν τῇ αὐτῇ E.G.I. 7. ἀληθῆ] ἀληθῶς B.C.F.G. 8. ποτέρῳ—δηλαδὴ ὦ Σώκρατες om. B. αὖ σοι] αὖ om. C.F.G. et mox om. εἰρημένων et sic D. c 4. ἡ ψυχὴ] ἡ om. C.E.F.G. 6. τῷ ἑτέρῳ—καὶ σῶμα om. E.I.

percipitur :) toties ejusdem corporis vi, ad ea quæ nunquam eodem se modo habent pertrahi, errare simul, perturbari, et quadam vertigine sic quasi ebriam circumferri, quod rerum istarum tractationem attigerit? Om-
10 nino. At ubi per sese aliquid ipse contemplatur, tum illuc sane proficiscitur, ubi sese ad naturæ purissimæ, quæ sempiterna, immortalis, et rationis semper ejusdem est, societatem adjungit: adeoque tanquam ipsi cognatus, cum ea versatur assidue, quamdiu quidem et apud sese est, et ipsi licet: itaque ab omni errore liberatur, et circa genus illud rerum eodem se modo semper habet, quod in earum sese commercium dederit.
11 Qui quidem animi sensus prudentia nuncupatur. Recte prorsus ac vere loqueris, o Socrates. Tu ergo cum superioribus, tum iis præterea, quæ a nobis etiamnum disputantur, adductus, utri tandem ex illo duplici genere similiorem animum, magisque cognatum arbitraris? Nemo enim opinor, o Socrates, tardissimus licet atque pinguissimus, non hac tua argumentatione convictus agnoscat, in omnibus omnino, naturæ illi similiorem, esse
12 animum quæ eodem se modo semper habeat, quam ei quæ secus. Corpus

ΠΛΑΤΩΝΟΣ

τῇδε· ὅτι ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ μὲν
δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ ἄρχειν καὶ
δεσπόζειν· καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ
θείῳ εἶναι, καὶ πότερον τῷ θνητῷ; Ἢ οὐ δοκεῖ σοι τὸ μὲν
θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν
13 ἄρχεσθαί τε καὶ δουλεύειν; Ἔμοιγε. Ποτέρῳ οὖν ἡ ψυχὴ d
ἔοικε; Δηλαδή, ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ
σῶμα τῷ θνητῷ. Σκόπει δή, ἔφη, ὦ Κέβης, εἰ ἐκ πάντων
[325] τῶν εἰρημένων τάδε ἡμῖν ξυμβαίνει· τῷ μὲν θείῳ, καὶ ἀθανάτῳ,
καὶ νοητῷ, καὶ μονοειδεῖ, καὶ ἀδιαλύτῳ, καὶ ἀεὶ ὡσαύτως κατὰ
τὰ αὐτὰ ἔχοντι ἑαυτῷ, ὁμοιότατον εἶναι ψυχήν· τῷ δὲ ἀν-
θρωπίνῳ, καὶ θνητῷ καὶ ἀνοήτῳ, καὶ πολυειδεῖ, καὶ διαλυτῷ,
καὶ μηδέποτε κατὰ τὰ αὐτὰ ἔχοντι ἑαυτῷ, ὁμοιότατον αὖ
14 εἶναι τὸ σῶμα. Ἔχομέν τι παρὰ ταῦτα ἄλλο λέγειν, ὦ
φίλε Κέβης, ὡς οὐχ οὕτως ἔχει; Οὐκ ἔχομεν. Τί οὖν;
τούτων οὕτως ἐχόντων, ἆρ' οὐ σώματι μὲν ταχὺ διαλύεσθαι
προσήκει, ψυχῇ δὲ αὖ τοπαράπαν ἀδιαλύτῳ εἶναι, ἢ ἐγγύς τι
15 τούτου; Πῶς γὰρ οὔ; Συννοεῖς οὖν, ἔφη, ὅτι ἐπειδὰν ἀπο- p. 553

c 10. ὅμοιον δοκεῖ] δοκεῖ ὅμ. C.E.F.G.I. εἶναι om. F.G.I. 11. θεῖον] θεῖον οἷον F.G.I. d 2. σκόπει δή] σκόπει δὲ B. 5. καὶ νοητῷ om. B. 6. καὶ κατὰ] καὶ om. B.C.F.G.I. Mox ἑαυτῷ C.I. et sic infra. ἑαυτῷ D. καὶ item om. E. 10. ἄλλο] ἄλλη B.

vero quid? Alteri videlicet. Jam mihi quoque istud attende: dum simul animus corpusque versantur, huic servitutem et obsequium, imperium illi atque dominatum, ab ipsamet natura mandatum esse. Quibus e duobus, utrum porro divinæ, utrum mortali naturæ affine arbitraris? Num tibi ut imperare ac moderari, divinum, ita obsequi ac servire, mortale tibi quid-
13 dam videtur? Videtur sane. Utrius ergo similis animus est? Enimvero, divinæ animum, corpus mortali simile esse liquet, o Socrates. Vide igitur, inquit, o Cebes, num id ex superioribus omnibus consequatur: divinæ, immortali, spiritali, simplici, indissolubili, unoque semper et eodem se modo habenti naturæ, simillimum esse animum: corpus contra, humanæ, mortali, mentis experti, multiplici, solutioni obnoxiæ, nec rationem semper
14 eandem vultumque retinenti, simillimum. Caussæne dicimus aliquid, carissime Cebes, quominus vera ista videantur? Nihil plane. Hæc ergo cum ita sint, nunquid proprium id corporis est, uti brevi solvatur, animi contra, vel ut nunquam penitus dissolvi possit, vel aliud quiddam hujus
15 conditionis affine? Quippe. Jam intelligis ipse mecum, inquit, ubi

ΠΛΑ-ΤΩ-ΝΟΣ

θάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ, τὸ σῶμα, καὶ ἐν
ὁρατῷ κείμενον, ὃ δὴ νεκρὸν καλοῦμεν, ᾧ προσήκει διαλύεσθαι,
καὶ διαπίπτειν, καὶ διαπνεῖσθαι, οὐκ εὐθὺς τούτων οὐδὲν πέ-
πονθεν, ἀλλ' ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον· ἐὰν μέν τις καὶ
χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ, καὶ ἐν τοιαύτῃ ὥρᾳ, καὶ
πάνυ μάλα. Συμπεσὸν γὰρ τὸ σῶμα καὶ ταριχευθὲν, ὥσπερ
οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον b
ὅσον χρόνον. Ἔνια δὲ μέρη τοῦ σώματος, καὶ ἐὰν σαπῇ,
ὀστᾶ τε καὶ νεῦρα, καὶ τὰ τοιαῦτα πάντα, ὅμως, ὡς ἔπος
16 εἰπεῖν, ἀθάνατά ἐστιν, ἢ οὔ; Ναί. Ἡ δὲ ψυχὴ ἄρα, (τὸ
ἀειδὲς, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον, καὶ
καθαρὸν, καὶ ἀειδῆ, εἰς ᾅδου, ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν
καὶ φρόνιμον θεὸν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ
ἰτέον·) αὕτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη, καὶ οὕτω πεφυκυῖα, ἀπαλ-
λαττομένη τοῦ σώματος, εὐθὺς διαπεφύσηται, καὶ ἀπόλωλεν, c
17 ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; Πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης
τε καὶ Σιμμία· ἀλλὰ πολλῷ μᾶλλον ὧδε ἔχει. Ἐὰν μὲν

p. 553. 3. τὸ σῶμα] τὸ om. B.C. 5. καὶ διαπνεῖσθαι—σώματος om. B. 8. τῇ αὐτῇ] τοιαύτῃ C.F.G.I. 9. συμπεσὼν E. b 2. ἔνια δὲ] δὲ om. F.G. 4. ὅμως] ὁμοίως B.D.E.F.G.I. 8. ὡς ἀληθῶς om. B. 9. ἐὰν] ἂν B.C.F.G. οἷον ἂν E.I. Tum ὁ om. C.F.G. ante θεός. 10. δὲ δὴ] δὴ om. B.C.D.E.F.G.I. 11. καὶ οὕτω] καὶ οὐ B.F.G.I. c 3. γε καὶ] καὶ om. C.E.F.G.I. 4. ἀλλὰ π.] ἀλλὰ πολλὰ πολλῷ B.D. ἀλλὰ πολλὰ πολλῶν C.F.G.I. et ni fallor E.

homo interierit, corpus hoc ejus aspectabile, quod in re similiter aspectabili jacet, quæ a nobis cadaver appellatur, cujus id proprium est, ut solvatur, diffluat, evanescat, ejusmodi tamen continuo subire nihil; sed potius satis multo tempore consistere: adeoque si quis formoso et eleganti corpore decesserit, illam ipsam dignitatem ac speciem admodum retinere. Et vero posteaquam exsiccatum fuerit conditumque corpus, ut qui apud Ægyptios conditi solent, mirum quamdiu totum fere integrumque maneat. Quin et partes corporis aliquæ, tametsi jam extabuerit, ossa videlicet, nervi, ac cæteræ id genus omnes, immortales, pene dixerim, supersunt ipsæ tamen:
16 nonne? Sic est. At vero, animus ille noster, (qui videri non potest, qui in alteram quandam similemque sedem commigrans, eamque nobilem simul et castam, atque ab omni conspectu sejunctam apud inferos, ad bonum aliquem haud dubie sapientemque deum proficiscitur; quo quidem, si deo placuerit, animo isti meo abeundum jamjam erit.) Ille, inquam, noster animus, talis cum sit ab natura satus, simulatque liberatus corpore fuerit,
17 evanescet illico, ac funditus, ut vulgus hominum loquitur, interibit? Permultum id quidem abest, mi Cebes, tuque o Simmia. Imo longe profecto

καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος συνεφέλκουσα, ΠΛΑ-
ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ ΤΩ-
φεύγουσα αὐτὸ, καὶ συνηθροισμένη αὐτὴ εἰς ἑαυτὴν, ἅτε ΝΟΣ
μελετῶσα ἀεὶ τοῦτο· (τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς
φιλοσοφοῦσα, καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως· ἢ οὐ d
18 τοῦτ᾽ ἂν εἴη μελέτη θανάτου; Παντάπασί γε.) Οὐκοῦν οὕτω
μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν
τε, καὶ ἀθάνατον, καὶ φρόνιμον· οἷ ἀφικομένῃ ὑπάρχει αὐτῇ
εὐδαίμονι εἶναι, πλάνης, καὶ ἀνοίας, καὶ φόβων, καὶ ἀγρίων
ἐρώτων, καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ,
ὥσπερ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοι-
πὸν χρόνον μετὰ θεῶν διάγουσα· οὕτω φῶμεν, ὦ Κέβης, ἢ
19 ἄλλως; Οὕτως νὴ Δία, ἔφη ὁ Κέβης. Ἂν δέ γε, οἶμαι, p. 554
μεμιασμένη καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε
σώματι ἀεὶ ξυνοῦσα, καὶ τοῦτο θεραπεύουσα, καὶ ἐρῶσα, καὶ
γεγοητευμένη ὑπ᾽ αὐτοῦ, ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν,

c 5. τοῦ σώματος μηδὲν] μηδὲν om. C. ante τοῦ σώματος in E.F.G.I. ut in libris Platonis. 8. αὐτὸ] αὐτῷ B.C.D. αὐτῶ G. Tum αὐτὴν C.F.G. 9. ἀεὶ τοῦτο] τοῦτο om. B.C.F.G.I. d. μελετῶσα ῥ.] ῥ. μελετῶσα B. qui om. seqq. usque ad ἀπηλλαγμένῃ. 3. ἔχουσα] ἴσχουσα C.F.G. 5. οἷ] οἷον C. οἷα φιλομένη E. 11. φῶμεν] φαμὲν B.
p. 554. 2. τοῦ σώματος om. B. qui mox ξενοῦσα. 4. γοητευομένη] γεγοητευμένη B.C.F.G.I. τε τῶν] τε om. C.F.

verius quod sequitur. Si purus ex corpore discesserit, nihilque secum ex eo trahens, quod nullum unquam hac in vita cum eo prudens volensque commercium habuerit, sed potius illud fugiens, in se ipsum collectus perstiterit, quod in eo meditationis genere totus semper esset: (quod dum agebat, hoc sane agebat unum, uti recte philosopharetur, ac re ipsa facile moriendi rationem secum ipse versaret. Quid enim? an hæc tibi mortis
18 meditatio non videtur? Ita plane.) Animus inquam hoc statu si discedet, ad illud continuo sese recipiet, quod affine sibi est, spectarique non potest, divinum quiddam utique, immortale simul ac sapiens, quo cum pervenerit, tum demum felix esse incipit, ab errore, inscitia, terroribus, insanis amoribus, ac reliqua malorum humanorum contagione liberatus. Atque, ut de initiatis dici vulgo solet, in deorum societate deinceps totus vere ac perpetuus est. Utrum tibi hoc, mi Cebes, genus orationis probatur, an aliud placet? Mihi vero admodum probatur, inquit Cebes, ita me Jupiter amet.
19 At vero, idem, opinor, si contaminatus ex corpore inquinatusque migrabit, quod assiduus cum eo fuerit, quod ipsum coluerit atque amaverit, ejusque simul cupiditatum voluptatumque veneficiis usque adeo fascinatus captus-

ΠΛΑΤΩΝΟΣ

ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς, ἀλλ' ἢ τὸ σωματοειδὲς, οὗ ἄν τις ἅψαιτο, καὶ ἴδοι, καὶ φάγοι, καὶ πίοι, καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο· τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες, καὶ ἀειδὲς, νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετὸν, τοῦτο δὲ εἰθισμένη μισεῖν τε, καὶ τρέμειν, καὶ φεύγειν· οὕτω δὴ ἔχουσαν οἴει ψυχὴν αὐτὴν καθ' αὐτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι; Οὐδ' b ὁπωστιοῦν, ἔφη.

Ταῦτα ὁ Πλάτων· ἐξαπλοῖ δὲ τὴν διάνοιαν ὁ Πορφύριος, ἐν τῷ πρώτῳ τῶν Πρὸς Βοηθὸν Περὶ Ψυχῆς τοῦτον γράφων τὸν τρόπον·

ΠΟΡΦΥΡΙΟΥ

28 Αὐτίκα λόγον ἰσχυρὸν εἶναι δοκοῦντα τῷ Πλάτωνι εἰς c παράστασιν τῆς ψυχῆς ἀθανασίας, τὸν ἐκ τοῦ ὁμοίου. Εἰ γὰρ ὁμοία τῷ θείῳ, καὶ ἀθανάτῳ, καὶ ἀειδεῖ, καὶ ἀσκεδάστῳ, καὶ ἀδιαλύτῳ, καὶ οὐσιωμένῳ, καὶ συνεστῶτι ἐν ἀφθαρσίᾳ, πῶς
2 οὐ τοῦ γένους ἂν εἴη τοῦ κατὰ τὸ παράδειγμα; Ὅταν γὰρ
[326] δύο τινῶν ἄκρων ἐναργῶς ἐναντίων, οἷον λογικοῦ τε καὶ ἀλόγου, ἄλλο τι ἀμφισβητῆται ποίας ἐστὶ μερίδος, εἰς ἣν καὶ

a 5. ὥστε—αἱρετὸν om. B. 6. ἢ τὸ] τὸ om. C.F.G. 7. πίοι—φάγοι] φάγοι—πίοι C.F.G. 9. ὄμμασι] σώμασι E. 10. εἰθισμένη μισεῖν τε καὶ] ἢ μισεῖν καὶ B.C.E.F. ἢ μ. τε κ. G.I. b. ἀπαλλάξεσθαι] ἀπαλλάξασθαι B.C.F.G.I. Mox post Πλάτων desunt cett. B. qui om. cap. seq. c 4. οἰωμένῳ E. 7. γὰρ om. F.

que fuerit, nihil ut aliud rerum putaret, quam quod esset corporeum, quod tactu visuve perciperetur, quod poculentum aut esculentum esset, aut in rebus venereis locum haberet: quicquid autem sic oculis obscurum esset, ut ab iis non videretur quidem, sed mente tamen ac philosophiæ vi caperetur, id totum odisse, formidare, ac fugere soleret: an tu eum, qui comparatus ita sit, purum ac sincerum, atque ab omni per sese labe sejunctum ex corpore discessurum arbitraris? Nullo modo, inquit ille.

Hactenus Plato. Cujus sententiam uberius exponens tractansque Porphyrius, in eorum primo, quos ad Boëthum scribit, ita de animo loquitur.

28 Ad immortalitatem animi defendendam, inquit, promptum id firmumque argumentum Platoni visum, quod ex rei similis ratione duceretur. Nam si naturæ divinæ, quæ et immortalis est, nec videri, aut dissipari, solvique potest, sed in ipsa integritate sitam habet et consistentem essentiam, affinis est animus, quid ni ejus quoque generis ille sit, quod suum illud exemplar
2 imitetur? Cum enim, ubi summa duo quædam inter sese opponi constat, cujusmodi sunt ratione præditum, et rationis expers, de tertio aliquo dubi-

οὗτος τρόπος ἀποδείξεως διὰ τοῦ δεῖξαι τίνι τῶν ἀντικειμένων ὅμοιον. Οὕτω γάρ, καίπερ ἐν ἀλογίᾳ κατὰ πρώτην ἡλικίαν d τοῦ ἀνθρωπίνου γένους κατεσχημένου, πολλῶν τε ἄχρι γήρως ἐν τοῖς τῆς ἀλογίας ἁμαρτήμασι πλεοναζόντων, ὅμως διὰ τὸ τῷ καθαρῶς λογικῷ πολλὰς ὁμοιότητας φέρειν λογικὸν εἶναι 10 ΠΟΡΦΥΡΙΟΥ
3 τὸ γένος τοῦτο ἐξαρχῆς ἐπιστεύθη. Ὄντος οὖν θείου τοῦ συστήματος καὶ ἀκηράτου καὶ ἀλυμάντου προφανῶς τοῦ τῶν θεῶν, ὄντος δὲ πάλιν ἐναργῶς τοῦ χθονίου καὶ λυτοῦ καὶ ἐν διαφθορᾷ κειμένου, ἀμφισβητουμένης δὲ παρά τισι τῆς ψυχῆς τίνι τῶν προκειμένων μέρει προσκεχώρηκεν, ἐκ τῆς ὁμοιότη-
4 τος ᾠήθη ὁ Πλάτων δεῖν ἀνιχνεύειν τὴν ἀλήθειαν. Καὶ p. 555
ἐπειδὴ τῷ μὲν θνητῷ τε καὶ λυτῷ καὶ ἀνοήτῳ καὶ ζωῆς ἀμετόχῳ, καὶ διὰ τοῦτο ἁπτῷ τε καὶ αἰσθητῷ καὶ γινομένῳ καὶ ἀπολλυμένῳ, οὐδαμῶς ἔοικε, τῷ δὲ θείῳ καὶ ἀθανάτῳ καὶ ἀειδεῖ καὶ νοερῷ ζῶντί τε καὶ ἀληθείας συγγενεῖ, καὶ ὅσα ἐκεῖνος περὶ αὐτῆς ἀναλογίζεται· ἐδόκει μὴ τὰς μὲν ἄλλας ὁμοιότητας τοῦ θεοῦ ἐνεῖναι συγχωρεῖν, τὸ δὲ τῆς οὐσίας

d 2. κατεσχημ.] κατισχημ. C.F.G. καὶ D. 4. τὸ τῷ] τῷ om. D. καθαρῷ F.G. 6. ἐπιστεύθη] ἂν ἐπιστ. C.D.F.G. 7. συστήματος] τοῦ συστ. C.F.G. 9. δὲ πάλιν] δὲ om. C. ὄντα pro ὄντος I. 10. καὶ αὐτοῦ] τοῦ αὐτοῦ C.D.F.G. Recte mihi videtur conjecisse Vigerus, καὶ
θ
λυτοῦ. Vid. p. 555 a. 556 a. Mox διαφορᾷ D. διαφορᾷ F. 11. ἀμφισβητούμενος I. 12. προκειμένων om. C.F.G. τῶν προκ. D.

tatur, utrius in classe numeroque ponendum sit: tum is quoque probari solet demonstrandi modus, quo utri e duobus simile sit ostenditur. Sic enim, tametsi prima hominis ætas rationis et consilii laboret inopia, multique præterea ad ipsam usque senectutem in plurimis imprudentia ac temeritate labantur: quod tamen hominum genus cum ea natura, cujus integra sinceraque ratio est, multarum similitudinum societate conjunctum
3 sit, idem jam inde ab initio rationis compos habitum est. Cum itaque, divinus ille deorum cœtus, nihil unquam, ut constat, detrimenti capere possit: terrestre contra genus corruptioni obnoxium esse nemo non videat: in illa profecto dubitatione, qua nonnulli hærent, utrum ad genus animum adjungere debeant, jure Plato investigandam ex similitudine veritatem
4 putavit. Et quoniam ipse cum ea natura, quæ dissolvi potest, quæ mente simul ac vita caret, quæque tactu propterea cæterisque sensibus usurpari solita, nascitur pariter et extinguitur, affinitatis nihil habet: cum ea vero plurimum, quæ divina et immortalis est, quæ non visu, sed mente percipitur, quæ vitæ particeps est cognataque veritati, ac cæteris instructa dotibus, quas in animo philosophus agnoscit: adduci potuit nunquam, ut alias dei similitudines in eo reperiri concederet, essentiæ conjunctionem et

ΠΟΡΦΥΡΙΟΥ

ἐμφερὲς ἀπ' αὐτῆς ἐθέλειν ἀθετεῖν, δι' ὃ καὶ τούτων αὐτὴν τυχεῖν συμβέβηκεν. Ὥσπερ γὰρ τὰ ταῖς ἐνεργείαις τῷ θεῷ ἀνόμοια εὐθὺς καὶ τῇ συστάσει τῆς οὐσίας ἐξήλλακτο, οὕτως b
ἀκόλουθον εἶναι τὰ τῶν αὐτῶν πως ἐνεργειῶν μέτοχα φθάνειν τὴν ὁμοιότητα τῆς οὐσίας κεκτημένα. Διὰ γὰρ τὴν ποιὰν οὐσίαν ποιὰς εἶναι καὶ τὰς ἐνεργείας, ὡς ἂν ἀπ' αὐτῆς ῥεούσας καὶ αὐτῆς οὔσας βλαστήματα.

6 Τούτου τοίνυν τοῦ λόγου τὴν δύναμιν περιαιρῶν ὁ Βοηθὸς, ἐπάκουσον εὐθὺς ἐν ἀρχῇ τοῦ λόγου ὃ πεποίηκε γράφων οὕτως·

7 Εἰ μὲν ἀθάνατός ἐστιν ἡ ψυχὴ, καὶ παντὸς ὀλέθρου κρείττων τις φύσις, πολλοὺς ἀναμείναντα χρὴ καὶ περιηγησάμενον c
8 λόγους ἀποφήνασθαι. Τὸ μέντοι τῶν περὶ ἡμᾶς ὁμοιότερον μηδὲν γενέσθαι θεῷ ψυχῆς, οὐ πολλῆς ἄν τις δεηθεὶς πραγματείας πιστεύσειεν, οὐ μόνον διὰ τὸ συνεχὲς καὶ ἄπαυστον τῆς κινήσεως, ἣν ἐν ἡμῖν ἐνδίδωσιν, ἀλλὰ τοῦ καθ' ἑαυτὴν νοῦ.
9 Εἰς ὅπερ ἀπιδὼν καὶ ὁ Κροτωνιάτης φυσικὸς εἶπεν ἀθάνατον

p. 555. 9. ἐθέλειν] θέλειν I. 11. ἐνεργείαις] ταῖς ἐνεργ. C.D.E. F.G.I. b 6. ῥυούσαις D. ῥεούσης F. 9. λόγου ὃν] λόγου ὃ C.F. G.I. Quod deesse in uno ms. testatur Vigerus ἐπάκουσον, infra γέγραφεν pro γράφων posito, nihil hujusmodi enotavit collator meus. c. ἀναμείναντα] ἀμείναντα D. Mox περιηγησάμενος E. 8. φυσικὸς] φυσικῶς C.D.

affinitatem negaret, cujus unius caussa in cæterorum ornamentorum communionem vocatus esset. Ut enim quæ deo agendi vi rituque dissimilia sunt, eadem continuo ab propria illius essentiæ ratione discedunt: ita plane consequens esse, ut quæ res eandem propemodum, quam ipse, agendi vim ac rationem habent, jam eæ prius essentiæ cum eo similitudinem acceperint. Talis enim essentiæ gratia, tales etiam esse agendi vires, quippe quæ ab ea manent, et quædam ejus quasi germina sint.

6 Cujus argumenti vim cum optime Boëthus caperet, audi sis quemadmodum ipso statim suæ disputationis exordio persequatur:

7 Utrum, inquit, immortalis sit animus, omnique interitu superior, qui rem per sese demonstrare vellet, multis eum sane ac longissimis disputa-
8 tionum flexionibus uti oporteret. At vero, ut ex rebus nostris, deo similius nihil esse quam animum, quivis sibi persuadeat, non spissam admodum et actuosam contentionem desideret: non modo quod ipse continuum in nobis perennemque motum efficiat, sed etiam ob ejus qua præditus est
9 mentis excellentiam. Quod quidem physicus etiam ille Crotoniates dum

αὐτὴν οὖσαν, καὶ πᾶσαν ἠρεμίαν φύσει φεύγειν, ὥσπερ τὰ ΠΟΡΦΥΡΙΟΥ
10 θεῖα τῶν σωμάτων. Ἀλλὰ καὶ καθάπαξ τὴν ἰδέαν τῆς ψυχῆς καὶ μάλιστα τὸν ἄρχοντα ἐν ἡμῖν νοῦν, ὁπηλίκα βου- d
λεύματα καὶ ὁρμὰς πολλάκις ὁποίας ὑποκινεῖ, τῷ κατανοήσαντι πολλή τις ἂν πρὸς τὸν θεὸν ὁμοιότης ὑποφανείη.

11 Καὶ ἑξῆς ἐπιλέγει,

Εἰ γὰρ ὡς ὁμοιότατον τῷ θείῳ πάντων χρημάτων ἡ ψυχὴ δείκνυται, τίς ἔτι χρεία τῶν ἄλλων δεῖσθαι λόγων εἰς ἀπόδειξιν τῆς ἀθανασίας αὐτῆς προοιμιαζόμενον, καὶ μὴ καὶ τοῦτον ὡς ἕνα μετὰ τῶν πολλῶν καταριθμοῦντα, ἱκανὸν ὄντα ἐντρέψαι τοὺς εὐγνώμονας, ὡς οὐκ ἂν τῶν ἐμφερῶν τῷ θείῳ
12 μετέσχεν ἐνεργειῶν μή τοι θεία γε οὖσα καὶ αὐτή; Εἰ γὰρ p. 556
καίπερ ἐν τῷ θνητῷ καὶ λυτῷ καὶ ἀνοήτῳ καὶ καθ' ἑαυτὸ νεκρῷ καὶ ἀεὶ ἀπολλυμένῳ καὶ διαρρέοντι εἰς τὴν τῆς ἀπωλείας μεταβολὴν κατορωρυγμένη αὐτό τε ποιεῖ καὶ συνέχει, καὶ τὴν ἑαυτῆς θείαν ἀναδείκνυσιν οὐσίαν, καίπερ ἐπιπροσθουμένη καὶ ἐμποδιζομένη ὑπὸ τοῦ προκειμένου αὐτῇ πανωλέθρου

c 10. φύσει] φύσιν D. d. ὁπηλίκα] ὁπηνίκα D. 4. καὶ ἑξῆς ἐπιλέγει om. C. 5. ὁμοιότατον] ὁμοιότητα D. 9. μετὰ τῶν] μετὰ om. F.G. 10. ὄντα om. I. 11. τῷ θείῳ] τὸ θεῖον D.
p. 556. 2. ἑαυτὸ] ἑαυτῷ C.D. ἑαυτὸν F. 4. κατορωρυγμένην E. 5. ἑαυτῆς om. F. 6. ἐπιπροσθουμένη] ἐπιπροσθετουμένη C.D.F.G.

videret, animum illico nostrum, immortalis quod esset, quietem omnem,
10 divinorum more corporum, suapte natura defugere pronuntiavit. Et vero, qui semel animi hujus ideam noverit, ac præsertim quanta mens illa nostri moderatrix agitet versetque consilia, aut cujusmodi sæpissime in nobis impetus efficiat; idem profecto similitudinem ejus cum deo maximam deprehendet.

11 Tum aliquot interjectis,

Nam si animum, inquit, naturæ divinæ omnium longe simillimum esse constiterit, quorsum alias deinceps, quasi præfandi caussa, ejus immortalitati probandæ rationes exquiras, ac non istam potius unam inter plerasque censeas, ejusmodi cum sit, cui non cedere modestiores et æquiores salvo suo pudore non possint, quod nimirum deo similes agendi vires
12 accepisset nunquam, nisi esset ipse divinus? Nam si mortali corpori, fluxo et sine mente, imo etiam vero ex sese cadaveri, quod extinguitur assidue, atque in interitus mutationem dilabitur, infossus ille dum est, non illud modo fingit atque conservat, sed naturæ quoque suæ divinitatem ostendit, tametsi exitialis hujus, quod obvium semper habeat, figmenti moles lucem ejus vimque debilitet: quomodo tandem, ubi semel rationem illam suam,

ΠΟΡΦΥΡΙΟΥ

πλάσματος, πῶς εἰ τῷ λόγῳ χωρισθείη, ὥσπερ χρυσίον περιπεπλασμένου πηλοῦ, οὐκ αὐτόθεν ἂν τὸ ἑαυτῆς εἶδος ἐκφήνειεν, ὡς ἐμφερὲς ὂν μόνον τῷ θεῷ, ἀλλὰ καὶ διὰ τὸ μέτοχον b αὐτοῦ εἶναι, καὶ τὰς ἐν ταῖς ἐνεργείαις ὁμοιότητας διασῶζον, καὶ ἐν τῷ μάλιστα θνητῷ αὐτῆς, (ὥσπερ ἐστὶν ὅταν ἐν τῷ θνητῷ καθειρχθῇ,) διὰ τοῦτο μὴ διαλυόμενον, ὅτι φύσεως ἦν τῆς ἀμοίρου φθορᾶς;

13 Καὶ ὑποκαταβάς φησιν,

[327] Εἰκότως δὲ καὶ θεία φαίνεται ἀπὸ τῆς πρὸς τὸν ἀμέριστον ὁμοιώσεως, καὶ θνητή, ἀφ' ὧν προσπελάζει τῇ θνητῇ φύσει· καὶ κάτεισι, καὶ ἄνεισι, καὶ θνητοειδής ἐστι, καὶ τοῖς
14 ἀθανάτοις ἐμφερής. Ἄνθρωπος γὰρ καὶ ὁ γαστρίζων ἑαυ- c τὸν καὶ κεκορέσθαι σπουδάζων, ὡς τὰ κτήνη· ἄνθρωπος δὲ καὶ ὁ σώζειν ἐν πελάγει δι' ἐπιστήμης ἐν κινδύνοις οἷός τε ὢν τὴν ναῦν, καὶ ὁ σώζειν ἐν νόσοις, καὶ ὅ γε τὴν μὲν ἀλήθειαν εὑρίσκων, μεθοδεύσας δὲ καὶ πρὸς γνώσεως καταλήψεις, πυρείων τε εὑρέσεις καὶ ὡροσκοπείων τηρήσεις, καὶ μιμήσεις τῶν

a 9. χωρισθείη] χωρισθεὶς F. χρωσθείη I. 10. πηλοῦ] πηλῷ C.F.G. πολοῦ I. 11. ἐκφήν.] ἐμφήν. C.F.G. qui mox μόνῳ cum D. b 3. θνητῷ] μάλιστα θνητῷ C.F.G.I. Supra σώζειν (ov) D. 11. ἐμφερής] ἐμφερὲς C. c. κεκορέσθαι] κορέζεσθαι C.F.G. 6. πυρίων] πυρείων C.D.F.G.

velut aurum, ab circumfusi luti contagione secretam ac sejunctam habuerit, suam per sese formam speciemque patefaciet, quæ non affinis tantum deo sit, verum etiam propter hanc cum eo communionem, et agendi rationem ei persimilem adhuc retineat, et vero, qua sui parte mortalis est, ut sane est, dum mortali corpore inclusus constrictusque manet, eo tantum non dissolvatur, quod ejus naturæ sit, quæ nullam corruptionem interitumque patiatur?

13 Deinde progressus ulterius,

Idem, inquit, præterea, uti ex sua cum eo qui parte omni caret, similitudine, divinus merito videri potest: ita, quatenus mortalem ad naturam accedit, mortalis existimari. Descendit idem ac vicissim ascendit, morta-
14 libus simul et immortalibus similis. Etenim homo est, qui farcire ventrem, qui jumenti more abdomen saturare contendat: homo item est, qui medio in mari, arte atque industria naufragii periculis navim eripere, qui alios liberare morbis, qui et verum perspicere, et ejusdem cognoscendi rationem aliis viamque munire, qui et igniarium reperire, et horologium signare,

ΠΟΡΦΥΡΙΟΥ

15 τοῦ δημιουργοῦ ποιημάτων μηχανησάμενος. Ἄνθρωπος γὰρ
ἐπενόησεν ἐπὶ γῆς συνόδους τῶν ἑπτὰ μετὰ τῶν κινήσεων δη-
μιουργῆσαι, διὰ μηχανημάτων τὰ ἐν οὐρανῷ μιμούμενος. Καὶ d
τί γὰρ οὐκ ἐπενόησεν, ἀποδεικνὺς τὸ θεῖον καὶ θεῷ παρισωμέ-
16 νον ἐν ἑαυτῷ νοῦν; Ἀφ᾽ ὧν Ὀλυμπίου τε καὶ θείου καὶ οὐδα-
μῶς θνητοῦ τολμήματα διαφαίνων, τοὺς πολλοὺς διὰ φιλαυ-
τίαν τῆς αὐτῶν εἰς τὰ κάτω ῥοπῆς ἰδεῖν αὐτὸν οὐχ οἵους τε
ὄντας ἐκ τῶν ἔξωθεν φαινομένων ὁμοίως αὐτοῖς θνητοειδῆ
δοξάζειν αὐτὸν ἀναπέπεικεν· ἑνὸς ὄντος καὶ τούτου τρόπου
τῆς ἐκ κακίας παραμυθίας, τὸ τῇ ἀντανισώσει τῆς αὐτῶν
ἀθλιότητος διὰ τὰ ἔξωθεν φαινόμενα προσαναπαυομένους
πείθειν ἑαυτούς, ὅτι ὡς τὰ ἔξω καὶ τὰ εἴσω [ὅμοιοι] πάντες
ἄνθρωποι.

17 Τούτων ἁπάντων διδάσκαλος πέφηνε γεγονὼς ὁ Μω- p. 557
σῆς, ὃς διεξιὼν τὴν πρώτην ἀνθρωπογονίαν κατὰ τὰς
προτεθείσας λέξεις, διὰ τῆς πρὸς τὸ θεῖον ἐξομοιώσεως
18 τοὺς περὶ ψυχῆς ἀθανασίας λόγους ἐπιστώσατο. Ἀλλ᾽

c 8. μηχανησάμενος] κτησάμενος C.F.G. d 2. τὸν] τὸ C.F.G. 3. αὐτῷ F.G. 4. διαφαίνων] διαμεταφαίνων D. 7. ὁμοίως] ὁμοίους D.I. Mox καὶ θνητο. D. 8. ἀναπέπεικεν αὐτὸν F.G. 11. ἑαυτῶν] αὐτῶν C.D. ult. ὅμοιοι om. C.D.F.G.I.
p. 557. γεγονὼς om. D.

15 ipsaque adeo summi artificis opera æmulari possit. Quippe homo enim septem illorum siderum concursus et conversiones arte repræsentavit, machinis quibusdam res cœlestes imitatus. Ecquid vero non excogitavit,
16 quo mentem illam suam et divinam, et deo persimilem ostenderet? Quibus ille rebus cum cœlestem plane, divinumque, nec ullatenus mortalem impetum atque industriam exereret: vulgo tamen, quod uti nimium suam illam in res inferiores inclinationem amat, ita minus eum intueri possit, rebus illis quæ omnium in aspectum cadunt, facile persuasit, ut illum in eadem ipse secum mortalium classe reponeret: præsertim cum inde quoque, hoc tanquam aliquod improbitatis suæ solatium habeat, ut dum in illa quam sibi ex rerum exteriorum specie fingit, suæ cum aliis miseriæ communione acquiescit, cunctos homines tam intrinsecus quam extrinsecus alios aliis similes arbitretur.

Hæc Porphyrius.

17 Quorum omnium doctorem ac magistrum Mosem fuisse constat, qui verbis ante laudatis cum primam illam hominum molitionem exposuit, ea cum Deo similitudine immortalitatis animi fidem fecit.
18 Sed quoniam ejusmodi est in constituendis incorporeæ, sensumque

ἐπειδὴ τὰ περὶ τῆς ἀσωμάτου καὶ ἀφανοῦς οὐσίας σύμ-
φωνα καὶ ὁμόδοξα Μωσεῖ καὶ Πλάτωνι συνέστη, ὥρα
καὶ τὰ λοιπὰ μέρη τῆς κατὰ Πλάτωνα φιλοσοφίας ἐπι-
θεωρῆσαι, δεῖξαί τε τὸν ἄνδρα Ἑβραίοις κατὰ πάντα
φίλον, ἐκτὸς εἰ μή που παρατραπεὶς ἀνθρωπινώτερον ἢ b
19 κατὰ τὸν ἀληθῆ φάναι τι προήχθη λόγον. Αὐτίκα τῶν
εἰρημένων ὅσα μὲν ἐπιτυχῶς λέλεκται τῷ ἀνδρὶ συντρέ-
χοι ἂν τοῖς Μωσεῖ δεδογμένοις· ὅσα δὲ μὴ ἀρέσκοντα
Μωσεῖ καὶ τοῖς προφήταις ὑπέλαβεν, οὐκ ἂν ἔχοι συνε-
στῶτα τὸν λόγον. Τοῦτο δ' ἡμῖν ἐν καιρῷ τῷ δέοντι
παραστήσεται. Τέως δ', ἐπεὶ πεφώραται ἐν τῇ περὶ τῶν
νοητῶν ἐποπτείᾳ συνῳδὰ καὶ σύμφωνα τὰ τεθειμένα,
ὥρα ἐπανελθοῦσιν αὖθις ἐπὶ τὴν τῶν αἰσθητῶν φυσιο-
λογίαν ἐν βραχέσι τὴν πρὸς τὰ Ἑβραίων ἐπιδραμεῖν c
τοῦ ἀνδρὸς συμφωνίαν.

29 Μωσέως γενητὸν ἀποφηναμένου τόδε τὸ πᾶν ὑπὸ τοῦ
Θεοῦ γενόμενον, λέγει δ' οὖν ἀρχόμενος τῆς ἑαυτοῦ γρα-

a 7. μωσῇ] μωσεῖ C. et sic infra. 10. τε om. E. b 2. τῶν γὰρ D. qui mox εἴρηται. 6. τὸν λ.] τὸν om. I. 7. παραστήσεται] ῥηθήσεται D. 8. περὶ τῶν] περὶ τὴν τῶν C.F.G. 10. ἐπελθοῦσιν] ἐπανελθοῦσιν C.F.G.I. c 6. γενομένου F. 7. λέγει] λέγοντος ἐν ἀρχῇ B.

fugientis naturæ rationibus, Mosem inter Platonemque consensio: reliquas deinceps Platonicæ philosophiæ partes videamus, eundemque Hebræorum in omnibus amantem ac studiosum fuisse ostendamus, nisi sicubi dum plus humano sensui, quam ferebat sacrarum literarum
19 veritas indulgeret, longius exerravit. Id sane liquet, ubicunque verum feliciter attigit, Mosis eum vestigiis institisse: Eundem, quoties a Mosis ac prophetarum mente discessit, toties disserendo ac ratiocinando titubasse. Atque id suo a nobis loco demonstrabitur. Interea, quando cum illis in spiritalium naturarum tractatione cohærenter loquentem audivimus; sequitur, ut ad earum quæ sensibus usurpantur physiologiam transeuntes, quam ipsi quoque cum Hebræis hoc in genere conveniat, paucis indicemus.

29 Universum hoc a Deo conditum, aliquem ortum habuisse Moses
Gen. 1. docuit, dum ait ipso statim operis sui vestibulo, *In principio fecit*

φῆς, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ d
μετὰ ταῦτα κατὰ μέρος ἐπάγει, Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἄκουε τοῦ Πλάτωνος ὡς οὐκ ἐκπίπτει τῆς διανοίας, ὧδέ πῃ καὶ αὐτὸς γράφων·

2 Πᾶν δὲ αὖ τὸ γιγνόμενον, ὑπ᾽ αἰτίου τινὸς ἐξ ἀνάγκης γίγνεσθαι· πάντῃ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν. ΠΛΑΤΩΝΟΣ

3 Καὶ ἐπιλέγει,

Ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος, ἢ καὶ ἄλλο ὅ τι ποτὲ ὀνομαζόμενος μάλιστα ἂν δέχοιτο, τοῦθ᾽ ἡμῖν ὠνομάσθω· σκεπτέον οὖν περὶ αὐτοῦ πρῶτον, ὅπερ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν σκοπεῖν· πότερον ἦν ἀεὶ, γενέσεως ἀρχὴν ἔχων
4 οὐδεμίαν, ἢ γέγονεν ἀπ᾽ ἀρχῆς τινὸς ἀρξάμενος. Γέγονεν·
ὁρατὸς γὰρ ἁπτός τε ἐστὶ καὶ σῶμα ἔχων. Πάντα δὲ τὰ p. 558
τοιαῦτα αἰσθητά· τὰ δ᾽ αἰσθητὰ, δόξῃ περιληπτὰ καὶ γενητὰ ἐφάνη. Τῷ δ᾽ αὖ γενομένῳ φαμὲν ὑπ᾽ αἰτίου τινὸς

d. καὶ πάλιν—τὴν γῆν om. B. καὶ πάλιν μετὰ τὰ] καὶ μετὰ ταῦτα C.E.G. πάλιν om. I. 3. ἡ ἡμέρα ᾗ] ᾗ ἡμέρα C.G. ᾗ om. I. 6. πᾶν τὸ] πᾶν δὲ αὖ B.D. πᾶν δὲ αὖ τὸ C.G. πᾶν δὲ τὸ I. 7. γίνεσθαι] γίγνεσθαι B.C.G. πάντῃ] παντὶ Plat. 9. καὶ κόσμος] ἢ κόσμος E.F.G. ἢ καὶ] ἢ om. B. 11. ὀνομάσθω] ὀνομαζέσθω C.F.G. 12. τοῦ παντὸς] τοῦ om. B.C.F.G. 14. ἔχον] ἔχων B.C.I. qui mox γέγονεν post ἀρξάμενος cum F.G. ἔχον οὐδεμίαν (ας superscr.) D.
p. 558. τὰ τοιαῦτα] τὰ om. F. 2. τὰ δ᾽ αἰσθητα om. C.

Deus cœlum et terram: itemque partes ordine singulas exequutus addit, *Hic liber generationis cœli et terræ, quando extitit ille dies, quo fecit Deus cœlum et terram.* Audi jam, quam non ab ea sententia Plato deflectat, hunc in modum scribens ipse quoque. Gen. 2, 4.

2 Quicquid fit, id omne vi alicujus principii fieri: prorsus enim evenire non posse, ut quod ortum habet, ortus sui auctorem non habeat. Plat. Tim. p. 28.

3 Quibus ita subdit,

Omne igitur cœlum, sive mundus, sive quovis alio vocabulo gaudet, hoc a nobis nuncupatus sit. De quo id primum consideremus, quod principio est in omni quæstione considerandum: semperne fuerit, nullo generatus Ib.
4 ortu; an ortus sit ab aliquo temporis principatu: quandoquidem cernitur, et tangitur, et est undique corporatus. Omnia autem talia sensum movent, sensusque moventia quæ sunt, eadem in opinione considunt: quæ ortum

ΠΛΑ-ΤΩ-ΝΟΣ

[328] ἀνάγκην εἶναι γενέσθαι. Τὸν μὲν οὖν ποιητὴν καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν.

5 Καὶ αὖθις ἑξῆς φησιν,

Οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν τόνδε τὸν
κόσμον ζῷον ἔμψυχον ἔννουν τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γε- b
νέσθαι πρόνοιαν.

30 Πάλιν Μωσέως καὶ τούτους εἶναι γενητοὺς διδάξαντος δι' ὧν ἔφησε, Καὶ εἶπεν ὁ Θεὸς, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς· καὶ
b 9. φόνους] φθόνους D. 11. τούτους] τούτων B. Tum οἱ D. c 3. πατέρα ἢ μητέρα] πατρὸς ἢ μητρὸς C.F.G. 5. μεταμελὸν] μετάμελλον B.D. μετάμελον E. 6. βιῶσιν] βιώσειν B.C.D.F.G. τρόπῳ ἄλλῳ] τινὶ ἄλλῳ τρόπ. B.C.F.G. τοιούτω τινι τρόπῳ D. 7. τούτους] τούτοις B.C.D.F.G.I. 11. καὶ μητραλῴας om. B.C.E.F.G.I. d. ἐπειδὰν—καλέσαντες δὲ om. B. φερόμενοι Plat. pro φλεγ. γίνωνται F. 7. τε καὶ λήγ.] καὶ λέγ. C.F. τε om. G. 8. φθείρονται D.

locum remedio nullum reliquisse videantur, utpote crebris et immanibus sacrilegiis, aut plurimis cædibus nefarie et contra leges omnes perpetratis, et aliis ejusmodi piaculis obligati: hos vero digna plane sors in Tartarum, unde nunquam emergant, præcipites agit. Jam quos ea peccasse constiterit, quæ ut curationem admittant, gravia tamen per sese sint; ut si adversus patrem aut matrem, indignum quidpiam iracundia stimulante commiserint, eosque reliqua deinceps vita pœnituerit; aut si alio quocunque modo cædis humanæ rei fuerint: eos quidem in Tartarum cadere necesse est, sed tamen exacto anni unius curriculo, eosdem fluctus ejicit, et homicidas quidem cæteros in Cocytum, parricidas autem vel matricidas in Pyriphlegethontem. Hi postquam ad Acherusiam paludem delati fuerint, tum ingenti clamore appellant, sive quos interfecerint, sive quibus injuriam fecerint, obsecrant deinde atque obtestantur, uti se in eam paludem subire, ibique recipi patiantur. Quod quidem impetrare si possint, tum eo subeunt, malorumque suorum finem accipiunt. Sin minus, in Tartarum indeque rursus in flumina referuntur. Quo supplicii genere non ante

ΠΛΑΤΩΝΟΣ

πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν οὓς ἠδίκησαν· αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη.

6 Οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι, ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν p. 569 καθαρὰν οἴκησιν ἀφικνούμενοι, καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι. Τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε καμάτων ζῶσι τοπαράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι, οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι. Ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πᾶν ποιεῖν, ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν· καλὸν γὰρ τὸ ἆθλον, καὶ ἡ ἐλπὶς μεγάλη.

7 Ταῦτα ὁ Πλάτων. Σὺ δέ γε παραθήσεις τῷ καὶ εἰς b οἰκήσεις καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι, οὔτε χρόνος ἱκανὸς ἐν τῷ παρόντι, τὸ παρ᾽ ἡμῖν οὕτως ἔχον, Ὀφθαλμὸς γὰρ οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶ-

12. οἳ δὲ δὴ—παρόντι om. B.
p. 569. 3. οἳ D. 5. ἔπειτα] ἅπαντα C.F.G. 6. τούτων] τούτου D.F.G. τούτους I. 7. ὁ χρ.] ὁ om. C. 8. ἀλλὰ τούτων—παρόντι om. C. b. δέ γε] δὲ om. B. qui pergit π. τὸ οὔτε ὀφθαλμὸς εἶδε καὶ οὖς ἤκουσε καὶ ἐπὶ etc. γε om. D. 2. καλλίους] καὶ βίους F.G. 5. εἶδε] οἶδε D.

liberantur, quam eos quibus injuriosi fuerint, exorarint: hæc enim illis a 6 judicibus constituta pœna est. Postremo, qui excellenti quadam et eximia vitæ sanctimonia præstitisse videantur, ii demum ex terrenis hisce locis, quibusdam quasi carceribus educti atque liberati, ac sursum in purius aliquod domicilium sedemque transcripti, supra terram degunt. Quo etiam ex numero, qui philosophiæ opera expiati omnino purgatique discesserint, ii non modo sine molestiis ævo sempiterno vivunt, sed etiam in domicilia longe adhuc nobiliora perveniunt, quæ nec verbis describere facile sit, nec per tempus commemorare mihi jam liceat. Cæterum videndum nobis est, mi Simmia, ut rebus abs me commemoratis adducti, virtutem ac prudentiam hac in vita consequi omni contentione studeamus. Dignum enim præmium, et magna quædam spes ostenditur.

7 Hactenus Plato. Tu vero cum his illius, *In domicilia longe adhuc nobiliora perveniunt, quæ nec verbis describere facile sit, nec per tempus mihi jam liceat,* conferas velim nostrum illud, *Quia nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt, quæ præparavit Deus*

1 Cor. 2, 9.

8 σιν αὐτόν. Ταῖς δὲ εἰρημέναις οἰκήσεσι, τὸ πολλὰς μο-
νὰς εἶναι παρὰ τῷ Πατρὶ τοῖς θεοφιλέσιν ἐπηγγελμένας.
Καὶ τοῖς περὶ τοῦ Πυριφλεγέθοντος λεχθεῖσι, τὸ τοῖς
ἀσεβέσιν ἠπειλημένον πῦρ αἰώνιον, κατὰ τὸν πρὸς αὐ- c
τοὺς φάσκοντα Ἑβραίων προφήτην, Τίς ἀναγγελεῖ ὑμῖν,
ὅτι πῦρ καίεται; Τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον;
Καὶ πάλιν, Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ
9 οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. Τήρει
δὲ ὡς καὶ ὁ Πλάτων συνᾴδων τούτοις, τοὺς ἀσεβεῖς εἰ-
πὼν χωρήσειν εἰς Τάρταρον, ἐπιλέγει, ὅθεν οὔποτε ἐκβαί-
νουσι. Καὶ αὖ πάλιν τοὺς εὐσεβεῖς ζήσεσθαι εἰπὼν ἐν
μακαρίοις, προστίθησι λέγων, τοπαράπαν καὶ εἰς τὸν
ἔπειτα χρόνον. Ἀλλὰ καὶ τὸ ἄνευ καμάτων εἰρημένον d
ὑπ᾽ αὐτοῦ, ὅμοιον ἂν εἴη τῷ, Ἀπέδρα ὀδύνη, καὶ λύπη,
10 καὶ στεναγμός. Φάσκων δὲ τοὺς ἐπὶ τὸν Ἀχέροντα
πορευομένους μὴ ἁπλῶς ἐπὶ τοῦτον ἀφικνεῖσθαι, ἀλλὰ

b 8. πολλὰς] πολλὰς μονὰς B.C.D.F.G. 11. ἀσεβέσιν] εὐσεβέσιν B.D. statim ἀπειλ. B. c 2. ἀναγγελεῖ] ἀνατελεῖ B. 5. πῦρ] πῦρ αὐτῶν C.F.G. 6. ὁ Πλ.] ὁ om. B. 10. εἰπὼν om. F. d 2. ὀδύνη καὶ λύπη] καὶ om. C.D.F.G. λύπη ὀδύνη B. 3. Φάσκων etc.] ταῦτα καὶ τὰ παρ᾽ Ἑβραίοις νόμιμα, ἀλλ᾽ ἱκανούσθω καὶ τὰ περὶ τῆσδε τῆς βίβλου B. nec plura.

8 *diligentibus se.* Itemque cum illis pluribus domiciliis, quod habetur
in evangelio, *Multas apud Patrem* iis qui Deum diligunt, constitutas Joan. 14,
esse *mansiones.* Cum iis quæ de Pyriphlegethonte dicta sunt, sem- 2.
piternum ignem impiis denuntiatum, juxta illud Hebræi prophetæ,
Quis annuntiabit vobis, quod ignis ardeat? quis annuntiabit vobis locum Isa. 33,
æternum? Et rursus, *Vermis eorum non morietur, et ignis non extin-* 14.
9 *guetur, et erunt in visionem omni carni.* Quibus etiam vide quam Isa. 66.
egregie Plato consentiat, dum impios in Tartarum detrudendos fine.
affirmans, subjungit, *Unde nunquam emergant.* Itemque pios in
beatis quibusdam domiciliis victuros pronuntians, addit, *penitus,*
ævoque sempiterno. Quod autem ait, *sine ullis omnino molestiis,* nostro
10 huic geminum est, *Fugit dolor, et tristitia, et gemitus.* Denique, dum Isa. 35,
Acherontem illum subeuntes, non simpliciter eo devenire statuit, sed 10.

ἀναβαίνοντας πρότερον ἃ δὴ αὐτοῖς ὀχήματά ἐστι, τίνα ποτὲ ἄρα τὰ ὀχήματα βούλεται σημαίνειν ἢ τὰ σώματα, εἰς ἃ ἀναβᾶσαι αἱ τῶν τετελευτηκότων ψυχαὶ, σὺν αὐτοῖς τιμωροῦνται κατὰ τὰ παρ' Ἑβραίοις νενομισμένα ; Ἀλλὰ γὰρ ἱκανὴν καὶ τοῦδε τοῦ λόγου περιγραφὴν εἰληφότος, ἐπὶ τὸ δωδέκατον τῆς Εὐαγγελικῆς Προπαρασκευῆς μεταβήσομαι σύγγραμμα.

ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ. p. 570

[336]

I Ὁ ΔΩΔΕΚΑΤΟΣ ἡμῖν τῆς Εὐαγγελικῆς Προπαρασκευῆς ἐνθένδε ποθὲν ἤδη τὰ ἐνδέοντα τῷ προτέρῳ τῆς Πλάτωνος πρὸς τὰ Ἑβραίων λόγια συνῳδίας, ὡς ἐν ἁρμονίᾳ συμφώνου λύρας, ἀποδώσει, τὴν καταρχὴν ἐξ ἀπολογίας τῆς παρὰ τοῖς πολλοῖς βλασφημουμένης ἡμῶν πίστεως ληψόμενος. p. 573 b

d 5. ἀναβαίνοντας] ἀναβαίνοντες C.F.G. Tum πρῶτον D. 6. τίνα] τι C.F.G. 7. σημαίνειν] σημαίνει D. 10. νενομισμένα] νόμιμα D. 11. εἰληφότος] εἰληχότος C.F.G.

Deest liber XII. in B.

p. 573. b 11. Titulus in C. legitur post πίστεως ληψόμενος.

conscenso tantum suo quemque vehiculo : quæ tandem ipse vehicula significare vult, nisi corpora, quibus redditi defunctorum animi, simul cum iis, ut docent Hebræorum literæ, crucientur ? Verum enimvero, cum hic quoque liber justam in magnitudinem excreverit, ad duodecimum Evangelicæ Præparationis volumen transeamus.

LIBER DUODECIMUS.

I Duodecimus hic Præparationis Evangelicæ liber, quæ superiori de Platonis cum Hebræorum doctrina consensione desunt, velut apta quadam et numerosa consonantis lyræ harmonia repræsentabit, initio ex nostræ hujus, quam vulgus hominum criminatur, fidei defensione sumpto. Et Plato quidem primo de Legibus, nostram in rem percommode,

ΠΛΑΤΩΝΟΣ

2 Εἰ μὲν τοίνυν ὀρθῶς ἢ μή τις ἐπιτιμᾷ τῇ τε Λακωνικῇ καὶ c τῇ Κρητικῇ πολιτείᾳ, λόγος ἂν ἕτερος εἴη· τὰ γοῦν λεγόμενα πρὸς τῶν πολλῶν ἴσως ἐγὼ μᾶλλον ἔχοιμ' ἂν ὑμῶν ἀμφοτέρων λέγειν. Ὑμῖν γὰρ εἰ καὶ μετρίως κατεσκεύασται [337] τὰ τῶν νόμων, εἷς τῶν καλλίστων ἂν εἴη νόμων μὴ ζητεῖν τῶν νέων μηδένα ἐὰν ποῖα καλῶς αὐτῶν ἢ μὴ καλῶς ἔχει, μιᾷ δὲ φωνῇ καὶ ἐξ ἑνὸς στόματος πάντας συμφωνεῖν, ὡς πάντα καλῶς κεῖται, θέντων θεῶν· καὶ ἄν τις ἄλλως λέγῃ, μὴ ἀνέχεσθαι τὸ παράπαν ἀκούοντας· γέρων δὲ εἴ τις τι ξυννοεῖ τῶν παρ' ὑμῖν, πρὸς ἄρχοντά τε καὶ ἡλικιώτην μηδενὸς ἐναντίον d νέου ποιεῖσθαι τοὺς τοιούτους λόγους. Ὀρθότατά γε, ὦ ξένε, κελεύεις.

3 Εἰκότως δῆτα καὶ ἡ Ἑβραίων προλαβοῦσα γραφὴ τῆς τῶν θείων γραφῶν συνέσεώς τε καὶ θεωρίας τὴν πίστιν προτάττει, δι' ὧν φησὶν, Ἐὰν δὲ μὴ πιστεύσητε, οὐ μὴ συνῆτε. Καὶ αὖθις, Ἐπίστευσα, διὸ καὶ ἐλάλησα. 4 Ἔνθεν καὶ παρ' ἡμῖν τοῖς μὲν ἄρτι εἰσαγομένοις καὶ τὴν ἕξιν ἀτελέσιν, ὡς ἂν τὰς ψυχὰς νηπίοις, ἁπλούστερον ἡ

b 11. εἰ μὴ] Dedi ἢ μή. c 4. ἡμῖν F.G. 6. εἷς ἂν εἴη τῶν κ. ν. E.I. 10. κεῖνται F. ἄν τις] ἄν τι I. 11. ἄλλως] ἄλλος D. qui v. seq. om. τι. ἄλλως ἄν τις F. 12. εἴ τις ξ. τῶν παρ' ἡμῖν πρὸς F.G. τις τι] τι om. I. d 7. ἐὰν μὴ π. οὐδὲ μὴ σ. F.G. οὐδὲ μὴ I. 10. ἂν τὰς] αὐτὰς C. Supra εὐτελέσιν D.

2 Jurene, inquit, an secus, Lacedæmoniorum et Cretensium rempublicam reprehendere quis possit, alia quæstio est. Mihi quidem magis forte, quam utrique vestrum quæ a plerisque dicuntur, proferre liceat. Vobis enim, ut civilis admodum sit ac moderata legum universa ratio, hæc sane ex optimis una merito censeatur, uti ne juniorum quisquam ex legibus sinatur inquirere, quænam bene, quænam secus habeant; sed potius uti una voce omnes, unoque ore cuncta probe, tanquam diis auctoribus instituta esse consentiant: quod si quis aliter loquatur, eum ut audientes nullo modo ferant. Sin autem ex senibus cuipiam in mentem aliquid veniat, is ut vel cum magistratu, vel cum suis duntaxat æqualibus, nemine juniorum audiente, rem communicet. Optime id quidem, mi hospes. (Plato Legg. I. p. 634.)

3 Verum igitur omnino fuit, Hebræorum scripturam tanto ante præcipere, uti divinarum literarum intelligentiam ac disquisitionem fides antecedat, ut dum ait, *Nisi credideritis, non intelligetis.* Itemque, (Isa. 7, 9.)
4 *Credidi, propter quod locutus sum.* Quo quidem nos etiam consilio, (Ps. 115, 1.) quos novissime rerum in nostrarum communionem admisimus, iis

ἐν ταῖς θείαις γραφαῖς ἀνάγνωσις παραδίδοται μετὰ τοῦ
δεῖν πιστεύειν ὡς Θεοῦ λόγοις τοῖς ἐμφερομένοις παρα-
κελεύεσθαι· τοῖς δὲ τὴν ἕξιν προβεβηκόσι καὶ πολιοῖς p. 574
τὸ φρόνημα ἐμβαθύνειν καὶ δοκιμάζειν τὸν νοῦν τῶν
λεγομένων ἐπιτέτραπται. Τούτους δὲ παισὶν Ἑβραίων
δευτερωτὰς φίλον ἦν ὀνομάζειν, ὥσπερ ἑρμηνευτὰς καὶ
ἐξηγητὰς ὄντας τῆς τῶν γραφῶν διανοίας.

2 ΠΛΑΤΩΝΟΣ Οὐκοῦν τὰ μετὰ ταῦτα εἴποιμεν ἂν ἡμεῖς, ὅτι σὺ μὲν ἐπαι- b
νεῖς, ὡς ἔοικας, ὦ Τυρταῖε, μάλιστα τοὺς πρὸς τὸν ὀθνεῖόν
τε καὶ ἔξωθεν πόλεμον γιγνομένους ἐπιφανεῖς. Φαίη ταῦτα
ἄν που, καὶ ὁμολογοῖ;

Τί μήν;

2 Ἡμεῖς δέ γε ἀγαθῶν ὄντων τούτων ἔτι φαμὲν ἀμείνους
εἶναι καὶ πολὺ τοὺς ἐν τῷ μεγίστῳ πολέμῳ γιγνομένους ἀρί-
στους διαφανῶς. Ποιητὴν δὲ καὶ ἡμεῖς μάρτυρα ἔχομεν
Θέογνιν, πολίτην τῶν ἐν Σικελίᾳ Μεγαρέων, ὅς φησι, c

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος ἐν χαλεπῇ, Κῦρνε, διχοστασίῃ.

d 11. γραφαῖς om. F.
p. 574. 5. ὥσπερ om. C. post ἑρμην. F.G.I. b 3. ἂν ἡμεῖς] ἂν om. C.D.F.G.I. 4. πρὸς om. F. 5. γενομένους] γιγνομένους C. F.G.I. γιγνόμενον Plat. 6. ὁμολογεῖ D. 9. πολέμῳ om. F.G.

tanquam rudioribus adhuc et inchoatis, animoque propemodum infantibus, divinæ scripturæ lectionem simplicius ita tradimus, ut eos simul ad fidem iis quæ proponantur, tanquam Dei verbis habendam adhortemur. At quorum jam robustior mentis habitus, et cana quædam intelligentiæ vis fuerit, iis vero penetrare altius, verborumque sententiam explorare concedimus. Atque hos Hebræi deuterotas, quasi scripturarum interpretes atque explanatores vocare solebant.

2 Nos igitur, inquit Plato, eos abs te deinceps, o Tyrtæe, laudari potissimum celebrarique dixerimus, qui excellentem quandam in hostili externoque bello virtutem ostenderint. Id, opinor, ille concesserit.

Quidni enim?

Plato Legg. p. 629. 2 Nos vero, cum præstantes hos esse fateamur, tum eos qui egregia summæ virtutis maximo in bello documenta dederint, longe adhuc præstantiores esse defendimus. Cujus rei testem poëtam habemus ipsi quoque, Theognim illum, Megarensem in Sicilia civem, cujus hoc distichum est,

Cyrne, tibi argento fuerit redimendus et auro,
Cui manet in tristi seditione fides.

ΠΛΑΤΩΝΟΣ

3 Τοῦτον δέ φαμεν ἐν πολέμῳ χαλεπωτέρῳ ἀμείνονα ἐκείνου πάμπολυ γίνεσθαι, σχεδὸν ὅσον ἀμείνων δικαιοσύνης καὶ σωφροσύνη καὶ φρόνησις εἰς ταυτὸν ἐλθοῦσαι μετὰ ἀνδρίας αὐτῆς μόνης ἀνδρίας. Πιστὸς μὲν γὰρ καὶ ὑγιὴς ἐν στάσεσιν οὐκ ἄν ποτε γένοιτο ἄνευ ξυμπάσης ἀρετῆς· διαβάντες δὲ εὖ καὶ μαχόμενοι ἐθέλοντες ἀποθνήσκειν ἐν τῷ πολέμῳ, φράζει Τυρταῖος, τῶν μισθοφόρων εἰσὶ πάμπολλοι, ὧν οἱ πλεῖστοι d γίγνονται θρασεῖς καὶ ἄδικοι καὶ ὑβρισταὶ καὶ ἀφρονέστατοι

4 σχεδὸν ἁπάντων, ἐκτὸς δή τινων εὖ μάλα ὀλίγων. Ποῖ δὴ τελευτᾷ νῦν ἡμῖν οὗτος ὁ λόγος; Καὶ τί φανερὸν ποιῆσαί ποτε βουληθεὶς λέγει ταῦτα; Δηλονότι τόδε, ὡς παντὸς μᾶλλον καὶ ὁ τῇδε ὁ παρὰ Διὸς νομοθέτης, πᾶς τε οὗ καὶ σμικρὸν ὄφελος, οὐκ ἄλλο ἢ πρὸς τὴν μεγίστην ἀρετὴν μάλιστα βλέπων ἀεὶ θήσει τοὺς νόμους· ἔστι δ', ὥς φησι Θέογνις, αὕτη πιστότης ἐν τοῖς δεινοῖς, ἥν τις δικαιοσύνην ἂν τελείαν ὀνομάσειε.

5 Καὶ παρ' ἡμῖν ὁ σωτήριος λόγος ὁμοῦ συζεύξας τῇ πίστει τὴν φρόνησιν τὸν κατ' ἀμφότερα κεκοσμημένον p. 575

c 7. ἀμείνονα] ἀμείνω D.F.G.I. Mox καὶ σωφροσύνη excidit ex ed. Viger. neque habet E. 8. ταυτὸ ἐλθοῦσα] ταυτὸν ἐλθοῦσαι C. ταὐτὸν ἐ. G.I. 9. ἀνδρείας] ἀνδρίας C.F.G.I. qui pergunt, αὐτῆς μόνος (μόνον F.G.I.) ἀνδρίας. Vide Bœckium ad l. Platonis. 11. καὶ εὖ] εὖ καὶ C.E.F.G.I. 12. ἐν τῷ] ἐν ᾧ C.D.E.F.G.I. d 4. ποῖ] πῇ E. 5. ποιῆσαί ποτε] ποτε ποιῆσαι C.F.G. ποιεῖται (σαι supra) D. ποτε om. E.I. 6. τόδε] τῇδε E.I.

3 Atque hunc in bello graviore, tanto fere altero illo præstantiorem esse dicimus, quanto excellentior æquitas illa fuerit, quæ cum temperantia, prudentia, ipsaque adeo fortitudine conjungetur. Nam qui fidelis ac sanus media in dissensione persistet, is profecto nullam non virtutem habeat necesse est. At vero mercenarii plerique, quod ipsum Tyrtæus cecinit, ubi hostilem in regionem trajecerint, strenue dimicantes libenter in bello moriuntur; quorum tamen permulti audaces, injuriosi, contumeliosi, atque

4 omnium, si paucissimos excipias, amentissimi sunt. Verum, quo tandem spectat genus hoc orationis, aut quid efficere ac demonstrare contendit? Illud nimirum: præ cæteris quidem eum, qui leges hic auctore Jove condiderit, sed tamen quemlibet etiam alium, qui modo prodesse vel utcunque volet, aliud omnino nihil in ferendis legibus, quam virtutem maximam præ oculis habiturum. Est autem hæc virtus, ut Theognis ait, illa duroribus temporibus fidelitas, quam perfectam justitiam merito nominaris.

5 Quæ cum salutari evangelio præclare sane conveniunt, ubi Servator quoque noster prudentiam cum fide conjungens, utraque præditum

τοῖς αὐτοῦ λόγοις ἐγκρίνει λέγων, Τίς ἄρα ἐστὶν ὁ πιστὸς
καὶ φρόνιμος οἰκονόμος; Καὶ αὖθις, Εὖ δοῦλε ἀγαθὲ καὶ
πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω.
Σαφῶς γοῦν ἐν τούτοις οὐ τὴν ἄλογον πίστιν ἀποδέ-
χεσθαι παρίστησιν, ἀλλὰ τὴν ταῖς μεγίσταις ἀρεταῖς
συνεζευγμένην, εἰ δὴ τοιαῦται φρόνησις καὶ ἀγαθοσύνη.

3 Εἴς τινα γὰρ οὖν μοι καιρὸν φαινόμεθα τοὺς ἔμπροσθεν b 6
ΠΛΑΤΩΝΟΣ [338] λόγους διεξελθεῖν, ὡς ἄρα αἱ τῶν τελευτησάντων ψυχαὶ δύνα-
μιν ἔχουσί τινα τελευτήσασαι, καὶ τῶν κατὰ ἀνθρώπους πρα- c
γμάτων ἐπιμελοῦνται. Ταῦτα ἀληθεῖς μὲν, μακροὶ δέ εἰσι
περιέχοντες λόγοι. Πιστεύειν δὲ ταῖς τε ἄλλαις φήμαις
χρεὼν περὶ τὰ τοιαῦτα, οὕτω πολλαῖς καὶ σφόδρα παλαιαῖς
οὔσαις· πιστεύειν δὲ καὶ τοῖς νομοθετοῦσι ταῦθ' οὕτως ἔχειν,
ἄν περ μὴ παντάπασιν ἄφρονες φαίνωνται.

2 Καὶ ἐν τῇ βίβλῳ δὲ τῶν Μακκαβαίων λέγεται Ἱερεμίας ὁ προφήτης μετὰ τὴν ἀπαλλαγὴν τοῦ βίου εὐχόμε-

p. 575. 2. ἐστὶν] ἔσται I. 3. οἰκονόμος καὶ φρόνιμος] καὶ φρ. οἰκ. C.E.F.G.I. εὖ] εὖ γε F. 6. ἀποδέχεσθαι] ἀποδέχεται E. 8. τοιαῦται] τοιαῦτα C.F.G. b 6. εἴς τινα] ἔτι τίνα C.G. 9. καὶ] ἢ Plat. καὶ κατὰ ἀνθ. E. c. ταῦτα] ταύτῃ C.F.G. 5. ταῖς νομοθετούσαις D. 7. φαίνονται] φαίνωνται E. φαίνονται F.G.

Mat. 24, 46. Mat. 25, 21. suis ita verbis commendat ac probat, *Quis putas fidelis servus et prudens?* Et rursus, *Euge serve bone et fidelis, super pauca fuisti fidelis, supra multa te constituam.* Quibus quidem manifeste declarat, eam sibi demum probari fidem, non quæ præceps ac temeraria, sed quæ virtutibus maximis conjuncta sit, quales utique prudentiæ ac probitatis nomine intelligit.

3 Plato p. 926. extr. Mihi quidem opportune videtur, inquit Plato, superioribus a nobis disputationibus constitutum id fuisse, defunctorum animos, posteaquam ex corpore migraverint, rerum humanarum curam vi quadam propria suscipere. Id quod rationibus veris illis quidem, sed longioribus probari solet. Verum hoc in genere, cum aliis quæ hac de re non vulgo tantum et passim, sed etiam ex omni memoria celebrantur, habenda fides; tum etiam legislatoribus ita statuentibus, nisi tamen eos amentes omnino fuisse velis.

2 Hæc Plato. Atqui, Maccabæorum etiam in libro, visus Hieremias dicitur, cum vita jam functus esset, orare pro populo, quasi hominum

νος ὁρᾶσθαι ὑπὲρ τοῦ λαοῦ, ὡς φροντίδα ποιούμενος τῶν ἐπὶ γῆς ἀνθρώπων. Δεῖν δέ φησι καὶ ὁ Πλάτων τού- d τοις πιστεύειν.

ΠΛΑΤΩΝΟΣ

4 Λόγων δὲ διττὸν εἶδος· τὸ μὲν ἀληθές, ψεῦδος δὲ ἕτερον. Ναί. Παιδευτέον δὲ ἐν ἀμφοτέροις, πρότερον δὲ ἐν τοῖς ψευδέσιν. Οὐ μανθάνω, ἔφη, πῶς λέγεις. Οὐ μανθάνεις, ἦν δ' ἐγώ, ὅτι πρῶτον τοῖς παιδίοις μύθους λέγομεν. Τοῦτο δέ που ὡς τὸ ὅλον εἰπεῖν ψεῦδος, ἔνι δὲ καὶ ἀληθῆ. Πρότερον δὲ μύθοις πρὸς τὰ παιδία ἢ γυμνασίοις χρώμεθα. Ἔστι p. 576 ταῦτα.

2 Ταῦτα ὁ Πλάτων. Καὶ παρ' Ἑβραίοις δὲ τὰς τῆς ἐνθέου γραφῆς ἱστορίας τοῖς νηπίοις τὰς ψυχὰς ἁπλούστερον ὥσπερ τινὰς μύθους ἔθος ἐστὶ παραδιδόναι, τοῖς δ' ἐγγεγυμνασμένοις τὴν ἕξιν τὰς τῶν λόγων βαθυτέρας καὶ δογματικὰς θεωρίας διὰ τῆς καλουμένης δευτερώσεως καὶ σαφηνείας τῶν λανθανόντων τοὺς πολλοὺς νοημάτων.

d 7. τὸ δὲ ψευδὲς] ψεῦδος δὲ ἕτερον C.F.G.I. ult. μύθους] μῦθον C.G.I. τοῖς παιδίοις—πρότερον δὲ ex ed. Viger. exciderunt.
p. 576. ἢ γυμν.] ἢ om. C.D.F.G. Mox ἔστι ταῦτα D. in marg. 5. δ' ἐγγυμ.] δὲ γυμν. C. ἐγγυμνασαμένοις E.I. δ' ἐγγυμν. F.G.

adhuc in terris degentium saluti prospiceret. Quibus Plato fidem adhibendam esse pronuntiat.

Plat. de Rep. II. p. 376. extr.

4 Orationum porro, inquit idem, genera duo sunt, verum et falsum. Ita est. Et utroque puer sic informandus erit, ut initium a falso ducatur. Quid velis equidem non satis intelligo. Tu vero, inquam, non intelligis fabulas a nobis primum narrari pueris solere: quod sane genus, ut universe loquar, in falso prope versatur, tametsi huic veri etiam aliquid aspersum est. Pueros autem in fabulis prius, quam in gymnasiis exercemus. Sane.

2 Ita Plato. Similiter Hebræis id moris est, ut hominibus animo adhuc infantibus, divinæ scripturæ historias, fabularum quarundam instar, simplicius nudiusque tradant: iis vero, quibus mentis habitus fuerit exercitatione robustior, altius illud doctrinæque plenum contemplationis genus tractare concedunt, quod illa, quam vocant, deuterosi, et illustriore quadam ignotorum vulgo sensorum explicatione continetur.

ΠΛΑΤΩΝΟΣ

5 Οὐκοῦν οἶσθ' ὅτι ἀρχὴ παντὸς ἔργου μέγιστον, ἄλλως τε b
δὴ καὶ νέῳ καὶ ἁπαλῷ ὁτῳοῦν; Μάλιστα γὰρ δὴ τότε πλάτ-
τεται καὶ ἐνδύεται τύπος, ὃν ἄν τις βούληται ἐνσημήνασθαι c
2 ἑκάστῳ. Κομιδῇ μὲν οὖν. Ἆρ' οὖν ῥᾳδίως οὕτω παρήσομεν
τοὺς ἐπιτυχόντας μύθους πλασθέντας ἀκούειν τοὺς παῖδας, καὶ
λαμβάνειν ἐν ταῖς ψυχαῖς ὡς ἐπιτοπολὺ ἐναντίας δόξας ἐκεί-
ναις, ἅς, ἐπειδὰν τελεωθῶσιν, ἔχειν οἰησόμεθα δεῖν αὐτούς;
3 Οὐδ' ὁπωστιοῦν παρήσομεν. Πρῶτον μὲν δὴ ἡμῖν, ὡς ἔοικεν,
ἐπιστατητέον τοῖς μυθοποιοῖς, καὶ ὃν μὲν ἂν καλὸν μῦθον
ποιήσωσιν, ἐγκριτέον, ὃν δ' ἂν μή, ἀποκριτέον. Τοὺς δ'
ἐγκριθέντας πείσομεν τὰς τροφοὺς τε καὶ μητέρας λέγειν d
τοῖς παισὶ, καὶ πλάττειν τὰς ψυχὰς αὐτῶν τοῖς μύθοις πολὺ
μᾶλλον ἢ τὰ σώματα ταῖς χερσίν. Ὧν δὲ νῦν λέγουσι τοὺς
πολλοὺς ἐκβλητέον.

4 Καὶ ταῦτα πρὸ τοῦ Πλάτωνος πεφύλακτο παρ' Ἑβραίοις. Οἱ γὰρ ἔχοντες πνεῦμα θεῖον, διακριτικὸν πνευμάτων, ἐδοκίμαζον τὰ ὀρθῶς καὶ ἐξ ἁγίου Πνεύματος

b 5. παντὸς ἔργου] πάντα ἔργον C. 7. ἁπαλῷ] ἁπλῶς C.F.G. c. βούληται] βούλεται C.F. τις om. I. 4. πλασθέντας om. D. post ἐπιτυχόντας Plato addit ὑπὸ τῶν ἐπιτυχόντων. 7. τελειωθῶσιν] τελεωθῶσιν C.F.G. 9. ἐπιστατέον] ἐπιστατητέον C.D.I. 10. μῦθον om. D.F.G.I. Mox πείσωμεν D. 11. δ' ἐγκ.] δέ γ' ἐγκ. C.F.G. d. τροφὰς] τροφοὺς C.D.F.G.I. 4. πολλοὺς] καλοὺς (πολ supra) D.

Plat. de Rep. p. 377.

5 Nosti vero, inquit Plato, maximi momenti esse operis cujusque principium, ac præsertim in juvene quolibet tenero adhuc atque flexibili: tum enim ea maxime, quam impressam cuique volueris, fingitur induiturque
2 forma. Prorsus id quidem. An igitur pueros, omnes promiscue fabulas, et a quocunque fictas audire, simulque animo contrarias ut plurimum iis opiniones, quas ubi maturiores fuerint, habere illos velimus, temere ac
3 leviter imbibere patiemur? Id vero nullatenus patiemur. Primum ergo nobis, ut video, in illos fabularum artifices diligenter inquirendum erit, ut quas ipsi recte et cum dignitate confinxerint, seligamus ac probemus; quas minus honeste, repudiemus: tum probatæ quæ fuerint, apud nutrices ac parentes efficiendum erit, ut eas pueris subinde narrent, quibus eorum animos multo magis fingant, quam corpora manibus. Quas autem illis nunc occinunt, eæ maximam sane partem auferendæ.

4 Et hoc ante Platonem Hebræis observatum. Apud quos, homines divino afflati spiritu, cujus est spirituum varietatem discernere, quæ recte ac Spiritus sancti magisterio, tam dicta quam scripta essent,

λεγόμενά τε καὶ γραφόμενα, τὰ δὲ μὴ τοιαῦτα ἀπεδοκίμαζον, ὥσπερ καὶ τοὺς τῶν ψευδοπροφητῶν λόγους. Ἀλλὰ καὶ τοὺς παῖδας τοὺς νηπίους ταῖς ἀπὸ τῶν θείων γραφῶν ὠφελιμωτάταις διηγήσεσιν, ὥσπερ τισὶ μυθολογίαις, γονεῦσί τε καὶ τροφοῖς ἔθος ἦν κατεπᾴδειν, προπαρασκευῆς ἕνεκα τῆς εἰς ἄνδρας αὐτοῖς ἐσομένοις θεοσεβείας.

6 Ἄκουε δή, φασί, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ p. 577 b ΠΛΑΤΩΝΟΣ
[339] μῦθον, ὡς ἐγῷμαι, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω, ἃ μέλλω λέγειν.

2 Καὶ μετ' ὀλίγα,

Τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα, οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν· τὸν δὲ ἀδίκως καὶ ἀθέως, εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι.

3 Καὶ αὖθις μετ' ὀλίγα,

Ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ

d 10. ψευδοπροφητῶν] προφητῶν C. ὡς D. pro ὥσπερ. 11. παῖδας] τοὺς παῖδας C.F.G.I. παῖδας om. D. ult. αὐτοῖς ἐσομένοις] ἐσομ. αὐτ. C.F.G.
p. 577. 7. δέ φησι D. b 2. ὄντα om. D. 4. μετελθόντα D. et mox μετὰ τέλος.

auctoritate sua comprobabant; quæ secus, abjudicabant, quales erant pseudoprophetarum voces. Imo parentes etiam atque nutritii, tenerioribus adhuc pueris, utilissimas divinis e literis narrationes, perinde ut fabulas quasdam occinere consueverant, quibus ei pietati ac religioni, quam viros deinceps profiteri oporteret, viam munirent.

6 Accipe jam, (inquit idem Plato) egregiam, quod aiunt, præclaramque narrationem. Tibi, opinor, fabula videbitur; at eam pro narratione habeo: quæ enim commemoraturus tibi sum, ea tanquam vera commemorabo. Plato Gorg. p. 523.

2 Tum paucis interjectis,

Qui juste sancteque vixisset, eum post obitum ad beatorum insulas profectum, in omni felicitate degere, malis omnibus liberatum: qui vero scelerate et impie, hunc in supplicii pœnarumque carcerem, quem Tartarum appellent, descendere.

3 Itemque paulo post,

Deinde toto illo apparatu nudatos, judicium subire oportebit, utpote

ΠΛΑΤΩΝΟΣ

δεῖ κρίνεσθαι. Καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθα- c νόντος ἑκάστου, ἔρημον πάντων τῶν συγγενῶν, καὶ καταλιπόντα ἐπὶ γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δὴ δικαία ἡ κρίσις ᾖ.

4 Καὶ ἑξῆς ἐπιφέρει,

Ταῦτά ἐστιν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ εἶναι· καὶ ἐκ τούτων τῶν λόγων τοιόνδε λογίζομαι συμβαίνειν· ὁ θάνατος τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος,
5 ἀπ' ἀλλήλοιν. Ἐπειδὰν δὲ διαλυθῆτον, οὐδὲν ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ, ἥνπερ καὶ ὅτε ἔζη ὁ ἄνθρωπος, τό τε σῶμα, καὶ τὴν φύσιν τὴν αὑτοῦ, καὶ τὰ θερα- d πεύματα, καὶ τὰ παθήματα, ἔνδηλα πάντα· οἷον, εἴ τινος ἦν μέγα τὸ σῶμα φύσει ἢ τροφῇ ἢ ἀμφότερα ζῶντος, τούτου καὶ ἐπειδὰν ἀποθάνῃ ὁ νεκρὸς μέγας· καὶ εἰ παχύς, παχὺς καὶ
6 ἀποθανόντος· καὶ τἄλλα οὕτως. Καὶ εἰ αὖ ἐπετήδευε κομᾶν,

b 10. δεῖ] δὴ C.F.G. 11. αὐτῇ δὲ] δὲ om. C.F.G.I. cum Plat. c 2. καταλείποντα] καταλιπόντα C.D.G. 5. πεπίστευκα D. 7. ὢν ὡς] ὡς E.F.G.I. οὖν ὡς Steph. 10. ἐπειδὰν δὲ] δὲ om. F.G. 11. ἔχει] ἔχειν C.G. Mox ἥνπερ D.F.G.I. ut Plat. ὅτε] ὅταν C.F.G. d. καὶ τὴν] καὶ om. I. τὴν αὐτοῦ] τὴν om. C.F.G.I. 2. καὶ om. D. 4. καὶ τούτου] τούτου καὶ C.D.E.F.G.I. 5. παχὺς sec. om. F.

quod jam mortui subituri sint. Quinetiam judex ipse nudus sit, mortuusque necesse est, qui animum cujusque repentina morte sublati animo ipso pervideat, omni propinquorum suorum comitatu, ac tota illa quam in terris ante reliquerit, pompa spoliatus, ut sua judicio integritas æquitasque constet.

4 Quibus hæc subjungit,

Hæc ego, mi Callicles, quæ auditione accepi, vera esse credo. Quibus positis ita philosophari soleo. Mors, ut mihi quidem videtur, aliud nihil est, quam duarum abs sese rerum, hoc est animi corporisque disjunctio. Post quam, pars utraque nihilo minus, quam dum homo viveret, habitum
5 quæque suum retinet. Et corpus quidem naturæ suæ conditionem, et illustria non adhibiti modo cultus, sed etiam morborum dolorumque vestigia repræsentat. Cujus enim viventis olim ingens, sive naturæ, sive alimenti, sive utriusque vi corpus fuerit, ejus quoque jam defuncti umbra
6 ingens futura est, crassiorque, si crassius, itaque de cæteris. Præterea qui comam nutriebat ornabatque studiosius, comata hunc umbra manet. Cui

ΠΛΑ-ΤΩ-ΝΟΣ

κομήτης τούτου καὶ ὁ νεκρός· ἢ μαστιγίας εἴ τις ἦν, καὶ ἴχνη
εἶχε τῶν πληγῶν οὐλὰς ἐν τῷ σώματι, ἢ ὑπὸ μαστίγων, ἢ
ἄλλων τραυμάτων ζῶν, καὶ τεθνεῶτος τὸ σῶμά ἐστιν ἰδεῖν
ταῦτα ἔχον· ἢ κατεαγότα εἴ του ἦν μέλη, ἢ διεστραμμένα
7 ζῶντος, καὶ τεθνεῶτος. Καὶ ἑνὶ λόγῳ, οἷος εἶναι παρεσκεύ-
αστο τὸ σῶμα ζῶν, ἔνδηλα ταῦτα καὶ τελευτήσαντος ἦν
πάντα, ἢ τὰ πολλὰ ἐπί τινα χρόνον. Ταὐτόν δή μοι δοκεῖ p. 578
τοῦτ' ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι, ὦ Καλλίκλεις. Ἔνδηλα
πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά
τε τῆς φύσεως, καὶ τὰ παθήματα τὰ διὰ τὴν ἐπιτήδευσιν
8 ἑκάστου πράγματος, ἣν ἔσχεν ἐν τῇ ψυχῇ ἄνθρωπος. Ἐπει-
δὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ μὲν ἐκ τῆς Ἀσίας
παρὰ τὸν Ῥαδάμανθυν, ὁ Ῥαδάμανθυς ἐκείνους ἐπιστήσας
θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς ὅτου ἐστίν· ἀλλὰ πολ-
λάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος, ἢ ἄλλου ὁτουοῦν
βασιλέως ἢ δυνάστου, κατεῖδεν οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς, b
ἀλλὰ διαμεμαστιγωμένην, καὶ οὐλῶν μεστὴν ὑπὸ ἐπιορκιῶν
καὶ ἀδικίας, ἃ ἑκάστη ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο εἰς τὴν
ψυχήν, καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζονείας, καὶ

d 7. εἴ τις] οὗτος C.F.G. ult. μετὰ D.
p. 578. μοι] δή μοι C.D.F.G. 5. τὰ διὰ] τὰ om. C.D.E.G.I. ἃ διὰ Plat. 6. ἣν om. Plat. 8. οἱ μὲν] οἶμαι C.D.E.F.G.I.
b 3. ὑπὸ] ἐπὶ I. ἑκάστῳ ἡ] ἑκάστη C.D.F.G.I. ἑκάστη ἡ E. et sic plures mss. Platonis.

verberoni plagarum vibices aut flagellis, aut aliis vulneribus inusti, vivo in corpore residebant, eosdem similiter extincti umbra præ se fert, si vivo cuipiam vel confracta, vel distorta membra fuerant, id ipsum defunctus
7 ostendit. Atque ut rem verbo absolvam, ut corpore quisque, dum viveret, comparatus fuit, ita post obitum vel omnino, vel partem sane maximam, ad tempus saltem aliquod affectus videri solet. Idem ego prorsus, mi Callicles, de animo statuendum existimo. Ubi exutus corpore animus fuerit, quicquid ipsi homo vel insitum a natura, vel a quocunque studii genere
8 impressum habuerat, id totum in illo existit etiam tum, ac cernitur. Itaque cum illi primum ad judicem pervenerunt, ut ad Rhadamanthum Asiatici, Rhadamanthus sibi quemque sistens, animum diligenter explorat, cujus tandem ille sit ignarus. Et contingit sæpenumero, ut vel rege Persarum, vel alio quopiam seu rege, seu principe correpto, hujus animum nulla sui parte sanum videat, sed perjuriorum ac maleficiorum, quæ suum cuique facinus imprimere animo solet, quibusdam quasi verberibus conscissum, vibicibusque plenum: prava similiter ob mendacium ac superbiam omnia,

ΠΛΑΤΩΝΟΣ

οὐδὲν εὐθὺ, διὰ τὸ ἄνευ ἀληθείας τετράφθαι· καὶ ὑπὸ ἐξου-
σίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρατείας τῶν πράξεων ἀσυμ-
μετρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν·
ἰδὼν δὲ, ἀτίμως αὐτὴν ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς, οἷ c
9 μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη. Προσήκει
δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπὸ ἄλλου ὀρθῶς τιμωρουμένῳ,
ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι, ἢ παράδειγμα τοῖς ἄλ-
λοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες πάσχοντα ἃ ἂν πάσχῃ,
10 φοβούμενοι βελτίους γίνωνται. Εἰσὶ δὲ οἱ μὲν ὠφελούμενοί
τε καὶ δίκην διδόντες ὑπὸ θεῶν τε καὶ ἀνθρώπων οὗτοι οἳ ἂν
ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν, ὅμως δὲ δι' ἀλγηδόνων καὶ
ὀδυνῶν γίγνεται αὐτοῖς ἡ ὠφέλεια καὶ ἐνθάδε καὶ ἐν ᾅδου·
11 οὐδὲ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. Οἳ δ' ἂν d
τὰ ἔσχατα ἀδικήσωσι, καὶ διὰ τὰ τοιαῦτα ἀδικήματα ἀνίατοι
γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίγνεται· καὶ οὗτοι
αὐτοὶ μὲν οὐκέτι ὀνίνανται οὐδὲν, ἅτε ἀνίατοι ὄντες· ἄλλοι δὲ
ὀνίνανται, οἱ τούτους ὁρῶντες διὰ τὰς ἁμαρτίας τὰς μεγίστας
[340] καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας τὸν ἀεὶ

c 5. τοῖς ἄλλοις] τοῖς om. C.F.G. Mox ἵν' ἄλλοις E. 6. πάντα D. πάσχῃ] πάσχοι C.D.F.G. Mox γίγνονται C.G. γίνονται F. 10. ἁμάρτωσιν] ἁμαρτάνωσιν C.D.F.G.I. Mox γίγνεται C.F.G. 12. οἷόν τε ἄλλως] ἄλλως οἷόν τε C.F.G. d 3. γένωνται] γίνονται C. γένωνται F. γένονται G. 4. οὗτοι om. D. 6. ἄλλοι—ὁρῶντες om. C.G. ὠνήναντο D. 7. ὀδυνηρότατα—φοβερώτατα] –ότερα –ώτερα C.F.G.

rectum nihil, quod sine ullo veritatis sensu educatus fuerit: postremo
eundem animum, quod nimiam in licentiam, luxum, contumeliam, ac petu-
lantiam effusus esset, deformitate ac turpitudine insignem animadvertat.
Tum enimvero cum ignominia, recta illum amandat in custodiam, ubi
9 dignas pœnas subire cogatur. Jam, cum quispiam, uti par est dat pœnas
alteri, eum aut meliorem inde fieri, juvarique decet, aut cæteris exemplo
10 esse, ut pœnarum, quas eum subire videant, formidine meliores fiant. Ergo
qui utilitatis suæ causa a diis pariter et hominibus puniuntur, ii sunt, qui
cum sanabilia peccata commiserint, tum vero fructum aliquem ex dolorum
sensu tam hîc, quam apud inferos capiunt; utpote qui non aliter ab suamet
11 improbitate liberari possint. At vero, qui quod atrocissima quæque per-
petrarint, insanabiles propterea fuerint, ex illis demum exempla sumuntur:
licet enim ipsimet ut curari nunquam, ita nec juvari ulla ratione possint;
plurimum tamen utilitatis hauriunt, qui eos gravissimorum criminum,
gravissimas quoque admodumque horribiles pœnas dare conspiciunt, eas-

χρόνον, ἀτεχνῶς παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν ᾅδου, ἐν ΠΛΑΤΩΝΟΣ
τῷ δεσμωτηρίῳ, τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα
12 καὶ νουθετήματα. Ὧν ἐγώ φημι ἕνα καὶ Ἀρχέλαον ἔσεσθαι,
εἰ ἀληθῆ λέγει Πῶλος, καὶ ἄλλος ὅστις ἂν τοιοῦτος τύραν-
νος ᾖ. Οἶμαι δὲ καὶ τοὺς πολλοὺς εἶναι τούτων τῶν παρα- p. 579
δειγμάτων ἐκ τυράννων καὶ βασιλέων καὶ δυναστῶν καὶ τὰ
τῶν πόλεων πραξάντων γεγονότας· οὗτοι γὰρ διὰ τὴν
ἐξουσίαν μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνουσι.
13 Μαρτυρεῖ δὲ τούτοις καὶ Ὅμηρος. Βασιλέας γὰρ καὶ δυνά-
στας ἐκεῖνος πεποίηκε τοὺς ἐν ᾅδου τὸν ἀεὶ χρόνον τιμωρου-
μένους, Τάνταλον καὶ Σίσυφον καὶ Τιτυόν. Θερσίτην δὲ,
καὶ εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης, οὐδεὶς πεποίηκε μεγά-
λαις τιμωρίαις συνεχόμενον, ὡς ἀνίατον· οὐ γάρ, οἶμαι, ἐξῆν b
14 αὐτῷ· διὸ καὶ εὐδαιμονέστερος ἦν ἢ οἷς ἐξῆν. Ἀλλὰ γάρ, ὦ
Καλλίκλεις, ἐκ τῶν δυναμένων εἰσὶ καὶ οἱ σφόδρα πονηροὶ
γιγνόμενοι ἄνθρωποι· οὐδὲ μὴν κωλύει καὶ ἐν τούτοις ἀγα-
θοὺς ἄνδρας ἐγγίγνεσθαι· καὶ σφόδρα γε ἄξιον ἄγασθαι

d 11. ἀδίκων] τῶν δικῶν C.D.E.F.G.I. 12. φημι] φημι ἕνα C.D. F.G. ult. πῶλος] παῦλος C.

p. 579. τούτων] τούτων τῶν D.F.G.I. 2. τοὺς ἐκ] τοὺς om. C.D. G.I. 3. πολέων] πολεμίων D.G. πολέμων I. 8. καὶ σ.] καὶ om. C.F.G. Tum Σύσιφον vulg. 10. ἰδιώτης] ἰδιώτις δὲ C. ἰδιώτης δὲ E.F.G.I. ἰδιώτης ἦν, ἰδιώτης δὲ D. τιμωρίαις] ἁμαρτίαις F.G. b. εὐδαιμονέστερον D. 2. δυναμένων] δυναμέων D. 4. οὐδὲ] οὐδὲν F.G.

que sempiternas: prorsus, ut illic apud inferos, illo in carcere, tanquam juge quoddam improbis eodem nullo non tempore subeuntibus spectaculum
12 ac monitum suspensi videantur. Quo quidem e numero, (si verum Polus narrat) et Archelaum, et alium quemvis similem ei tyrannum futurum pronuntio. Quin etiam tyrannos ego quamplurimos, reges item, ac principes, quique in rerumpublicarum administratione versati sint, ejusmodi exemplo jam nunc esse existimo: quod ii fere, dum sua illa potestate ab-
13 utuntur, indignissima quæque ac teterrima patrare consueverint. Cujus sane rei Homerus etiam testis est, dum reges illos ac principes Tantalum, Sisyphum, Tityum, qui pœnis apud inferos sempiternis crucientur, sua in poesi repræsentat. Nam Thersitem quidem, aut si quis ex privatis alius improbus fuerit, nemo adhuc tanquam insanabilem gravioribus suppliciis illigavit. Nec enim ipse, opinor, talis esse poterat, tanto quidem iis felicior,
14 quibus id licebat. Quanquam, mi Callicles, ex eo quidem potentiorum numero sceleratissimos esse constat; sed tamen nihil vetat, quo minus inter eos probi etiam existant aliqui, quos merito sane majorem in modum

ΠΛΑΤΩΝΟΣ

τῶν γιγνομένων. Χαλεπὸν γάρ, ὦ Καλλίκλεις, καὶ πολλοῦ
ἐπαίνου ἄξιον, ἐν μεγάλῃ ἐξουσίᾳ γενόμενον τοῦ ἀδικεῖν δι-
καίως διαβιῶναι· ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι· ἐπεὶ καὶ
ἐνθάδε καὶ ἄλλοθι γεγόνασιν, οἶμαι δὲ ἔσονται καὶ ἄλλοι
ἀγαθοὶ ταύτην τὴν ἀρετήν, τοῦ δικαίως διαχειρίζειν ἃ ἄν τις c
15 ἐπιτρέπῃ. Εἷς δὲ καὶ πάνυ ἐλλόγιμος γέγονε καὶ εἰς τοὺς
ἄλλους Ἕλληνας, Ἀριστείδης ὁ Λυσιμάχου. Οἱ δὲ πολλοὶ
ὦ ἄριστε, κακοὶ γίνονται. Τῶν δὲ δικαστῶν, ὅπερ ἔλεγον,
ἐπειδὰν ὁ Ῥαδάμανθυς ἐκεῖνος τοιοῦτόν τινα λάβῃ, ἄλλο μὲν
περὶ αὐτοῦ οὐκ οἶδεν οὐδέν, οὐδ' ὅστις οὔθ' ὧν τινῶν, ὅτι δὲ
πονηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς Τάρταρον,
ἐπισημηνάμενος, ἐάν τε ἰάσιμος ἐάν τε ἀνίατος δοκῇ εἶναι.
16 Ὁ δὲ ἐκεῖσε ἀφικόμενος τὰ προσήκοντα πάσχει. Ἐνίοτε δὲ
ἄλλην εἰσιδὼν ὁσίως βεβιωκυῖαν, καὶ μετ' ἀληθείας, ἀνδρὸς d
ἰδιώτου ἢ ἄλλου τινὸς ψυχήν, (μάλιστα μὲν ὡς ἐγώ φημι,
ὦ Καλλίκλεις, φιλοσόφου τὰ αὑτοῦ πράξαντος, καὶ οὐ πολυ-
πραγμονήσαντος ἐν τῷ βίῳ,) ἠγάσθη τε καὶ εἰς μακάρων

b 7. ἄξιον] ἄξιον ἄγασθαι τῶν γιγνομένων ἐν μ. D. 8. ἐξούσιᾳ] οὐσίᾳ D. qui mox δικαίως καὶ δ. 10. ἐνθάδε γε D. c 2. πάνυ] πάνυ γε C.D.F.G. 3. οἱ δὲ πολλοὶ] οἵ τε δὴ ἄλλοι C.D.F.G.I. οἱ δὲ ἄλλοι E. 4. κακοὶ] Καλλίκλεις ὅσοι καλοὶ γίγνονται C.E.F.G.I. Καλλίκλεις ἄριστε ὅσοι κακοὶ D. 6. λάβῃ] λάβοι D. 7. οὐδ'] οὔθ' D.F.G.I. 10. δοκῇ] δοκεῖ D. 11. ἄλλην εἰσιδὼν] Ἕλληνες ἰδὼν I. d. εἰσιδὼν] ἐσιδὼν D.F.G. 2. ψυχὴν et mox ὡς om. F.G. ψυχὴν om. I.

suspicere debeamus. Res enim perdifficilis est, mi Callicles, et summa laude digna, cum maximam habeas peccandi licentiam, juste vivere. Quales utique pauci quidam subinde existunt: nam et hîc, et alibi nonnulli jam fuere, et alii posthac, opinor, etiam futuri sunt ea virtute præ-
15 stantes, qua res fidei suæ commissæ cum æquitate tractantur. Quos inter unus ille clarissimus fuit, atque aliorum etiam Græcorum fama celeberrimus, Aristides Lysimachi filius. Ut plurimum tamen, virorum optime, potentiores improbi esse solent. Cæterum quod jam ante dixi, Rhadamanthus ille, ubi ejusmodi aliquis suas in manus venerit, nec quisnam ille sit, nec quibus natus parentibus, nec aliud omnino quicquam de ipso novit; unum hoc quippe novit, improbum illum esse: id quod ubi perspexit, in Tartarum amandat illico, simulque significat, utrum sanabilis, an
16 insanabilis esse videatur. Quo ille profectus, justo supplicio cruciatur. Idem alium quendam animum, qui sancte integreque vixerit, aliquando contemplatus, seu privati, seu alterius cujuscunque fuerit: (qualem, mi Callicles, philosophi equidem animum esse confirmo, qui res suas agens, nihil admodum hac in vita sese alienis immisceat:) laudatum eum vehe-

ΠΛΑ-ΤΩ-ΝΟΣ

17 νήσους ἀπέπεμψε. Ταὐτὰ δὲ ταῦτα καὶ ὁ Αἰακός· ἑκάτερος
δὲ τούτων ῥάβδον ἔχων δικάζει. Ὁ δὲ Μίνως ἐπισκοπῶν
κάθηται μόνος, ἔχων χρύσεον σκῆπτρον, ὥς φησιν Ὀδυσσεὺς
ὁ Ὁμήρου ἰδεῖν αὐτὸν,

> Χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν.

18 Ἐγὼ μὲν οὖν, ὦ Καλλίκλεις, ὑπὸ τούτων τῶν λόγων πέ-
πεισμαι, καὶ σκοπῶ ὅπως ἀποφανοῦμαι τῷ κριτῇ ὡς ὑγιεστά-
την τὴν ψυχήν. Χαίρειν οὖν ἐάσας τὰς τιμὰς τῶν πολλῶν p. 580
ἀνθρώπων, τὴν ἀλήθειαν ἀσκῶν πειράσομαι τῷ ὄντι, ὡς ἂν
δύνωμαι, βέλτιστος ὢν καὶ ζῆν, καὶ ἐπειδὰν ἀποθνήσκω ἀπο-
19 θνήσκειν. Παρακαλῶ δὲ καὶ τοὺς ἄλλους πάντας ἀνθρώ-
πους, καθ' ὅσον δύναμαι· καὶ δὴ καί σε ἀντιπαρακαλῶ ἐπὶ
τοῦτον τὸν βίον καὶ τὸν ἀγῶνα τοῦτον, ὃν ἐγώ φημι ἀντὶ
20 πάντων τῶν ἐνθάδε ἀγώνων εἶναι. Καὶ ὀνειδίζω σε, ὅτι οὐχ
οἷός τε εἶ σαυτῷ βοηθῆσαι, ὅταν ἡ δίκη σοι ᾖ καὶ ἡ κρίσις,
ἣν νῦν ἐγὼ ἔλεγον. Ἀλλὰ ἐλθὼν παρὰ τὸν δικαστὴν ἐκεῖ- b
νον, τὸν τῆς Αἰγίνης υἱὸν, ἐπειδάν σου ἐπιλαβόμενος ἐκεῖνος

d 6. αἰακὸς] ὁ αἰ. C.D.F.G. δὲ mox om. F.G. 7. Μίνως] μόνως E. 11. νέκυσσιν] νεκύεσσιν D.F.G. 12. μὲν οὖν] οὖν om. C F.G. ult. ἔχων om. C.F.G.I. ante τὴν ψυχήν.
p. 580. 3. δύνωμαι] δύναμαι C.F.G. 5. πάντας] ἅπαντας D. 6. καί σε] καὶ om. C.F.G.I. δὶς D. pro δή. καὶ δὴ δὲ E. 8. τῶν ἐνθάδε ἀγώνων] σῶν ἐνθάδε ἀγωνίων E. τ. ε. ἀγωνίων I. 10. εἶ σαυτῷ] ᾖς αὐτῷ C.F.G. 11. νῦν ἐγὼ] ἐγὼ νῦν C. b 2. σου] σε C.E.F.G.

17 menter ad beatorum insulas transmittit. Hæc eadem fiunt ab Æaco. Qui uterque virgam manu tenens, hoc judicium exercet. At vero Minos tanquam summus cognitor, solus aureum sceptrum præferens considet: quomodo Ulysses ille Homericus eum se vidisse testatur,

> Aurato in sceptro defunctis ponere jura.

18 Hujus ego narrationis vi atque auctoritate persuasus, o Callicles, video etiam atque etiam, quî tandem animum judici quam integerrimum exhibeam. Quare omnibus vulgi honoribus valere jussis, unius in veritatis tractatione assiduus, id omnino agam, quantum in me erit, uti et optimus
19 vivam, et moriendum cum erit, moriar optimus. Quin alios etiam omnes pro mea facultate hortor, teque adeo majorem in modum obtestor, uti hanc in vitam, atque hoc in certamen incumbas, quod aliis equidem hîc sub-
20 eundis omnibus antepono. Ac mihi tu quidem increpandus jure sis, qui opem ipse tibi ferre tum nullam poteris, cum in forum illud atque judicium, quo de jamjam abs me dictum est, adductus fueris: sed potius ubi te

ΠΛΑΤΩΝΟΣ

ἄγῃ, χασμήσῃ καὶ ἰλιγγιάσεις οὐδὲν ἧττον ἢ ἐγὼ ἐνθάδε καὶ σὺ ἐκεῖ. Καί σε ἴσως τυπτήσει τις καὶ ἐπὶ κόρρης ἀτίμως, καὶ πάντως προπηλακιεῖ.

21 Τάχα δ' οὖν ταυτὶ μῦθός σοι δοκεῖ λέγεσθαι, ὥσπερ ὑπὸ γραὸς, καὶ καταφρονεῖς αὐτῶν. Καὶ οὐδέν γ' ἂν ἦν θαυμαστὸν καταφρονεῖν τούτων, εἴ πῃ ζητοῦντες εἴχομεν αὐτῶν
22 βελτίω καὶ ἀληθέστερα εὑρεῖν. Νῦν δὲ ὁρᾷς ὅτι τρεῖς ὄντες ὑμεῖς, οἵπερ σοφώτατοί ἐστε τῶν νῦν Ἑλλήνων, σύ τε, καὶ c
[341] Πῶλος, καὶ Γοργίας, οὐκ ἔχετε ἀποδεῖξαι, ὡς δεῖ ἄλλον τινὰ βίον ζῆν ἢ τοῦτον, ὅσπερ καὶ ἐκεῖσε φαίνεται συμφέρων· ἀλλ' ἐν τοσούτοις λόγοις, τῶν ἄλλων ἐλεγχομένων, μόνος οὗτος ἠρεμεῖ ὁ λόγος, ὡς εὐλαβητέον ἐστὶ τὸ ἀδικεῖν μᾶλλον, ἢ τὸ ἀδικεῖσθαι· καὶ παντὸς μᾶλλον ἀνδρὶ μελετητέον, οὐ τὸ δοκεῖν εἶναι ἀγαθὸν, ἀλλὰ τὸ ἀγαθὸν εἶναι, καὶ ἰδίᾳ, καὶ δημοσίᾳ.

23 Ὁ μὲν δὴ Πλάτων τὸν Αἰακὸν καὶ τὸν Μίνω καὶ τὸν Ῥαδάμανθυν ὑπέθετο τῶν τετελευτηκότων δικαστὰς d
ἔσεσθαι· ὁ δὲ θεῖος λόγος μαρτύρεται πάντας δεῖν παρα-

b 3. ἐγὼ om. C. 4. σε ἴσως] σε om. C.F.G. 8. ἦν] ᾖ D. 9. ἐπιζητοῦντες D.F.I. 11. οἵπερ] εἴπερ E.I. c. νῦν om. D.E.F.G.I. 3. ἐκεῖσε] ἐκεῖ C. 7. παντὶ D. d. δικαστὰς] δικαστὴν C.F.G. 2. δεῖν] ἰδεῖν C.F.G. –στήσεσθαι] –στήσασθαι C.

judici illi Æginæ filio stiteris, correptus ab eo atque productus, nihilo sane minus quam hîc ego soleam, hiabis tu illic, atque æstuabis: eritque fortasse non nemo, qui os tibi summa cum ignominia verberet.

21 Verum hæc tu forte, sic tanquam aniles quasdam fabulas aspernaris. Equidem ea contemni facile etiam paterer, si nobis diligenter investigan-
22 tibus, melius ipsis aliquid ac verius occurreret. Nunc autem vides ipse, caussæ a vobis tribus, qui tamen Græcos hujus ætatis omnes sapientia superatis, te, inquam, et Polo, et Gorgia nihil afferri posse, quamobrem alia sit ineunda vitæ ratio, quam quæ illic etiam utilis futura videatur: sed in tanta narrationum ac disputationum copia, ut aliæ coargui vulgo refellique soleant, unam hanc tamen firmam semper immotamque consistere, *Cavendum nobis esse potius, ne injuriam faciamus, quam ne patiamur: atque hanc in curam homini, præ cæteris omnibus, incumbendum esse, non jam ut bonus videatur, sed ut bonus re ipsa sit, tam privatim, quam publice.*

23 Hactenus Plato. Et ille quidem mortuorum judices Æacum, Minoem, ac Rhadamanthum futuros esse pronuntiat: nobis autem
2 Cor. 5, 10. scriptura divina testatur, *Omnes manifestari oportere ante tribunal*

ΠΛΑΤΩΝΟΣ

στήσεσθαι τῷ βήματι τοῦ Θεοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον.
24 Καὶ πάλιν, Ἐν ἡμέρᾳ, φησὶν, ὅταν κρίνῃ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου αὐτοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον· τοῖς δ' ἐξ ἐριθείας καὶ ἀπιστοῦσι τῇ ἀληθείᾳ πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος· οὐ γάρ ἐστι διαστολή.

7 Εὐλαβοῦ μέντοι μή ποτε ἐκπέσῃ ταῦτα εἰς ἀνθρώπους p. 581 ἀπαιδεύτους· σχεδὸν γάρ, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἔστι τούτων πρὸς τοὺς πολλοὺς καταγελαστότερα ἀκούσματα, οὐδ' αὖ πρὸς τοὺς εὐφυεῖς θαυμαστότερά τε καὶ ἐνθουσιαστικώτερα. Πολλάκις δὲ λεγόμενα καὶ ἀεὶ ἀκουόμενα καὶ πολλὰ ἔτη b μόγις, ὥσπερ χρυσὸς, ἐκκαθαίρεται μετὰ πολλῆς πραγματείας.

d 3. Θεοῦ] Χριστοῦ D. 5. ὅταν κρίνῃ] ᾗ κρίνει C.F.G. κρινεῖ D. ὅτε κρίνῃ E. ὅτε κρίνει I. 8. αὐτοῦ] ἀγαθοῦ F. 11. θυμὸς καὶ ὀργὴ] ὀ. κ. θ. C.F.G.
p. 581. 4. μέντοι] δὲ C.F.G. 6. ἔστι] ἔτι C.D. 8. οὖν] αὖ C. D.F.G.I. b. καὶ πολλὰ ἔτη om. D.

Dei, ut referat unusquisque propria corporis prout gessit, sive bonum,
24 *sive malum.* Et rursus, *In die,* inquit, *quo judicabit Deus abscondita hominum, qui reddet unicuique secundum opera ejus : iis quidem, qui secundum patientiam operis ejus, gloriam et honorem, et incorruptionem quærunt, vitam æternam : iis vero, qui ex contentione sunt, et qui non acquiescunt veritati, credunt autem iniquitati, ira et indignatio, tribulatio, et angustiæ in omnem animam hominis operantis malum, Judæi primum, et Græci. Non enim est acceptio.* Rom. 2, 6.

7 At enim cave sis, inquit Plato, ne hæc unquam in hominum imperitorum aures incidant : nullum enim fere, ut mihi quidem videtur, sermonis genus est, quod magis vulgus irrideat : uti vicissim nullum est, quod hominibus egregiæ cujusdam indolis, aut suspiciendum vehementius, aut afflatus divini similius videri soleat. Et ejusmodi quidem illa sunt, quæ licet plurium annorum et frequenti prædicatione, et auditione assidua celebrentur, vix tamen, quod auro etiam usuvenit, diligenti opera studioque purgari possint, Plato Ep. II. p. 313. extr.

ΠΛΑΤΩΝΟΣ

2 Καὶ παρ᾽ ἡμῖν ὁ σωτήριος λόγος φησὶ, Μὴ δῶτε τὸ
8 ἅγιον τοῖς κυσὶ, μηδὲ βάλλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. Καὶ, Ὁ ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστί.

Καὶ δὴ καὶ ἑνὸς ἀνδρὸς, ὁπόταν καλοὶ ἐν ψυχῇ λόγοι c ἐνόντες μηδὲν ποιῶσι πλέον, ἀλλὰ δὴ τούτοις πᾶν τοὐναντίον. Ταύτας πάσας ἀμαθίας τὰς πλημμελεστάτας ἔγωγ᾽ ἂν θείην πόλεώς τε καὶ ἑνὸς ἑκάστου τῶν πολιτῶν, ἀλλ᾽ οὐ τὰς τῶν δημιουργῶν, εἰ ἄρα μου καταμανθάνετε, ὦ ξένοι, ὃ λέγω. d

Μανθάνομέν γε, ὦ φίλε, καὶ συγχωροῦμεν ἃ λέγεις.

2 Τοῦτο μὲν τοίνυν οὕτω κείσθω δεδογμένον καὶ λεγόμενον, ὡς τοῖς ταῦτα ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον [καὶ λεγόμενον,] καὶ ὡς ἀμαθέσιν ὀνειδιστέον, ἂν καὶ πάνυ λογιστικοί τε ὦσι, καὶ πάντα τὰ κομψὰ καὶ ὅσα πρὸς τάχος τῆς ψυχῆς πεφυκότα διαπεπονημένοι ἅπαντα· τοὺς δὲ τοὐναντίον ἔχοντας τούτοις ὡς σοφούς τε προσρη-

b 4. δῶτε] δότε C.F.G. qui mox τὰ ἅγια. 5. βάλητε D. 6. ὑμῶν] ἡμῶν C. et mox om. ὁ ante ψυχικὸς C.F.G.I. 8. τοῦ θεοῦ om. C.F. c 7. ἀλλὰ δὴ] ἀλλαχῇ C.D.E.F.G.I. Mox γοῦν D.E.G.I. post τούτοις. 8. τὰς om. F. d. ὃ λ.] ἃ λ. C.F. 2. γε ὦ] τε ὦ C.D.F.G.I. Mox ξυγχωροῦνται E.I. 3. τοίνυν] οὖν C.F.G. 6. καὶ λεγόμενον om. C.F.G. 7. λογιστικοὶ] λογικοὶ D. 10. τούτοις] τούτων Plat. τούτους Theodoret. 11. προσρητέον εἰ] προνοητέον ἂν D. προσρρητέον ἂν καὶ F.G.I.

2 Quam in rem, ita salutaris etiam apud nos doctrina præcipit,
Mat. 7, 6. *Nolite dare sanctum canibus, neque mittatis margaritas vestras ante*
1 Cor. 2, 14. *porcos.* Itemque, *Animalis homo non percipit quæ sunt Spiritus Dei: stultitia enim est illi.*

8 Præsertim, inquit Plato, cum egregiæ istæ hominis unius notiones animo inclusæ, nihil admodum juvare possint. Contra vero, genus hoc totum
Plato Legg. III. p. 689. ignorantiæ, cum in republica universe, tum in civibus quoque singulis, longe pessimum ac perniciosissimum existimo, non autem alterum illud quo laborent artifices: si tamen vos, hospites mei, quod abs me dicitur intelligitis.

Nos vero, amice, et probe quidem intelligimus, et libenter comprobamus.

2 Ergo constitutum id maneat, civibus rerum istarum ignaris, nihil prorsus quod cum magistratus munere conjunctum sit, mandandum esse; imo eos quoque tanquam stultos infamia notari oportere, ut disserendi facultate plurimum valeant, atque in iis omnibus, quæ vel aliquid habeant elegantiæ, vel ad acuendam ingenii celeritatem utcunque pertineant, studiose sint diligenterque versati. At vero, qui secus animo comparati fuerint, eos et

τέον, ἂν καὶ τὸ λεγόμενον μήτε γράμματα μήτε νεῖν ἐπιστῶν- ΠΛΑ-ΤΩ-ΝΟΣ
3 ται, καὶ τὰς ἀρχὰς δοτέον ὡς ἔμφροσι. Πῶς γὰρ ἄν, ὦ φίλοι, ἄνευ συμφωνίας γένοιτ' ἂν φρονήσεως καὶ τὸ σμικρό- p. 582
τατον εἶδος; Οὐκ ἔστιν. Ἀλλ' ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφωνιῶν μεγίστη δικαιότατα λέγοιτ' ἂν σοφία· ἧς ὁ μὲν κατὰ λόγον ζῶν μέτοχος, ὁ δὲ ἀπολειπόμενος οἰκοφθόρος, καὶ περὶ πόλιν οὐδαμῇ σωτήρ, ἀλλὰ πᾶν τοὐναντίον ἀμαθαίνων εἰς ταῦτα ἑκάστοτε φανεῖται.

4 Ταῦτα μέν μοι ἀπὸ τῶν Νόμων κείσθω. Ὁ δ' αὐτὸς καὶ ἐν Πολιτικῷ περὶ τοῦ μὴ πάνυ τι περὶ τὰ ὀνόματα b
[342] καὶ τὰς λέξεις σπουδάζειν τάδε φησί·

Καλῶς, ὦ Σώκρατες· κἂν διαφυλάξῃς τὸ μὴ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι, πλουσιώτερος εἰς τὸ γῆρας ἀναφανήσῃ φρονήσεως.

9 Τῆς παρ' Ἑβραίοις γραφῆς πρῶτον εἰσαγούσης Μω- c
σέα παραιτούμενον τὴν τοῦ λαοῦ προστασίαν δι' ὧν πρὸς τὸν χρηματίζοντα ἔφησε, Δέομαι Κύριε, προχείρισαι

d 12. ἐπίστανται] ἐπιστῶνται E.I.
p. 582. 4. λέγοιτ'] λέγει τ' C. 6. περὶ πόλιν] περιπολεῖν C.D.E. F.G.I. 7. ἀμανθαίνων I. 10. τι] τοι D.F.G. c 4. ἔφησε] ἔφη C.F.G.

sapientes appellandos, tametsi, (quod vulgo dicunt) neque literas ipsi, neque nere noverint, et tanquam vere prudentes magistratibus ornandos esse.
3 Nam, quomodo tandem, o amici, vel tenuissima quædam existat prudentiæ species, ubi nullus consensioni locus? Fieri non potest. Atqui pulcherrima sane omnium, summaque consensio, summa jure optimo sapientia nominetur: qua quidem ut præditus ille omnis est, qui ducem vitæ rationem sequatur; ita quisquis etiam caruerit, is et familiæ suæ pestem creabit, nec ullo modo reipublicæ utilis esse poterit, sed potius quod ab hoc cognitionis genere imparatus sit, in plerisque omnibus damno ac detrimento erit.

4 Hæc ipse in Legibus. Idemque in Politico, ubi parum admodum nos de verbis ac vocibus solicitos esse jubet: Plato Polit. p. 261 e.

Recte, inquit, mi Socrates: qui si exquisitam verborum curam defugeris, majores prudentiæ divitias senectuti tuæ comparabis.

9 Hebraica docet historia, primum omnium Moysem populi principatum deprecatum esse, ubi suum illum et oraculorum et consiliorum auctorem ita compellat, *Obsecro Domine, produc alium qui id possit,* Exo. 4, 13.

ἄλλον τὸν δυνάμενον, ὃν ἀποστελεῖς, κἄπειτα τὸν Σαοὺλ κρυπταζόμενον πρὸς τὸ μὴ ἀναδέξασθαι τὴν βασιλείαν, καὶ τὸν προφήτην Ἱερεμίαν ὑποπαραιτούμενον, ἐπάκουσον ὅπως καὶ ὁ Πλάτων τὸ εὔλογον τῆς παραιτήσεως συνίστησι, λέγων οὕτως·

ΠΛΑΤΩΝΟΣ

2 Οὐκοῦν, ὦ Θρασύμαχε, τοῦτο ἤδη δῆλον, ὅτι οὐδεμία τέχνη d οὐδὲ ἀρχὴ τὸ αὑτῇ ὠφέλιμον παρασκευάζει, ἀλλ', ὅπερ πάλαι ἐλέγομεν, τὸ τῷ ἀρχομένῳ καὶ παρασκευάζει καὶ ἐπιτάττει, τὸ ἐκείνου συμφέρον ἐλάττονος ὄντος σκοποῦσα, ἀλλ' οὐ
3 τὸ τοῦ κρείττονος. Διὰ δὴ ταῦτα ἔγωγε, ὦ φίλε Θρασύμαχε, καὶ ἄρτι ἔλεγον μηδένα ἐθέλειν ἑκόντα ἄρχειν καὶ τὰ ἀλλότρια κακὰ μεταχειρίζεσθαι ἐπανορθοῦντα, ἀλλὰ μισθὸν αἰτεῖν, ὅτι ὁ μέλλων καλῶς τῇ τέχνῃ πράξειν, οὐδέποθ' ἑαυτῷ τὸ βέλτιστον πράττει οὐδ' ἐπιτάττει κατὰ τέχνην ἐπιτάττων, ἀλλὰ τῷ ἀρχομένῳ. Ὧν δὴ ἕνεκα, ὡς ἔοικε, μισθὸν δεῖ ὑπάρχειν τοῖς μέλλουσιν ἐθελήσειν ἄρχειν, ἢ ἀργύριον ἢ τιμὴν, ἢ ζημίαν, ἐὰν μὴ ἄρχῃ.

c 8. ὑπάκουσον] ἐπάκουσον C.F.G. ἐπάκουε E. d. αὑτῇ] αὑτῷ E.I. 2. ἐλέγομεν] ἐλέγετο (ομεν above) D. ἐλέγετο F.G. ἀλλ' ὅπερ—παρασκευάζει E.I. om. 9. ὁ μέλλων] ὁ om. C.E.F.G.I. Tum κακῶς D. 11. κατὰ τέχνην] οὐδ' ἐπιτάττει κατὰ τὴν τ. C.F.G. πράξει (ττει above) οὐδ' ἐπιτάττει D. πράττει οὐδὲ ἐπιτάττει E.I. 12. μισθὸν ὡς ἔοικε] ὡς ἔ. μ. C.F.G.I. 14. ἄργυρον F.G.

quem missurus sis. Deinde Saülem quoque latebras quæritantem, ne regnum susciperet, ac prophetam Hieremiam munus impositum detrectanti similem facit. Quod magistratus deprecandi consilium, audi quemadmodum Plato tanquam æquum honestumque laudet :

Plato Rep. I. p. 346.

2 Manifeste igitur, inquit, confectum id est, mi Thrasymache, artem nullam, magistratumque nullum suæ utilitati servire: sed potius, quod jam a nobis tanto ante dictum est, id unum quod subditis commodo esse possit, non comparare modo, sed etiam imperare : ita ut inferioris semper,
3 non autem superioris rationibus consulat. Quapropter hoc etiam, Thrasymache suavissime, jamjam abs me addebatur, neminem sua sponte ac volentem imperare, alienorumque malorum curationem suscipere, sed mercedem flagitare: quod is qui arte bene uti volet, suæ nunquam, si modo artis ductum imperando sequetur, sed inferioris duntaxat, utilitati prospiciet. Ac propterea quos libentius imperare voles, iis, opinor, aut aliquod sive argenti, sive honoris præmium omnino proponendum erit, aut certe inferendus pœnæ metus, ni capessant imperium.

10 Τῶν παρ' Ἑβραίοις λογίων τοὺς παρ' αὐτοῖς προ- p. 583
φήτας καὶ δικαίους ἄνδρας ὕβρεις ἐσχάτας καὶ προπη-
λακισμοὺς πάντα τε κίνδυνον εὐθαρσῶς ὑπομεῖναι διδα-
σκόντων, τὰ συνῳδὰ τῆς Πλάτωνος καὶ περὶ τούτου b
δόξης μάθοις ἂν ἀπὸ τῶνδε αὐτοῦ τῶν φωνῶν, ἃς ἐν τῷ
δευτέρῳ τέθειται τῆς Πολιτείας·

2 Τὸν δ' οὖν τοιοῦτον θέντες τὸν δίκαιον αὖ παρ' αὐτὸν ΠΛΑΤΩΝΟΣ
ἱστῶμεν τῷ λόγῳ, ἄνδρα ἁπλοῦν καὶ γενναῖον, κατ' Αἰσχύ-
λον οὐ δοκεῖν ἀλλ' εἶναι ἀγαθὸν ἐθέλοντα. Ἀφαιρετέον δὲ
τὸ δοκεῖν. Εἰ γὰρ δόξει δίκαιος εἶναι, ἔσονται αὐτῷ τιμαὶ
καὶ δωρεαὶ δοκοῦντι τοιούτῳ εἶναι. Ἄδηλον οὖν εἴτε τοῦ
δικαίου εἴτε τῶν δωρεῶν τε καὶ τιμῶν ἕνεκα τοιοῦτος εἴη.
3 Γυμνωτέος δὴ πάντων πλὴν δικαιοσύνης, καὶ ποιητέος ἐναν- c
τίως διακείμενος τῷ προτέρῳ· μηδὲν γὰρ ἀδικῶν δόξαν ἐχέτω
τῆς μεγίστης ἀδικίας, ἵνα βεβασανισμένος ᾖ εἰς δικαιοσύνην,
τῷ μὴ τέγγεσθαι ὑπὸ κακοδοξίας, καὶ τῶν ἀπ' αὐτῆς γιγνο-

b 6. δοκεῖν] δοκεῖ D. 9. τοιούτω (ῦτο) D. 11. δὴ] δὲ C.F.G. δε (η) D.
c. ποιητέος] ποιητέον F. 4. τῷ μὴ] τὸ μὴ E. 5. τέγγεσθαι] τέγκεσθαι (τέγγεσθαι) C.F. γενέσθαι D. κακοδοξίας] κενοδοξίας C.F.G.

10 Hebræorum ex oraculis intelligimus, cum illorum prophetas, tum alios etiam integritate præstantes, indignissimas quasque injurias atque contumelias, nullumque non periculum fortiter pertulisse. Quo in genere, quam Platoni cum ipsis egregie conveniat, ex iis quæ secundo de Republica scripsit, intelliges,

2 Nunc igitur, inquit, constituta hac injusti hominis specie, alterum cum eo justum oratione nostra conferamus, virum simplicem ac generosum, quique (ut Æschylus ait,) probus esse, non videri velit. Et quidem, removenda nobis ab eo viri boni species omnis est. Nam si justus esse videbitur, eam opinionem honores continuo muneraque sequentur. Ita dubitari merito poterit, utrum æquitatis studio, an munerum atque ho-
3 norum spe, talem vitæ rationem ineat. Rebus igitur omnibus, præterquam justitia, spoliandus erit, eique contrarius omnino priori illi sensus, successusque tribuendus. Idem enim et omni careat injustitia, et summæ tamen injustitiæ reus habeatur; ut hoc quasi probatam ac testatam examine justitiam habeat, dum nullo modo vel infamia, vel iis quæ infamiam sequi

Plato de Rep. p. 361.

ΠΛΑΤΩΝΟΣ

μένων· ἀλλ' ἔστω ἀμετάστατος μέχρι θανάτου, δοκῶν μὲν εἶναι ἄδικος διὰ βίου, ὢν δὲ δίκαιος.

4 Καὶ μετὰ βραχέα ἐπιλέγει·

Λεκτέον οὖν· καὶ δή, κἂν ἀγροικοτέρως λέγηται, μὴ ἐμὲ οἴου λέγειν, ὦ Σώκρατες, ἀλλὰ τοὺς ἐπαινοῦντας πρὸ δικαιοσύνης ἀδικίαν. d Ἐροῦσι δὲ τάδε, ὅτι οὕτω διακείμενος ὁ δίκαιος μαστιγώσεται, στρεβλώσεται, δεδήσεται, ἐκκοπήσεται τὼ ὀφθαλμώ, τελευτῶν πάντα κακὰ παθὼν ἀνασκινδυλευθήσεται, καὶ γνώσεται ὅτι οὐκ εἶναι δίκαιον ἀλλὰ δοκεῖν δεῖ ἐθέλειν.

5 Ταῦτα λόγοις ὁ Πλάτων· ἔργοις δὲ πολὺ πρότερον οἱ παρ' Ἑβραίοις δίκαιοι καὶ προφῆται μνημονεύονται τὰ εἰρημένα πάντα πεπονθέναι. Οἵ γε δικαιότατοι ὄντες, ὡς ἀδικώτατοι ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς καὶ αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς,

c 6. ἔστω] ἔσται E.I. 8. ὢν δὲ δίκαιος ex Platone dedit Vigerus. 10. λέγειν om. I. d 5. κακὰ παθὼν] κακοπαθῶν C.F.G. 13. καὶ αἰγ.] ἐν αἰγ. F.G.I. 14. θλιβόμενοι om. F.G.I.

solent, movebitur, sed inconcussus ad mortem usque persistet, ita quidem, ut quamdiu vixerit, et justitiam colat, et injustus esse videatur.

4 Quibus paulo post ita subjungit.

Dicendum igitur. In quo si quid erit horridius, existimes velim, mi Socrates, id non tam abs me, quam ab iis dici, qui justitiæ injustitiam anteponunt. Futurum quippe dictitabunt, ut justus ille sic animo comparatus, cædatur, torqueatur, vinciatur, excæcetur, mala denique perpessus omnia in crucem agatur, sicque demum agnoscat, id homini expetendum esse, non justus ut sit, sed ut esse videatur.

5 Hæc Plato quidem, sed verbis tenus. Quæ apud Hebræos, omnia longe ante cum alii plerique justi, tum etiam prophetæ re ipsa pertulisse memorantur: quippe qui justissimi cum essent, tanquam injustissimi, *Lapidati sunt, secti sunt, in occisione gladii mortui sunt, circuierunt in melotis, et pellibus caprinis, egentes, angustiati, afflicti, in solitudinibus errantes, in montibus et speluncis, et foraminibus terræ,*

Hebr. 11, 37.

6 ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. Καὶ οἱ ἀπόστολοι δὲ τοῦ
[343] Σωτῆρος ἡμῶν τὴν ἀνωτάτω δικαιοσύνην τε καὶ εὐσέ- p. 584
βειαν μετιόντες, δόξαν δὲ ἀδικίας παρὰ τοῖς πολλοῖς περιβαλλόμενοι, ὁποῖα ἔπασχον, αὐτῶν πάρεστιν ἐπακοῦσαι λεγόντων· Θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις. Καὶ μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν· λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, δυσφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρ-
7 ματα τοῦ κόσμου ἐγενήθημεν. Ἀλλὰ καὶ εἰσέτι δεῦρο οἱ
γενναῖοι τοῦ Σωτῆρος ἡμῶν μάρτυρες καθ' ὅλης τῆς ἀν- b
θρώπων οἰκουμένης οὐ τὸ δοκεῖν ἀλλὰ τὸ εἶναι δίκαιοί τε καὶ εὐσεβεῖς ἀσκοῦντες ὅσα δὴ κατέλεξεν ὁ Πλάτων πεπόνθασιν· ἐπεὶ καὶ ἐμαστιγώθησαν, δεσμά τε καὶ στρέβλας ὑπέμειναν, καὶ μὴν καὶ ἐξεκόπησαν τὼ ὀφθαλμώ, καὶ τέλος πάντα τὰ δεινὰ παθόντες ἀνεσκινδυλεύθησαν. Ὧν οὐδένα παρ' Ἕλλησιν ἐπιζητήσας ὅμοιον ἂν εὕροις, ὡς εἰκότως τινὰ φάναι τὸν φιλόσοφον οὐδὲν ἕτερον ἢ

ἀπόστολοι ult. μαθηται D.
p. 584. b. τῶν ἀνθ.] τῶν om. C.E.F.G.I. 5. ὑπέμειναν καὶ μὴν] ὑπομεμενήκασι ναὶ μὴν C.F.G. ὑπομεμνήκασι item E.I.

6 *quibus dignus non erat mundus.* Quin et nostri quoque Servatoris apostoli, dum cœlestem illam divinamque justitiam, atque religionem sectantes, improbitatis opinione passim laborarent, quam gravia sustinuerint, ex hac ipsorum voce constare nobis poterit, *Spectaculum* 1 Cor.
facti sumus mundo, et angelis, et hominibus. Et, *Usque in hanc* 4, 9.
horam, et esurimus, et sitimus, et nudi sumus, et colaphis cædimur, et Ib. 11.
instabiles sumus. Maledicimur, et benedicimus; persequutionem patimur, et sustinemus; blasphemamur, et obsecramus: tanquam purga-
7 *menta hujus mundi facti sumus.* Et huc usque profecto, strenui illi Servatoris nostri martyres ubique locorum et gentium, dum id studiosissime agerent, ut justi ac religiosi non viderentur, sed essent, ea quæ Plato commemorat omnia subierunt. Nam cæsi, vincti, torti, excæcati, gravia denique perpessi omnia, postremo in crucem etiam acti sunt. Quorum neminem apud Græcos similem reperias; hoc ut merito dici queat, philosophum hoc orationis genere aliud egisse

θεσπίσαι διὰ τούτων περὶ τῶν παρ' ἡμῖν διαπρεπόντων c ἐν εὐσεβείᾳ καὶ ἀληθεῖ δικαιοσύνῃ.

11 Μωσέως κατά τινας ἀπορρήτους λόγους ἐν ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως Θεοῦ τινὰ παράδεισον γεγονέναι φάντος, κἀν τούτῳ τὸν ἄνθρωπον ἠπατῆσθαι διὰ τῆς γυναικὸς πρὸς τοῦ ὄφεως, ἄντικρυς μονονουχὶ τὰ ῥήματα d μεταποιήσας ὁ Πλάτων, ἐπάκουσον οἷα ἐν Συμποσίῳ καὶ αὐτὸς ἀλληγορῶν τέθεικεν· ἀντὶ μὲν τοῦ παραδείσου τοῦ Θεοῦ κῆπον Διὸς ὀνομάσας, ἀντὶ δὲ τοῦ ὄφεως καὶ τῆς πρὸς αὐτοῦ γενομένης ἀπάτης Πενίαν ἐπιβουλεύουσαν ὑποθέμενος, ἀντὶ δὲ τοῦ πρώτου ἀνδρὸς, ὃν ἡ τοῦ Θεοῦ μῆτίς τε καὶ πρόνοια υἱὸν ὥσπερ ἀρτιγενῆ προὐβέβλητο, υἱὸν Μήτιδος Πόρον ἀποκαλέσας, ἀντὶ δὲ τοῦ φάναι, ὁπηνίκα συνίστατο ὅδε ὁ κόσμος, ὅτε ἐγένετο ἡ Ἀφροδίτη, εἰπὼν, οὕτω τὸν κόσμον ἀλληγορήσας τοῦ περὶ αὐτὸν κάλλους ἕνεκα. Λέγει δ' οὖν αὐτοῖς ῥήμασιν τάδε·

ΠΛΑΤΩΝΟΣ

2 Ὅτε ἐγένετο ἡ Ἀφροδίτη, εἱστιῶντο οἱ θεοὶ, οἵ τε ἄλλοι p. 585

d 2. οἷα ἐν συμπ.] ἐν συμπ. οἷα C.E.F.G.I. 3. τέθεικεν] τέθειται C.F.G.I. 9. πόρον] πῶρον C.D.I. et sic infra. ult. ὧδε] τάδε C.F.G.I.

nihil, quam ut nostros quondam illos, religionis ac veræ justitiæ laude clarissimos prædiceret.

11 Sub ipsa conditi mundi cunabula, Dei Paradisum aliquem extitisse, ubi homo a serpente per mulierem in fraudem inductus fuerit, Moses arcana quadam oratione commemorat. Hujus verba palam tantum et aperte non immutata, audi sis quemadmodum in Symposio allegorice Plato expresserit. Quem enim ille Dei Paradisum, hic Jovis hortum appellavit: serpentis ac fraudis per eum concinnatæ loco, insidiantem Paupertatem introduxit: primi hominis vice, quem Dei consilium ac providentia, tanquam filium paulo ante natum produxerat, Porum quendam Metidos (hoc est consilii) filium subjecit: pro eo denique, ut conditi mundi sub cunabula diceret, sub Veneris ortum dicere maluit, ut hoc allegoriæ genere mundi speciem ac pulchritudinem adumbraret. Sic igitur ad verbum ipse loquitur:

Plato Symp. p. 203.

2 Nata Venus cum esset, inquit, convivium dii celebrarunt, quos inter

καὶ ὁ τῆς Μήτιδος υἱὸς Πόρος. Ἐπειδὴ δὲ ἐδείπνησαν, προσαιτήσουσα, οἷα δὴ εὐωχίας οὔσης, ἀφίκετο ἡ Πενία, καὶ ἦν περὶ τὰς θύρας. Ὁ οὖν Πόρος μεθυσθεὶς τοῦ νέκταρος, οἶνος γὰρ οὔπω ἦν, εἰς τὸν τοῦ Διὸς κῆπον εἰσελθὼν βεβαρημένος εὗδεν. Ἡ οὖν Πενία ἐπιβουλεύουσα διὰ τὴν αὑτῆς ἀπορίαν παιδίον ποιήσασθαι ἐκ τοῦ Πόρου, κατακλίνεταί τε παρ' αὐτῷ καὶ ἐκύησε τὸν Ἔρωτα. ΠΛΑΤΩΝΟΣ

Τοιαῦτα μὲν δή τινα καὶ ἐν τούτοις ὁ Πλάτων ἐμφερῶς Μωσεῖ ὑπηνίξατο. b

12 Πάλιν εἰρηκότος Μωσέως, Τῷ δὲ Ἀδὰμ οὐκ ἦν βοηθὸς ὅμοιος αὐτῷ. Καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, c καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς. Καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ, εἰς γυναῖκα· μὴ συνεὶς ὁ Πλάτων οἵᾳ εἴρηται διανοίᾳ, δῆλος μέν ἐστιν οὐκ ἀγνοήσας τὸν λόγον· Ἀριστοφάνει δ' αὐτὸν, οἷα κωμῳδῷ χλευάζειν εἰωθότι καὶ τὰ σεμνὰ τῶν

p. 585. 3. προσαιτήσουσα οἷα] προσαίτις οὖσα οἷον C.F.G. προσαῖτις οὖσα E.I. προσαίτης οὖσα D. 4. τὰς] τῆς E.I. 10. παρ' αὐτῷ om. F. τοιαῦτα μὲν δή τινα] ταῦτα δή τινα C.F.G. b 7. ἐπέβαλεν] ἐπέβαλλεν D. ἐπ' αὐτὸν καὶ ἀφύπνωσε] ἐπὶ τὸν ἀδὰμ καὶ ὕπνωσε C. ὕπνωσε item E.I. omisso infra αὐτοῦ E. ὕπνωσε F.G. c 5. ὁποίᾳ] οἵᾳ C.D.F.G. 6. Ἀριστοφάνη F.G.

Porus etiam Metidis filius discubuit. Cœnæ sub exitum, Paupertas eo, ut pote lautum ad epulum, aliquid emendicatura sese contulerat, hærebatque in vestibulo : cum Porus nectare ebrius, necdum enim vinum ullum erat, Jovis in hortum ingressus, alto somno corripitur. Hîc Paupertas occulte ac per insidias id agens, ut inopiæ sublevandæ caussa, prolem ex Poro susciperet, juxta illum accubuit, Amoremque concepit.

Hæc ipse, quibus sane mentem illam Mosis, subobscure licet, expressit.

12 Præterea quod ait Moses, *Adæ vero non erat adjutor similis ejus.* Gen. 2, *Et immisit Deus ecstasim in ipsum, et sopivit eum : tulitque unam de* 20–22. *costis ejus, et replevit carnem pro ea. Et ædificavit Dominus Deus costam, quam tulerat de Adam, in mulierem.* Id Plato, licet quo sensu dictum fuerit, ignoraret, abs sese tamen auditum fuisse palam ostendit. Quanquam Aristophani, qni utpote comœdiarum scriptor,

πραγμάτων, ἀνατίθησιν, ἐν Συμποσίῳ τάδε λέγοντα αὐτὸν εἰσάγων·

ΠΛΑΤΩΝΟΣ 2 Δεῖ δὲ πρῶτον ὑμᾶς μαθεῖν τὴν ἀνθρωπίνην φύσιν καὶ τὰ παθήματα αὐτῆς. Ἡ γὰρ πάλαι ἡμῶν φύσις, οὐχ ἡ αὐτὴ d ἦν ἥπερ νῦν, ἀλλὰ ἄλλη. Πρῶτον μὲν γὰρ τρία ἦν τὰ γένη τῶν ἀνθρώπων, οὐχ ὥσπερ νῦν δύο, ἄρρεν καὶ θῆλυ, ἀλλὰ καὶ τρίτον προσῆν κοινὸν ἀμφοτέρων τούτων, οὗ νῦν ὄνομα [344] λοιπὸν, αὐτὸ δὲ ἠφάνισται· ἀνδρόγυνον γὰρ τότε μὲν ἦν καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν, τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος.

3 Εἶθ' ἑξῆς διασύρας τὰ αὐτῷ συνήθη, ἐπιφέρει λέγων,

Ταῦτ' εἰπὼν ὁ παρ' αὐτῷ Ζεὺς, ἔτεμνε τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ὦτα τέμνοντες καὶ μέλλοντες ταριχεύειν, ἢ ὥσπερ οἱ τὰ ᾠὰ ταῖς θριξίν. Ὅντινα δὲ τέμοι, τὸν Ἀπόλλωνα ἐκέλευε τό τε πρόσωπον μεταστρέφειν, καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς τὴν τομὴν, ἵνα θεώμενος τὴν αὑτοῦ

c 10. δεῖ δὲ] δὲ om. I. 11. ἀνθρωπίνην] ἀνθρωπείαν E. d. οὐχ ἡ] οὐχὶ F.G.I. ἡ αὐτὴ] ἡ om. E. 2. ἄλλη] ἀλλοία Plat. μὲν γὰρ] γὰρ om. C.F. 3. τὰ τῶν ἀνθ.] τὰ om. C. Viger. 4. τρίτον] καὶ τρίτον C.F.G.I. 5. ὧν] οὗ F.G.I. cum Plat. 6. ἠφάνισται] ἠφάνιστο D. 8. θήλεως] θήλεος C.D. 11. ὦτα Platonis libri ᾠά. 13. θρηξὶν] θριξὶν C.D.F.G. τέμοι] τέμῃ D. 15. τιμὴν] τομὴν C.I. καὶ τὰ ἀ. ἰ. ἐκ. om. C.

res etiam gravissimas deridere consueverat, hunc sermonem tribuit. Sic enim illum in convivio loquentem facit.

Plato Symp. p. 189. 2 Ac primum quidem, inquit, naturam humanam ejusque conditiones nosse vos oportet. Neque enim eadem quæ nunc est, natura olim nostra fuit, sed longe diversa. Primum enim genera hominum fuerunt omnino tria, non duo tantum, uti sunt hoc tempore, mas ac fœmina: sed tertium insuper erat cum utroque commune; quod nudo tantum relicto nomine, prorsus evanuit. Tum enim Androgynum erat tam forma, quam nomine, ex utroque maris ac fœminæ sexu conflatum.

p. 190. 3 Deinceps more suo cavillatus, hæc addit,

Hunc in modum loquutus apud eum Jupiter, bifariam homines secuit, ut qui vel auriculas condiendi animo abscinderet, vel pilis ova divideret. Atque is ut quemque secuerat, huic Apollinem jubebat, vultum cervicisque dimidium, eam in partem qua sectus esset convertere, ut suæ hujus

τμῆσιν, κοσμιώτερος εἴη ὁ ἄνθρωπος· καὶ τὰ ἄλλα ἰᾶσθαι ἐκέλευεν. ΠΛΑ-ΤΩ-ΝΟΣ

13 Μωσέως τὸν πρῶτον τῶν γηγενῶν βίον ὑπογράψαν- p. 586
τος ἐν παραδείσῳ Θεοῦ γεγονέναι, Θεόν τε αὐτῶν ἡγεῖσθαι ἐν ἀχρηματῳ καὶ ἀκτήμονι διαγωγῇ, ἄσπαρτά τε αὐτοῖς καὶ ἀνήροτα πάντα φύεσθαι, γυμνούς τε εἶναι τῆς μετὰ ταῦτα περιβολῆς, ἐπάκουσον τοῦ φιλοσόφου μονονουχὶ αὐτὰ δὴ ταῦτα Ἑλληνικῇ τῇ φωνῇ διερμηνεύοντος. b
Λέγει δ' οὖν·

2 Θεὸς ἔνεμεν αὐτοὺς αὐτὸς ἐπιστατῶν, καθάπερ νῦν ἄνθρωποι, ζῷον ὃν ἕτερον θειότερον, ἄλλα γένη φαυλότερα αὐτῶν νομεύουσι. Νέμοντος δ' ἐκείνου, πολιτεῖαί τε οὐκ ἦσαν οὐδὲ κτήσεις γυναικῶν καὶ παίδων· (ἐκ γῆς γὰρ ἀνεβιώσκοντο πάντες, οὐδὲν μεμνημένοι τῶν πρόσθεν·) ἀλλὰ τὰ μὲν τοιαῦτα ἀπῆν πάντα, καρποὺς δὲ ἀφθόνους εἶχον ἀπό τε δένδρων καὶ πολλῆς ὕλης, οὐχ ὑπὸ γεωργίας φυομένους, ἀλλ' αὐτομάτης ἀνα- c
διδούσης τῆς γῆς. Γυμνοὶ δὲ καὶ ἄστρωτοι, θυραυλοῦντες τὰ πολλὰ ἐνέμοντο. Τὸ γὰρ τῶν ὡρῶν αὐτοῖς ἄλυπον

p. 586. 5. αὐτῶν] αὐτὸν C.D. 9. ἄκουσον D. b 4. ὃν om. D. F.G.I. 10. δρυῶν] δένδρων C.D.E.F.G.I. Plato add. ἄλλης. c. αὐτομάτης] αὐτομάτως C.D.F.G.

sectionis aspectu, modestior homo fieret. Tum cæteris eum quoque mederi jussit.

13 Primam hominum vitam in Dei paradiso Moses ductam esse scribit, ubi eorum curam sine ullo divitiarum opumque commercio Deus ipse gereret, omniaque ipsis absque ulla vel semente, vel agrorum cultura nascerentur, cum interim eo, qui deinde sequutus est, amictu nudi essent. Quæ omnia philosophum audi, Græce totidem pene verbis explicantem.

2 Illos, inquit, pascebat Deus, tum eos per sese regens, quo modo nunc homines, divinioris animantis naturam sortiti, alia quædam inferioris ac deterioris conditionis animalia pascere consueverunt. Quo dum ipse munere fungeretur, nullæ dum respublicæ erant, nec ducebantur uxores, nec liberi suscipiebantur: (omnes quippe tum ex terra, superiorum omnium obliti, reviviscebant.) Verum ista cum abessent omnia, fructuum affatim ex quercubus, aliisque passim arboribus suppetebat, utique, quos sine ullo cultu, ipsa sponte terra profunderet. Nudi præterea, nullisque ut pluri- Plato Pol. p. 271. extr.

ΠΛΑΤΩΝΟΣ ἐκέκρατο, μαλακὰς δὲ εὐνὰς εἶχον, ἀναφυομένης ἐκ γῆς πόας
ἀφθόνου. Τὸν δὴ βίον, ὦ Σώκρατες, ἀκούεις μὲν τὸν τῶν
ἐπὶ Κρόνου· τόνδε δ', ὡς λόγος ἐπὶ Διὸς εἶναι, τὸν νῦν, παρὼν αὐτὸς ᾔσθησαι.

14 Πάλιν Μωσέως ἀναγράψαντος, ὅτι ἦν ὁ ὄφις φρονι- d
μώτερος πάντων τῶν θηρίων, οἷά τε εἶπεν ὁ ὄφις τῇ γυναικὶ, καὶ ἡ γυνὴ τῷ ὄφει, καὶ τὰς ὁμιλίας τοῦ ὄφεως ἐκθεμένου, ὁ Πλάτων οἷα γράφει ἐπάκουσον·

2 Εἰ μὲν τοίνυν οἱ τρόφιμοι τοῦ Κρόνου, παρούσης αὐτοῖς οὕτω πολλῆς σχολῆς καὶ δυνάμεως πρὸς τὸ μὴ μόνον ἀνθρώποις ἀλλὰ καὶ θηρίοις διὰ λόγων δύνασθαι ξυγγίνεσθαι, κα-
τεχρῶντο τούτοις σύμπασιν ἐπὶ φιλοσοφίαν, μετά τε θηρίων p. 587
καὶ μετ' ἀλλήλων ὁμιλοῦντες, καὶ πυνθανόμενοι παρὰ πάσης φύσεως εἴ τινά τις ἰδίαν δύναμιν ἔχουσα ᾔσθετό τι διάφορον τῶν ἄλλων εἰς ξυναγυρμὸν φρονήσεως, εὔκριτον ὅτι τῶν νῦν
3 οἱ τότε μυρίως πρὸς εὐδαιμονίαν διέφερον. Εἰ δ' ἐμπιπλά-

c 6. τόνδε δ'] τὸν δ' C.G. 7. ἐπὶ διὸς] ἐπιτήδειος C.E.F.G.I. ἐπιτήδεος D. παρὼν—ᾔσθησαι] παρ' ὂν—ᾔσθησαν C. d 3. φρονιμώτερος] φρονιμώτατος C.F.G. 6. τοῦ] τε τοῦ D.F.G. 8. αὐτοῖς οὕτω] οὕτως αὐτοῖς C.F.G. 9. πρὸς] εἰς F.G.

p. 587. 4. τι] τε D. Supra ᾔσθητο E. 5. εὔκριτον] ἔκκριτον C. F.G. ἔγκριτον D.E. Mox ὅτε D. 6. μυρίως] κυρίως C.F.G. μυρίῳ Plat. Mox οἱ D.

mum stragulis sub dio passim degebant; quippe qui et tempestatum clementiori temperatione uterentur, et in tanta vi herbarum ex terræ visceribus existentium, mollium quoque tororum copiam haberent. Vitam, mi Socrates, hominum olim sub Saturno degentium audiisti: præsentem vero, qualem sub Jove fuisse ferunt, præsens ipse ac per te te sentis.

14 Gen. 3. Scripsit etiam Moses, Quod *serpens erat callidior cunctis animantibus;* necnon quibus verbis et serpens cum muliere, et mulier cum serpente loquuta fuerit, ipsamque adeo serpentis agendi rationem exposuit. Jam audi quid in simili genere Plato scripserit.

Plato Pol. p. 272. 2 Si alumni Saturni, inquit, summo in otio, summaque non cum hominibus modo, sed etiam cum bestiis familiari sermone agendi potestate, iis omnibus ad philosophiæ studium utebantur: tam inter sese mutuo, quam cum bestiis ipsis versando, et ab unaquaque natura sciscitando, num quid diversum ab aliis vi quadam singulari propriaque sentiret, ut hoc pacto suam quandam a quibusque prudentiæ stipem acciperent: liquet omnino, ætatis illius homines infinitis ad beate vivendum præsidiis nostros supe-
3 rasse. Sin autem abdomini, helluando, ac perpotando servientes, fabulas

ΠΛΑΤΩΝΟΣ

μενοι σίτων ἄδην καὶ πότων διελέγοντο πρὸς ἀλλήλους καὶ
τὰ θηρία μύθους, οἷοι δὴ καὶ τανῦν περὶ αὐτῶν λέγονται, καὶ
τοῦθ', οὕτως γε κατ' ἐμὴν δόξαν ἀποφήνασθαι, καὶ μάλα
εὔκριτον. Ὅμως δ' οὖν ταῦτα μὲν ἀφῶμεν, ἕως ἂν ἡμῖν μη-
νυτής τις ἱκανὸς φανῇ, ποτέρως οἱ τότε τὰς ἐπιθυμίας εἶχον b
περί τε ἐπιστημῶν καὶ τῆς τῶν λόγων χρείας.

15 Μωσῆς νομοθεσίαν ἀνθρώποις καταβεβλημένος ἐνό-
μισεν αὐτῷ δεῖν ἀρχαιολογίας ἐν τοῖς προοιμίοις· μνη-
μονεύει δὲ τοῦ κατακλυσμοῦ, καὶ τοῦ μετ' αὐτὸν βίου c
[345] τῶν ἀνθρώπων, ἔπειτα παλαιῶν ἀνδρῶν τῶν παρ' Ἑ-
βραίοις θεοφιλῶν, καὶ τῶν δὲ ἄλλως ἐν πλημμελείαις
ἐξητασμένων τὴν πολιτείαν ὑφηγεῖται, κατάλληλον οἷς
ἐνομοθέτει τὴν περὶ τούτων ἡγησάμενος ἱστορίαν ἔσε-
2 σθαι. Καὶ ὁ Πλάτων δὲ ὡσαύτως, παρελθὼν ἐπὶ τὴν
τῶν νόμων γραφήν, τὸν αὐτὸν τῷ Μωσῇ ζηλοῖ τρόπον·
ἐν προοιμίοις γοῦν τῶν Νόμων τῇ κατ' αὐτὸν ἀρχαιολο-

a 10. οὕτως] ὥς Plat. b 5. ἀνθρώποις] ἀνθρώπων C.F.G. Supra νομοθεσίας D. 7. μνημονεύειν τε F. μνημονεύει τε G I. 8. δὲ τοῦ] τε τοῦ C.D. c 2. δὲ om. D. 8. μωσῇ] μωσεῖ C.F.G. 9. νόμων] Inserunt h. l. C.D.F.G.I. quæ propter homœoteleuton videntur excidisse, τῇ κατ' αὐτὸν—τῶν νόμων. Trapezuntius: *Hunc scribendi modum in Legibus Plato imitatus est: his primordiis enim legum antiquitate utitur; et diluvii mentione facta vitam etiam, quæ post diluvium fuerat, explicare non renuit.*

tantum ejusmodi, quas de ipsis vulgo circumferunt, in mutua illa cum inter sese, tum etiam cum bestiis consuetudine tractabant; de hoc quoque, meo quidem judicio, facile admodum liquidoque statuatur. Verum ista quidem missa faciamus, dum nobis idonei cujusdam indicis copia facta sit, ex quo resciamus, num illius ævi homines, aliqua doctrinæ ac bene scienterque dicendi cupiditate ducerentur.

15 Moses cum in legum hominibus ferendarum cogitatione versaretur, rerum sibi antiquarum commemorationem, ipso statim exordio necessariam putavit. Primum itaque diluvii, atque hominum qui ab eo extiterunt, vitæ meminit; tum antiquiorum etiam Hebræorum, seu quos præcipuo Deus amore dilexerat, seu quos improbitas notos insignesque fecerat, mores exposuit, ratus conjunctum in primis cum iis, quas præ manibus habebat legibus, hoc historiæ genus futurum.
2 Plato similiter, cum animum ad scribendas leges appellit, eandem ac

γίᾳ κέχρηται, κατακλυσμοῦ μνημονεύσας, καὶ τοῦ μετὰ τὸν κατακλυσμὸν βίου· ἀρχόμενος γοῦν τοῦ τρίτου τῶν Νόμων ἐπάκουσον ἅ φησιν·

ΠΛΑΤΩΝΟΣ

Ἆρ᾽ οὖν οἱ παλαιοὶ λόγοι ὑμῖν ἀλήθειάν ἔχειν τινὰ δο- d
κοῦσι;

Ποῖοι δή;

Τὸ πολλὰς ἀνθρώπων φθορὰς γεγονέναι κατακλυσμοῖς τε καὶ νόσοις καὶ ἄλλοις πολλοῖς, ἐν οἷς βραχύ τι τῶν ἀνθρώπων λείπεσθαι γένος.

Πάνυ μὲν οὖν πιθανὸν τὸ τοιοῦτον πᾶν παντί.

3 Φέρε δή, νοήσωμεν μίαν τῶν πολλῶν ταύτην, τὴν τῷ κατακλυσμῷ γενομένην.

Τὸ ποῖόν τι περὶ αὐτῆς διανοηθέντες;

Ὡς οἱ τότε περιφυγόντες τὴν φθορὰν σχεδὸν ὄρειοί τινες ἂν εἶεν νομεῖς, ἐν κορυφαῖς που σμικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων διασεσωσμένα γένους.

Δῆλον.

4 Καὶ δὴ τοὺς τοιούτους γε ἀνάγκη που τῶν ἄλλων ἀπείρους

d. ὑμῖν om. C. Mox ἔχειν τινα C. non τινα ἔχειν et sic F.G. 6. τοιοῦτον] τοιοῦτο C.F.G. πᾶν om. D.I. 8. δή] τι C.D.F.G. 11. εἰς μικρὰ D. Supra νομῆς E.F.G. 13. δῆλον] Post h. v. spatium vacuum in C.G.

Moses viam ipse ac rationem æmulatur. Audi ergo quemadmodum ipso Legum suarum principio loquatur.

Plato Legg. p. 677 a.

An igitur, inquit, priscas illas narrationes veras arbitraris?

Quas tandem?

Crebros olim hominum interitus, diluviis, morbis, ac cæteris id genus extitisse, ex quibus pauci admodum homines evaserint.

Totum id quidem nemini perquam verisimile non videatur.

3 Age vero, unum illum ex pluribus, quem diluvium importavit, consideremus.

Quid porro a nobis in eo cogitari vis?

Qui tum vastitatem illam effugere potuerint, montanos duntaxat pastores aliquot fuisse, qui summis in cacuminibus, tanquam exigua quædam generis humani semina, relicti servatique constiterint.

Perspicuum id quidem.

4 Istos porro, tales cum essent, cum ab cæteris artibus imparatos fuisse

εἶναι τεχνῶν καὶ τῶν ἐν τοῖς ἄστεσι πρὸς ἀλλήλους μηχανῶν εἴς τε πλεονεξίας καὶ φιλονεικίας, καὶ ὁπόσα ἄλλα κακουργήματα πρὸς ἀλλήλους ἐπινοοῦσιν. ΠΛΑΤΩΝΟΣ p. 588

Εἰκὸς γοῦν.

Θῶμεν δὴ τὰς ἐν τοῖς πεδίοις πόλεις καὶ πρὸς θαλάττῃ κατοικούσας ἄρδην ἐν τῷ τότε χρόνῳ διαφθείρεσθαι.

Θῶμεν.

Οὐκοῦν ὄργανά τε πάντα ἀπόλλυσθαι, καὶ εἴ τι τέχνης ἦν ἐχόμενον σπουδαίως εὑρημένον ἢ πολιτικῆς ἢ καὶ σοφίας τινὸς ἑτέρας, πάντα ἔρρειν ταῦτα ἐν τῷ τότε χρόνῳ φήσομεν.

5 Καὶ μεθ᾽ ἕτερά φησιν,

Οὐκοῦν οὕτω δὴ λέγωμεν ἔχειν τότε, ὅτε ἐγένετο ἡ φθορὰ, τὰ περὶ τοὺς ἀνθρώπους πράγματα, μυρίαν μέν τινα φοβερὰν ἐρημίαν, γῆς δὲ ἀφθόνου πλῆθος πάμπολυ. b

6 Ταῦτα καὶ τοιαῦτα ἕτερα εἰπὼν ἐπεξέρχεται βίους τῶν μετὰ τὸν κατακλυσμὸν ἀνθρώπων, εἶθ᾽, ὥσπερ

d 14. καὶ τῶν—μηχανῶν om. C.F.G.

p. 588. 8. ἢ πολ.] ἢ καὶ πολ. C.F.G. 9. ἔρρειν] εὑρεῖν C.F.G. 10. φήσομεν om. D. 11. λέγωμεν ἔχειν] λέγειν ἔχομεν C.F.G. b. μυρίαν] μωρίαν C. ἐρημ.] καὶ ἐρημ. C.F.G. 2. πλῆθος πάμ.] παμ. πλῆθος C.F.G. 3. τοιαῦτα] τὰ τοιαῦτα D. omisso ἕτερα.

necesse est, tum ab iis etiam fraudibus et calumniis alienos, quibus sese passim in urbibus, avaritiæ, contentionis, ac reliquorum id genus maleficiorum æstu abrepti, alios alii evertere moliuntur.

Et hoc plane consentaneum.

Ponamus igitur campestres simul ac maritimas urbes eo tempore funditus periisse.

Ponamus.

Proinde, quicquid etiam instrumentorum fuerat, quicquid artis ullius proprium, seu civilis, seu alterius cujuscunque peritiæ, id totum eadem ruina simul ac semel haustum ac sepultum fuisse dicendum est.

5 Deinde aliquot interjectis,

Maneat igitur, inquit, ita sese per ejusmodi cladem res hominum habuisse; vastam quippe horribilemque solitudinem, vimque fœcundissimarum terrarum immensam extitisse.

6 Hæc ille similiaque præfatus, hominum eorum deinceps, qui post diluvium vixere, mores persequitur. Inde, Mosis exemplo, qui rerum

Μωσῆς τὴν τῶν πάλαι θεοφιλῶν Ἑβραίων πολιτείαν ἐπισυνάπτει τῇ μετὰ τὸν κατακλυσμὸν ὑφηγήσει, καὶ ὁ Πλάτων ὁμοίως μετὰ τοὺς βίους τῶν μετὰ τὸν κατακλυσμὸν τὰ Ἑλληνικὰ πειρᾶται ἀρχαιολογεῖν, ὡς ἐκεῖνος τὰ Ἑβραίων, τῶν τε ἐπὶ Τροίας μνημονεύει, καὶ τῆς πρώτης ἐν Λακεδαίμονι πολιτείας, Περσῶν τε, καὶ τῶν παρὰ τούτοις εἴτ' ὀρθῶς εἴτε καὶ μὴ βεβιωκότων· εἶτα c μετὰ τὴν τούτων ἱστορίαν ἀπάρχεται τῆς τῶν νόμων διαθέσεως, κἀν τούτῳ Μωσεῖ κατακολουθήσας.

16 Μωσέως τὴν πᾶσαν αὐτοῦ νομοθεσίαν τήν τε κατ' d αὐτὸν πολιτείαν εὐσεβείας τοῦ τῶν ὅλων Θεοῦ ἀναρτήσαντος, ἀπό τε τοῦ πάντων δημιουργοῦ τὴν καταρχὴν τῆς νομοθεσίας πεποιημένου, ἔπειτα τῶν θείων ἀγαθῶν ἐξέρχεσθαι τὰ ἀνθρώπινα διδάξαντος, τά τε θεῖα ἐπὶ τὸν πάντων ἡγεμόνα νοῦν, αὐτὸν δὴ τὸν τῶν ὅλων Θεὸν, ἀναθέντος, θέα ὅπως καὶ ὁ φιλόσοφος τοῖς αὐτοῖς βαίνων ἴχνεσιν ἐπιμέμφεται μὲν τοῖς Κρητῶν καὶ Λακεδαιμο-

b 5. Ἑβραίων] ἀνδρῶν C.F.G. c. εἴτ' ὀρθ.—βεβιωκότων om. C.F.G. 2. ἐκθέσεως] διαθέσεως C.E.F.G.I. Mox Μωσῇ E. 3. τούτῳ] οὕτω I. κατακολουθεῖ (θέντος) D. d 4. ἀρτήσαντος G. 10. ἀναθέντος] ἀναγκασθέντος D. ult. Λακεδαιμονίων] Λακεδαιμόνων C.F.G.

a diluvio gestarum historiæ, sanctiorum olim Hebræorum instituta subjungit; post eorum qui proxime diluvium sequuti sunt vitam, res Græcorum, ut Hebræorum Moses, ad antiquissimam retro memoriam revocare conatur. Quin etiam Trojanorum, primæque Lacedæmoniorum reipublicæ, ac Persarum mentionem facit, eorumque simul, qui apud eos seu bene, seu male vixissent. Atque hac perfunctus historia, tum demum suas ipse leges scribere auspicatur, in eo quoque Mosem æmulatus.

16 Rationem legum ac reipublicæ suæ universam ex summi Numinis religione suspensam Moses esse cum vellet, illam ab eodem rerum omnium molitore auspicatus est: deinde quicquid humanorum bonorum est, id omne a divinis proficisci docuit, ipsaque divina ad mentem illam cunctorum moderatricem, hoc est, ad eundem illum universi Deum revocavit. Hujus vestigiis insistens philosophus, vide quem-

νίων νομοθέταις, τὸν δ' ἀρέσκοντα Μωσεῖ νόμον ἐκδι- p. 589
δάσκει, λέγων οὕτως·

2 Πῇ δὴ οὖν σε ἔτ' ἂν ἐβουλόμην διελόμενον λέγειν, αὐτός τ' ἀκούειν, βούλει σοι φράζω; ΠΛΑΤΩΝΟΣ

Πάνυ μὲν οὖν, ὦ ξένε.

Ἐχρῆν εἰπεῖν, Οἱ Κρητῶν νόμοι οὐκ εἰσι μάτην διαφερόντως ἐν πᾶσιν εὐδόκιμοι τοῖς Ἕλλησιν· ἔχουσι γὰρ ὀρθῶς τοὺς αὐτοῖς χρωμένους εὐδαίμονας ἀποτελοῦντες· ἅπαντα
3 γὰρ τἀγαθὰ πορίζουσι. Διττὰ δ' ἀγαθά ἐστι, τὰ μὲν ἀν-
[346] θρώπινα, τὰ δὲ θεῖα· ἤρτηται δὲ ἐκ τῶν θείων θάτερα· καὶ b
ἐὰν μὲν δέχηται τὰ μείζονα πόλις, κτᾶται καὶ τὰ ἐλάττονα· εἰ δὲ μή, στέρεται ἀμφοῖν. Ἔστι δὲ τὰ μὲν ἐλάττονα, ὧν ἡγεῖται ὑγεία, κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχὺς εἴς τε δρόμον καὶ εἰς τὰς ἄλλας πάσας κινήσεις τῷ σώματι, τέταρτον δὲ [δὴ] πλοῦτος οὐ τυφλὸς ἀλλ' ὀξὺ βλέπων, ἄνπερ ἅμ'
4 ἕπηται φρονήσει. Ὃ δὴ πρῶτον αὖ τῶν θείων ἡγεμονοῦν
ἐστὶν ἀγαθῶν, ἡ φρόνησις, δεύτερον δὲ μετὰ νοῦν σώφρων c

p. 589. τῷ M.] τῷ om. C.F.G.I. 2. σε ἔτ'] σέ τ' C.F.G. 3. ἐτ' ἂν] ὦ τᾶν D.I. 4. φράζω] φράζειν C.F.G. 5. ὦ ξένε ἐχρῆν] χρὴν F.G. b. ἤρτηται] εἴρηται E. 8. δὲ δὴ] δὴ om. C.E.F.G.I. 10. αὐτῶν] τῶν C.F.G.I. τῶν in marg. αὐτῶν D. c. νοῦν] νοῦ C.F.G.I.

admodum reprehensis Cretensium et Lacedæmoniorum legislatoribus, sancitam illam ab Moyse legem edocet.

2 Vin' tu, inquit, dicam ingenue, qua te via et ordine totum hoc disputationis genus instituentem libenter audiissem? Plato Legg. p. 631.

Maxime id quidem velim.

Ejusmodi ergo, mi hospes, tua esse oratio debuit. Non immerito Cretensium leges a Græcis omnibus summa cum laude celebrantur. Nam hoc ipso recte omnino conditæ sunt, quod iis qui vivunt beatos efficiant, dum
3 bonis eos omnibus cumulant. Quippe, cum duo bonorum genera sint, humanorum unum, alterum divinorum: tum vere ex divinis humana pendent. Quare quæ respublica majora susceperit, eadem minora quoque possidebit: sin autem, utrisque careat necesse est. Et minora quidem vocantur illa, quorum princeps est sanitas, secundum pulchritudo, tertium vires corporis ad cursum aliosque motus obeundos: quartum divitiæ, quæ tum demum cæcæ non erunt, sed acutissimo visu præditæ, si modo pru-
4 dentiæ manum sequentur. Quæ quidem prudentia, divinorum etiam bonorum dux quædam est; quam veluti mentem proxime sequitur constans

ΠΛΑΤΩΝΟΣ

ψυχῆς ἕξις, ἐκ δὲ τούτων μετὰ ἀνδρίας κραθέντων τρίτον ἂν
εἴη δικαιοσύνη, τέταρτον δὲ ἀνδρία. Ταῦτα δὲ πάντα ἐκείνων
ἔμπροσθεν τέτακται φύσει, καὶ δὴ καὶ τῷ νομοθέτῃ τακτέον
5 οὕτω. Μετὰ δὲ ταῦτα τὰς ἄλλας προστάξεις τοῖς πολίταις
εἰς ταῦτα βλεπούσας αὐτοῖς εἶναι διακελευστέον, τούτων δὲ
τὰ μὲν ἀνθρώπινα εἰς τὰ θεῖα, τὰ δὲ θεῖα εἰς τὸν ἡγεμόνα
6 νοῦν σύμπαντα βλέπειν. Περί τε γάμους ἀλλήλοις ἐπικοι- d
νωνουμένους, μετὰ δὲ ταῦτα ἐν ταῖς τῶν παίδων γεννήσεσι καὶ
τροφαῖς, ὅσοι τε ἄρσενες καὶ ὅσαι θήλειαι, νέων τε ὄντων καὶ
ἐπὶ τὸ πρεσβύτερον ἰόντων μέχρι γήρως τιμῶντα ὀρθῶς ἐπι-
μελεῖσθαι δεῖ, καὶ ἀτιμάζοντα, ἐν ἁπάσαις ταῖς τούτων ὁμι-
λίαις τάς τε λύπας αὐτῶν καὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας
ξυμπάντων τε ἐρώτων τὰς σπουδὰς ἐπεσκεμμένον καὶ παρα-
πεφυλαχότα ψέγειν τε ὀρθῶς καὶ ἐπαινεῖν δι' αὐτῶν τῶν
νόμων.

7 Καὶ μετὰ βραχέα φησί·

Κατιδὼν δὲ ὁ θεὶς τοὺς νόμους πᾶσι τούτοις φύλακας ἐπι-

c 2. ἀνδρείας κραθέντων] ἀνδρίας καθεσθέντων C.F.G. Mox ἀνδρία C.F.G. ἀνδρίας et ἀνδρία I. 5. καὶ τῷ] καὶ om. C.F.G.I. 6. μετὰ δὲ] δὲ om. F.I. 10. βλέπει] βλέπειν C.D.F.G.I. Mox ἐπικοινουμένους I. d. μετὰ δὲ] μετά τε C.F.G.I. $\overset{\delta\grave{\epsilon}}{\tau\epsilon}$ D. 6. ἐπιμελεῖσθαι δεῖ] ἐπιμέλεσθαι δεῖν C.F.G.I. ἁπάσαις] πάσαις C.F.G. 9. ἐπεσκ.] ἐπισκ. C. qui mox παραπεφυλακότα. Hoc item D.

animi temperantia: ex iis duabus cum fortitudine conjunctis existit justitia; quas denique omnes fortitudo excipit. Hæc omnia humanis illis naturæ dignitate præstant. Quocirca is etiam ordo legislatori servandus erit.
5 Deinde vero cives aliis institutis, quæ tamen priora semper illa spectent, informabit; ita quidem ut res humanæ ad divinas, ad mentem principem
6 divinæ omnes referantur. Deinde, mutuis nuptiis inter sese contractis, procreationem educationemque liberorum studiose curabit, et seu mares illi fuerint, seu fœminæ, quicquid ab iis vel adolescentibus, vel jam ætate maturioribus, ad ipsam usque senectutem, in mutua consuetudine recte secusve fiat, alterum honore afficiet, alterum ignominia: simul etiam quid iis aut dolori sit, aut voluptati, quibus vel cupiditatibus, vel amoribus indulgeant solerter explorans atque observans, suis, ut par est, legibus prava omnia reprehendet, laudabitque contraria.

7 Hæc Plato, qui paucis interjectis, rursus ita prosequitur:

His legislator studiose provisis, eos omnium custodes ac præfectos de-

ΠΛΑΤΩΝΟΣ

στήσει, τοὺς μὲν διὰ φρονήσεως, τοὺς δὲ δι' ἀληθοῦς δόξης ἰόντας, ὅπως πάντα ταῦτα ξυνδήσας ὁ νοῦς, ἑπόμενα σωφροσύνῃ καὶ δικαιοσύνῃ ἀποφήνῃ, ἀλλὰ μὴ πλούτῳ μηδὲ φιλοτιμίᾳ.

8 Οὕτως, ὦ ξένοι, ἔγωγε ἤθελον ἂν ὑμᾶς, καὶ ἔτι νῦν p. 590 βούλομαι, διεξελθεῖν πῶς ἐν τοῖς τοῦ Διὸς λεγομένοις νόμοις, τοῖς τε τοῦ Πυθίου Ἀπόλλωνος, οὓς Μίνως τε καὶ Λυκοῦργος ἐθέτην, ἔνεστί τε πάντα ταῦτα, καὶ ὅπῃ τάξιν εἰληφότα διάδηλά ἐστι τῷ περὶ νόμων ἐμπείρῳ τέχνῃ τε καί τισιν ἔθεσι, τοῖς δὲ ἄλλοις ἡμῖν οὐδαμῶς ἐστι καταφανῆ.

9 Καὶ παρ' ἡμῖν δὲ εἴρηται, *Ζητεῖτε πρῶτον τὴν βασιλείαν καὶ τὴν δικαιοσύνην, καὶ πάντα ταῦτα προστεθήσεται ὑμῖν.* Ἀλλὰ καὶ Μωσῆς πολὺ πρότερον ἀπὸ τῆς περὶ b Θεοῦ διδασκαλίας τὴν ἀρχὴν πεποιημένος, ἑξῆς τε ἐφαρμόσας τὴν κατ' αὐτὸν πολιτείαν καὶ τὰ περὶ συμβολαίων καὶ τὰ περὶ τοῦ κοινοῦ βίου νόμιμα, τοῖς πᾶσιν ἄρχοντας καὶ φύλακας καθίστησι τοὺς τῷ Θεῷ ἱερωμένους, ὡς καὶ τὰ λόγια διδάσκει, ἄνδρας δικαίους, μισοῦν-

d 15. πάντα ταῦτα] ταῦτα π. C F.G.I.

εἶτε
p. 590. ἡμᾶς] ὑμᾶς C.D. 7. τε D. 10. καὶ τὴν δικ. D.E G.I. Vulgo om. τήν. b 4. τὰ περὶ om. C.E.F.G.I. 6. ὡς καὶ] καὶ ὡς E.F.G.

liget, quos partim prudentiæ, partim veræ laudis viam institisse cognoverit: ut ea mens universa jam apta ex sese atque connexa ejusmodi efficiat, quæ temperantiæ potius atque justitiæ, quam divitiarum, aut ambitionis ductum

8 sequantur. En, hospites suavissimi, quemadmodum vos et jam ante voluissem, et nunc etiam omnino velim exponere, ut in iis, quas vocant, Jovis et Pythii Apollinis legibus, quas Minos et Lycurgus condiderunt, hæc omnia locum habeant: simul, ut is modo qui vel arte, vel usu quodam legum peritiam adeptus fuerit, hunc in ipsis quem postulamus ordinem facile deprehendat, quem nos tamen agnoscere nulla ratione possimus.

9 Hactenus ille. Nec absimile quidem est quod apud nos scriptum habetur, *Quærite primum regnum Dei, et justitiam ejus, et hæc omnia adjicientur vobis.* Mat. 6, 33. Quin et ipse quoque Moses tanto ante ab ea doctrina quæ Deum ipsum prædicaret exorsus, ubi suæ deinceps reipublicæ formam, et quicquid vel ad contractus mutuos, vel ad communis vitæ rationes et instituta pertinebant, ad illud principium apte consentaneeque digessit, tum omnium custodes præfectosque creat, viros et ipsi Deo consecratos, et quemadmodum scriptura testatur, ut æquitate præstantes, sic ab omni arrogantia prorsus alienos,

τας ὑπερηφανίαν, τοὺς μὲν διὰ φρονήσεως τοὺς δὲ δι' ἀληθοῦς δόξης ἰόντας.

17 Λέγω οὖν καί φημι τὸν ὁτιοῦν ἀγαθὸν ἄνδρα μέλλοντα c ἔσεσθαι τοῦτ' αὐτὸ ἐκ παίδων εὐθὺς μελετᾶν παίζοντά τε καὶ σπουδάζοντα ἐν τοῖς τοῦ πράγματος ἑκάστοις προσήκουσιν· οἷον τὸν μέλλοντα ἀγαθὸν ἔσεσθαι γεωργὸν ἤ τινα οἰκοδόμον, τὸν μὲν οἰκοδομοῦντά τι τῶν παιδικῶν οἰκοδομημάτων d παίζειν χρὴ, τὸν δ' αὖ γεωργοῦντα, καὶ ὄργανα ἑκατέρῳ σμικρὰ τῶν ἀληθινῶν μιμήματα παρασκευάζειν τὸν τρέφοντα αὐτῶν ἑκάτερον, καὶ δὴ καὶ τῶν μαθημάτων ὅσα ἀναγκαῖα προμεμαθηκέναι προμανθάνειν, οἷον τέκτονα μετρεῖν ἢ σταθμᾶσθαι, καὶ πολεμικὸν ἱππέυειν παίζοντα ἤ τι τῶν τοιούτων [374] ἄλλο ποιοῦντα, καὶ πειρᾶσθαι διὰ τῶν παιδιῶν ἐκεῖσε τρέπειν τὰς ἡδονὰς καὶ ἐπιθυμίας τῶν παίδων, οἷ ἀφικομένους αὐτοὺς
2 δεῖ τέλος ἔχειν. Κεφάλαιον δὴ παιδείας λέγομεν τὴν ὀρθὴν τροφὴν, ἣ τοῦ παίζοντος τὴν ψυχὴν εἰς ἔρωτα ὅτι μάλιστα ἄξει τούτου, ὃ δεήσει γενόμενον ἄνδρα αὐτὸν τέλειον εἶναι τῆς τοῦ πράγματος ἀρετῆς.

ΠΛΑΤΩΝΟΣ

b 8. ὑπερηφανείας] ὑπερηφανίαν C.F.G.I. ὑπερηφανείας^ν D. φρονήσεως] φρονήσει D. 9. ἀληθεῖ δόξῃ D. c 5. αὐτὸ] αὐτὸς D. 7. ἑκάστου] ἑκάστοις F.I. 9. οἰκοδόμον] οἰκονόμον I. d. παιδικῶν] παιδιῶν C.F.G. παιδείων Plat. 3. ἑκατέρως μικρὰ E.I. 11. οἷ ἀφικ.] οἷ om. C. 12. κεφάλαιον δὲ] καὶ κ. δὴ C. κ. δὴ F. 14. ὃ] ὃ^σα D. ὅσα E.

quosque partim prudentiæ, partim veræ laudis viam institisse cognoverat

17 Equidem, inquit Plato, sic statuo, quacunque re præstare quis olim et excellere voluerit, in hanc ipsi jam inde a pueris incumbendum esse, atque in iis quæ cum illa conjuncta sunt, tum lusitando, tum serio studioseque versandum. Quippe qui vel bonus Agricola, vel peritus architectus esse volet; hunc in puerilibus quibusdam ædiculis, illum in colendo agro ludere oportebit, quos proinde qui educandos susceperit, eum sua cuique licet exigua quædam instrumenta, quæ vera illa imitentur, comparare necesse erit. Præterea, quicquid eum in finem ante scire opus est, prius omnino perdiscendum: ut fabro mensuræ amussisque rationes tenendæ; militi nunc ludo æquitandum, nunc id genus aliud quid actitandum: prorsus, ut ipso quoque lusus genere, voluptates eo cupiditatesque puerorum flectere
2 conemur, quo tandem eos tanquam ad finem aspirare cupiamus. Caput enim disciplinæ omnis rectam educationem esse defendimus, quæ vel ludentis animum in ejus rei amorem facillime perducet, in qua virum olim summa cum facultate ac laude versari oportebit.

Plato Legg. I. p. 643.

3 Καὶ τοῦτο προλαβὼν Μωσῆς ἐνομοθέτησεν, εἰπὼν, p. 591 Καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν τῇ καρδίᾳ σου, καὶ ἐν τῇ ψυχῇ σου, καὶ προβιβάσεις αὐτὰ τοῖς υἱοῖς σου. Ὃ δὴ καὶ πράττειν σύνηθες παισὶν Ἑβραίων, ἐξ ἁπαλῆς ἡλικίας τοὺς νέους ἅπαντας τοῖς τῆς θεοσεβείας παιδεύμασιν ἀνατρέφουσι· τοῦτο δὲ καὶ εἰς δεῦρο κατά τι πάτριον ἔθος παρὰ τῷ Ἰουδαίων ἔθνει σπουδάζεται.

18 Μὴ τοίνυν μηδὲ ὃ λέγομεν εἶναι παιδείαν ἀόριστον γένηται. b ΠΛΑΤΩΝΟΣ Νῦν γὰρ ὀνειδίζοντες ἐπαινοῦντές τε ἑκάστων τὰς τροφὰς λέγομεν ὡς τὸν μὲν πεπαιδευμένον ἡμῶν ὄντα τινὰ, τὸν δὲ ἀπαίδευτον, ἐνίοτε εἴς τε τὰς καπηλείας καὶ ναυκληρίας καὶ ἄλλων τινῶν τοιούτων μάλα πεπαιδευμένων σφόδρα ἀνθρώπων. c Οὐ γὰρ ταῦτα ἡγουμένων, ὡς ἔοικεν, εἶναι παιδείαν ὁ νῦν λόγος ἂν εἴη, τὴν δὲ πρὸς ἀρετὴν ἐκ παίδων παιδείαν, ποιοῦσαν ἐπιθυμητήν τε καὶ ἐραστὴν τοῦ πολίτην γενέσθαι τέλεον, ἄρχειν τε καὶ ἄρχεσθαι ἐπιστάμενον μετὰ δίκης.
2 Ταύτην τὴν τροφὴν ἀφορισάμενος ὁ λόγος οὗτος, ὡς ἐμοὶ

p. 591. 2. εἰρηκὼς] εἰπὼν C.F.G.I. 4. προβιβάσεις] προσβιβ. F.G. c. τινῶν om. C.G.I. μάλιστα] μάλα C.F.G.I. 5. ἐπιθυμητὴν] ἐπιθυμιτὴν C. 7. ἐπιστάμενον] ἐπιταττόμενον D.

3 Ita Plato. Quod ipsum jam ante Moses occupaverat, cum ita conceptis verbis statueret. *Eruntque verba hæc, quæ ego præcipio tibi hodie, in corde tuo, et in anima tua, et narrabis ea filiis tuis.* Deut. 6, 6. Quem sane morem juniores omnes pietatis ac religionis præceptis informandi, et jam olim Hebræi tenuerunt, et huc usque tanquam patrium aliquod institutum Judæa natio summa diligentia studioque, conservat.

18 Cavendum id porro nobis, (inquit ibidem Plato) ne disciplinæ nomen infinitum quid manere patiamur. Plato Legg. p. 643. Nunc enim, dum cujusque aut vituperamus educationem, aut laudamus, ita loqui solemus, ut alium disciplina excultum, ejusdem expertem alium esse dicamus, tametsi ex eorum interdum numero sit, qui vel cauponariæ, vel naviculariæ, vel similis alterius artis peritissimi habeantur. Enimvero ita, meo judicio, loqui solemus, quod non artibus illis disciplinæ nomen tribuendum putemus, sed ei duntaxat, quæ cum hominem a pueris ad virtutem erudiat, tum efficiat ipsa quoque, ut idem et perfectus olim civis evadere cupiat, et cum æquitate vel
2 imperare vel parere noverit. Hoc educationis genus, ut mihi quidem per-

ΠΛΑΤΩΝΟΣ

φαίνεται, νῦν βούλοιτ' ἂν μόνην παιδείαν προσαγορεύειν, τὴν δὲ εἰς χρήματα τείνουσαν ἤ τινα πρὸς ἰσχὺν ἢ καὶ πρὸς d ἄλλην τινὰ σοφίαν ἄνευ νοῦ καὶ δίκης βάναυσόν τε εἶναι καὶ ἀνελεύθερον, καὶ οὐκ ἀξίαν τοπαράπαν παιδείαν καλεῖσθαι.
3 Ἡμεῖς δὲ μὴ δ' ἐν ὀνόματι διαφερώμεθα αὐτοῖς, ἀλλ' ὁ νῦν δὴ λόγος ἡμῖν ὁμολογηθεὶς μενέτω, ὡς οἵ γε ὀρθῶς πεπαιδευμένοι σχεδὸν ἀγαθοὶ γίνονται. Καὶ δεῖ δὴ τὴν παιδείαν μηδαμοῦ ἀτιμάζειν, ὡς πρῶτον τῶν καλλίστων τοῖς ἀρίστοις ἀνδράσι παραγιγνόμενον· καὶ εἴ ποτε ἐξέρχεται, δυνατὸν δέ ἐστι ἐπανορθοῦσθαι, τοῦτο ἀεὶ δραστέον διὰ βίου παντὶ κατὰ δύναμιν.

4 Καὶ ἐν τῷ δευτέρῳ δὲ τῶν Νόμων ἐπιλέγει,

Παιδείαν δὴ λέγω τὴν παραγινομένην πρῶτον παισὶν ἀρετήν, ἡδονὴ δὲ καὶ φιλία καὶ λύπη καὶ μῖσος ἐὰν ὀρθῶς ἐν p. 592 ψυχαῖς ἐγγίγνωνται μή πω δυναμένων λόγον λαμβάνειν, λαβόντων δὲ τὸν λόγον συμφωνήσωσι τῷ λόγῳ, ὀρθῶς εἰθίσθαι ὑπὸ τῶν προσηκόντων ἐθῶν· αὕτη ἔσθ' ἡ συμφωνία ξύμ-

d 3. ἀξίαν] ἄξιον C.F.G.I. 4. μηδὲν] μὴ δὲ ἐν C.F.G. Mox διαφερόμεθα C. 5. νῦν δὴ] δὴ νῦν C.F.G. 10. κατὰ δύναμιν om. C. F.G.I. ante ἐπανορθοῦσθαι. ult. πρῶτον om. I.
p. 592. δὲ καὶ] δὴ καὶ F.G. 3. λόγον] λόγῳ Plat. 4. συμφωνήσωσι] συμφωνήσουσι C.F.G.I. 6. σύμπ.] ξύμπ. C.F.G.I.

suadeo, communis iste loquendi modus proprie designat, eique tantum uni disciplinæ appellationem attribuit: quæ autem vel parandæ pecuniæ, vel augendis viribus, vel cuilibet alii peritiæ a mentis et æquitatis consortio disjunctæ serviat, plebeiam et illiberalem, adeoque disciplinæ nomine
3 prorsus indignam esse statuit. Verum nos sane nullam iis controversiam nominis hujus caussa moveamus: maneat id modo nostra omnium confessione certum, Qui recte educati a prima ætate fuerint, eos ut plurimum viros bonos evadere. Quare nullatenus unquam negligenda disciplina fuerit, cum ex omni rerum præstantissimarum numero, prima illa viris optimis præsto sit, operamque navet. Quæ si quando exerraret, sed corrigi tamen emendarique posset: id vero nemini, quamdiu viveret, non pro viribus agendum esset.

p. 653. 4 Idem Legum secundo, paucis id ipsum repetens,

Disciplinam, inquit, virtutem illam appello, quam pueri omnium primam nanciscuntur. Voluptas autem, amicitia, dolor et odium, si et eorum mentibus, quo tempore necdum uti ratione possunt, uti par est inserentur; et cum ea primum uti cœperint, cum eadem uno veluti consensu, rite convenientibus eos moribus informatos et imbutos fuisse testabuntur, virtus

ΠΛΑ-ΤΩ-ΝΟΣ

πᾶσα μὲν ἀρετή, τὸ δὲ περὶ τὰς ἡδονὰς καὶ λύπας τεθραμμένον αὐτῆς ὀρθῶς, ὥστε μισεῖν μὲν ἃ χρὴ μισεῖν εὐθὺς ἐξ ἀρχῆς μέχρι τέλους, στέργειν δὲ ἃ χρὴ στέργειν, τοῦτ' αὐτὸ ἀποτεμὼν τῷ λόγῳ καὶ παιδείαν προσαγορεύων κατά γε τὴν b ἐμὴν ὀρθῶς ἂν προσαγορεύοις.

5 Ταῦτα ὁ Πλάτων. Προλαβὼν δὲ αὐτὸν ὁ Δαβὶδ ἐν Ψαλμῳδίαις, μισεῖν ἃ δεῖ μισεῖν, καὶ στέργειν διδάσκων ἃ δεῖ στέργειν, τάδε φησί· Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ c
6 δίωξον αὐτήν. Καὶ ὁ Σολομῶν ὁμοίως, Ἀκούσατε, φησί, παῖδες παιδείαν πατρός. Δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν· τῶν ἐμῶν νόμων μὴ ἐπιλανθάνησθε. Καὶ πάλιν, [348] Κτῆσαι σοφίαν, κτῆσαι σύνεσιν, μὴ ἐπιλάθῃ. Καί, Εἶπον τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι, τὴν δὲ φρόνησιν γνώριμον

a 7. ἡδονὰς] ἀρετὰς C.F.G. τεθραμμένον] τεθραμμένων C. 9. ἄχρι] μέχρι E.I. Plat. 11. κατά γε] κατά τε C.D.E.F.G.I. Mox προσαγορεύεις D. b 6. τίς ἐστιν] ἐστιν om. C.F.G. 7. θρίων D. 9. σου om. I. 10. ἀγαθὸν] τἀγαθὸν F. c 2. φησὶ om. D. et infra om. πατρός. 4. ἐπιλανθάνησθε] ἐπιλανθάνεσθε C.E. ἐπιλανθάνεσθαι I. Supra τὸν ἐμὸν νόμον E.

quidem erit integra illa perfectaque consensio; quod autem ex ea in rectam voluptatis dolorisque moderationem derivatum erit, ut simul quæ odio digna sunt, ab initio ad finem usque constanter oderint, amentque contraria; id tu si ab cæterorum complexu ratiocinando sejunges, proprie, mea quidem sententia, disciplinam appellabis.

5 Hæc Plato. Quem tamen David in Psalmis antevertit, ubi rerum odio vel amore dignarum odium, amoremque docet his verbis, *Venite filii, audite me, timorem Domini docebo vos. Quis est homo, qui vult vitam: diligit dies videre bonos? Prohibe linguam tuam a malo: et labia tua, ne loquantur dolum. Diverte a malo, et fac bonum, inquire* (Ps. 34, 11, 12.)
6 *pacem, et persequere eam.* Similiterque Salomon, *Audite*, inquit, *filii, disciplinam patris. Donum enim bonum tribuam vobis: legem meam ne derelinquatis.* Atque iterum, *Posside sapientiam, posside prudentiam; ne obliviscaris.* Itemque, *Dic sapientiam, sororem tuam* (Prov. 4, 1. — Ib. 5. — Ib. 7, 4.)

περιποίησαι σεαυτῷ. Καί, Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων. Μυρία δ' ἂν εὕροις ἄλλα τοιαῦτα ἐν τοῖς Ἑβραίων γράμμασι, παιδευτικὰ πρὸς εὐσεβείας καὶ ἀρετῆς ἀνάληψιν, νέοις ὁμοῦ καὶ τελείοις τὴν ἡλικίαν προσήκοντα.

19 Τοῦ θείου χρησμοῦ φήσαντος Μωσεῖ, Ὅρα, ποιήσεις d πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει· τοῦ τε ἱεροῦ λόγου σαφέστερον εἰπόντος, Οἵ τινες ὑποδείγματι καὶ σκιᾷ ἐλάτρευον τῶν ἐπουρανίων, εἰκόνα τε ἄντικρυς τῶν ἐν νοητοῖς θειοτέρων τὰ παρὰ Μωσεῖ σύμβολα πε- p. 593 ριέχειν διδάσκοντος, ἐπάκουσον ὅπως καὶ ὁ Πλάτων τὰ ὅμοια διερμηνεύει ἐν ἕκτῳ τῆς Πολιτείας ὧδε γράφων·

ΠΛΑΤΩΝΟΣ

2 Θεῷ δὴ καὶ κόσμῳ ὅ γε φιλόσοφος ὁμιλῶν, κόσμιός τε καὶ θεῖος εἰς τὸ δυνατὸν ἀνθρώπῳ γίγνεται· διαβολὴ δὲ ἐν πᾶσι
3 πολλή. Παντάπασι μὲν οὖν. Ἂν οὖν τις, εἶπον, αὐτῷ

c 8. περιποίησαι] περιποίησε C. 9. ζηλώσεις D. 12. ἀνάληψιν ἀρετῆς] ἀρ. ἀνάλ. C.F.G. d 5. μωσῆ—ποιήσῃς] μωσεῖ—ποιήσεις C.F. 6. ποιήσῃς] ποιήσεις πάντα τὰ κ. D. ποιήσεις E.

p. 593. μωσῇ] μωσεῖ C.F.G. infra γίγνεται C.F.G. 3. φησὶ D. 4. λέγων D. 6. ἀνθρώποις D.

esse: et prudentiam familiarem tibi redde. Et, *Vias impiorum ne insistas, nec tibi placeant malorum viæ.* Hæc aliaque id genus Hebræorum in literis invenias, quæ ad religionis ac virtutis omnis officia erudiunt, nec adolescentibus modo, sed etiam ætate maturis apprime conveniunt.

19 His olim verbis Mosem oraculum monuerat, *Vide ut facias omnia secundum exemplar, quod tibi in monte monstratum est.* Quod ipsum illustrans apostolus, *Qui exemplari et umbræ*, inquit, *deserviunt cœlestium:* quibus sane verbis, res illas diviniores, quæ spiritalium gradu et ordine continentur, iis quæ apud Mosem legimus, tanquam symbolis quibusdam ac notis involvi, manifeste docet. Audi vero quam iis affinia Plato geminaquè philosophetur, dum in sexto De Republica, hunc in modum scribit.

Exod. 25, 40. Heb. 8. 5.

Plato Rep. p. 500.

2 Philosophus igitur, inquit ille, ut summa Dei ac pulcritudinis ipsius familiaritate utitur, ita divinitatis ac pulcritudinis, quantum homini fas est,
3 particeps efficitur. Sed calumnia videlicet ubique regnat. Ita profecto est. Hunc tu igitur, inquam, si quæ illic contemplatur, ad instituendos

ΠΛΑ-ΤΩ-ΝΟΣ

ἀνάγκη γένηται, ἃ ἐκεῖ ὁρᾷ, μελετῆσαι εἰς ἀνθρώπων ἤθη καὶ
ἰδίᾳ καὶ δημοσίᾳ τιθέναι, καὶ μὴ μόνον ἑαυτὸν πλάττειν, ἆρα
κακὸν δημιουργὸν αὐτὸν οἴει γενήσεσθαι σωφροσύνης τε καὶ b
δικαιοσύνης καὶ ξυμπάσης τῆς δημοτικῆς ἀρετῆς; Ἥκιστά
4 γε, ἦδ᾽ ὅς. Ἀλλ᾽ ἐὰν δὴ αἴσθωνται οἱ πολλοὶ, ὅτι ἀληθῆ
περὶ αὐτοῦ λέγομεν, χαλεπανοῦσι δὴ τοῖς φιλοσόφοις, καὶ
ἀπιστήσουσιν ἡμῖν λέγουσιν ὡς οὐκ ἄν ποτε ἄλλως εὐδαιμο-
νήσειε πόλις, εἰ μὴ αὐτὴν διαγράψειαν οἱ τῷ θείῳ παρα-
5 δείγματι χρώμενοι ζωγράφοι; Οὐ χαλεπανοῦσιν, ἦ δ᾽ ὅς, ἐάν
περ αἴσθωνται. Ἀλλὰ δὴ τίνα λέγεις τρόπον τῆς δια-
γραφῆς; Λαβόντες, ἦν δ᾽ ἐγὼ, ὥσπερ πίνακα, πόλιν τε καὶ
ἤθη ἀνθρώπων, πρῶτον μὲν καθαρὰν ποιήσειαν ἄν, ὃ οὐ πάνυ c
6 ῥᾴδιον. Ἀλλ᾽ οὖν οἶσθ᾽, ὅτι τούτῳ ἂν εὐθὺς τῶν ἄλλων
διενέγκαιεν, τῷ μήτε ἰδιώτου, μήτε πόλεως ἐθελῆσαι ἂν ἅψα-
σθαι, μηδὲ γράφειν νόμους, πρὶν παραλαβεῖν καθαρὰν, ἢ αὐτοὶ
7 ποιῆσαι. Καὶ ὀρθῶς γε, ἔφη. Οὐκοῦν μετὰ ταῦτα οἴει
ὑπογράψασθαι ἂν τὸ σχῆμα τῆς πολιτείας; Τί μήν;
8 Ἔπειτα, οἶμαι, ἀπεργαζόμενοι πυκνὰ ἂν ἑκατέρωσε ἀποβλέ- d

a 11. δὴ om. C.D.F.G. ante δημιουργόν. b 2. δημοτικῆς] δημοκρατικῆς D. 4. λέγουσι D. 5. ἡμῖν] ἡμῶν C. 7. πόλις] πόλεις F. διαγράψειαν] διαγράψειν C.F.G. 12. ἦθος D. c 3. διενέγκαιεν] διενέγκαι ἂν C.D.E.F.G.I. Mox ἐθελῆσαι ἂν C.I. ubi Steph. ἐθελήσαιεν. 5. μηδὲ—πρὶν] μὴ—πρὶν ἢ D. πρὶν ἢ F.G. c 8. ὑπογράψεσθαι F.G.

hominum mores necessitate quadam revocare, privatimque simul ac publice proponere, nec sese tantum fingere conformareque debuerit; an stultum aliquem temperantiæ, æquitatis, omnisque adeo virtutis civilis artificem
4 futurum arbitraris? Minime vero, inquit. Et multitudo, inquam, si semel verum a nobis hoc in genere dici cognoverit, ultrane philosophis succensebit, ac fidem nobis detrahet, dum rempublicam aliter felicem futuram negamus, nisi eam pictores illi divinum exemplar intuentes informaverint.
5 Nunquam hercle, id si modo cognoverit. Sed, quodnam istuc, obsecro, informandi genus intelligis? Nempe, civitatem, inquam, moresque hominum, quasi tabulam aliquam in manus sumentes, ab omni primum labe
6 purgabunt. Quod quidem non admodum facile est. Sed hoc nimirum probe nosti, vel hoc maxime reliquis omnibus philosophos anteire; quod neque privatum quemquam, aut rempublicam ullam attingere, nec leges omnino ferre velint, nisi utrumque prius vel purgatum acceperint, vel
7 ipsimet purgaverint. Et merito sane, inquit. Postea vero, non tu eos
8 optimam reipublicæ formam descripturos existimas? Equidem. Tum vero, dum in opus incumbent, sæpe, opinor, ad utrumque respicient, hoc est

ΠΛΑΤΩΝΟΣ

ποιεν, πρός τε τὸ φύσει δίκαιον καὶ καλὸν καὶ σῶφρον καὶ πάντα τὰ τοιαῦτα, καὶ πρὸς ἐκεῖνο αὖ τὸ ἐν τοῖς ἀνθρώποις, ἐμποιοῖεν ξυμμιγνύντες τε καὶ κεραννύντες ἐκ τῶν ἐπιτηδευμάτων τὸ ἀνδρείκελον, ἀπ' ἐκείνου τεκμαιρόμενοι, ὃ δὴ καὶ Ὅμηρος ἐκάλεσεν ἐν τοῖς ἀνθρώποις ἐγγιγνόμενον θεοειδές τε
9 καὶ θεοείκελον. Ὀρθῶς, ἔφη. Καὶ τὸ μὲν ἄν, οἶμαι, ἐξαλείφοιεν, τὸ δὲ πάλιν ἐγγράφοιεν, ἕως ἂν ὅτι μάλιστα τὰ ἀνθρώπεια ἤθη εἰς ὅσον ἐνδέχεται θεοφιλῆ ποιήσειαν.

20 Δοκεῖ μοι τρίτον ἢ τέταρτον ὁ λόγος εἰς ταυτὸν περιφε- p. 594
ρόμενος ἥκειν, ὡς ἄρα παιδεία μέν ἐσθ' ἡ παίδων ὁλκή τε καὶ b
ἀγωγὴ πρὸς τὸν ὑπὸ τοῦ νόμου λόγον ὀρθὸν εἰρημένον, καὶ τοῖς ἐπιεικεστάτοις καὶ πρεσβυτάτοις δι' ἐμπειρίαν ξυνδε-
2 δογμένον ὡς ὄντως ὀρθός ἐστιν. Ἵν' οὖν ἡ ψυχὴ τοῦ παιδὸς μὴ ἐναντία χαίρειν καὶ λυπεῖσθαι ἐθίζηται τῷ νόμῳ καὶ τοῖς
[349] ὑπὸ τοῦ νόμου τεθειμένοις, ἀλλὰ ξυνέπηται χαίρουσά τε καὶ λυπουμένη τοῖς αὐτοῖς οἷσπερ ὁ γέρων, τούτων ἕνεκα, ἃς ᾠδὰς καλοῦμεν, (ὄντως μὲν ἐπῳδαὶ ταῖς ψυχαῖς αὗται νῦν γεγονέναι, πρὸς τὴν τοιαύτην ἣν λέγομεν συμφωνίαν ἐσπου- c

d 4. αὖ τὸ] αὐτὸ C.E.F.G.I. αὖ, ὃ Vig. ἐκείνῳ αὐτῷ D. 8. γιγνόμενον D. 10. ἐξαλείφειεν et ἐγγράφειεν D. 11. ἂν ὅτι] ἂν om. C.E.F.G.I. 12. ἐνδέχεται] ἐνδέχηται C.F.

p. 594. b 3. ὀρθῶν D. 7. τῷ νόμῳ] τῶν νόμων D. Tum πεπεισμένοις Plato. 11. νῦν] γοῦν C.

modo ad illud, quod suapte natura justum, pulcrum, moderatum est, cæteraque id genus omnia; modo ad hoc alterum, quod inter homines elaborent, humanum simulacrum ita suis ex studiorum officiorumque rationibus conflando atque temperando, ut illud semper imitentur, quod Homerus ipse quoque insitam impressamque hominibus divinam speciem
9 et imaginem appellavit. Præclare, inquit. Et subinde quidem, opinor, deleturi modo, modo informaturi sunt, donec humanos ipsi mores, quam maxime fieri potest, deo caros acceptosque reddiderint.

20 Jam mihi tertium aut quartum, inquit idem, eo nobis revoluta videtur oratio, ut disciplinam aliud dicamus esse nihil, quam puerorum educatio-

Plato Legg. II. p. 659.

nem ejusmodi, qua ad eam vitæ rationem adducantur, cujus integritas et legis ore commendetur, et hominum tam æquitate præstantium, quam
2 ætate maturorum auctoritate atque experientia comprobetur. Ut ergo pueri animus non aliis de caussis, quam quæ legi simul, et iis quæ a lege sancita fuerint, conveniant, aut dolere aut lætari assuescat, adeoque senioris ductum sequatur in omni tristitiæ gaudiique sensu: propterea, quas passim odas vocamus: (tametsi enim animos vere cantionum instar nunc quidem afficiant, utpote ad eum quo de loquimur concentum efficiendum elabo-

δασμέναι, διὰ δὲ τὸ σπουδὴν μὴ δύνασθαι φέρειν τὰς τῶν νέων ψυχὰς, παιδιαί τε καὶ ᾠδαὶ καλεῖσθαι καὶ πράττεσθαι,) καθάπερ τοῖς κάμνουσί τε καὶ ἀσθενῶς ἔχουσι τὰ σώματα ἐν ἡδέσι τέ τισι σιτίοις καὶ πόμασι τὴν χρηστὴν πειρῶνται τροφὴν προσφέρειν οἷς μέλει τούτων, τὴν δὲ τῶν πονηρῶν ἐν ἀηδέσιν, ἵνα τὴν μὲν ἀσπάζωνται, τὴν δὲ μισεῖν ὀρθῶς ἐθίζωνται. ΠΛΑΤΩΝΟΣ

3 Ταυτὸν δὲ καὶ τὸν ποιητικὸν ὁ ὀρθὸς νομοθέτης ἐν τοῖς καλοῖς ῥήμασι καὶ ἐπαινετοῖς πείσει τε, καὶ ἀναγκάσει d μὴ πείθων, τὰ τῶν σωφρόνων τε καὶ ἀνδρείων καὶ πάντως ἀγαθῶν ἀνδρῶν ἔν τε ῥυθμοῖς σχήματα καὶ ἐν ἁρμονίαισι μέλη ποιοῦντα ὀρθῶς ποιεῖν.

Εἰκότως ἄρα καὶ παρ' ἡμῖν τὰς ὑπὸ θείων προφητῶν πεποιημένας ᾠδὰς καὶ τοὺς εἰς Θεὸν ὕμνους μελετᾶν οἱ παῖδες ἐθίζονται.

21 Τοὺς ποιητὰς ἀναγκάζετε λέγειν ὡς ὁ μὲν ἀγαθὸς ἀνὴρ σώφρων ὢν καὶ δίκαιος εὐδαίμων ἐστὶ καὶ μακάριος, ἐάν τε μέγας καὶ ἰσχυρὸς, ἐάν τε σμικρὸς καὶ ἀσθενὴς ᾖ, καὶ ἐὰν p. 595

c 3. παιδιαί] παιδεῖαι C.F.G. 5. ἔχουσι τὰ σώματα] ἴσχουσι τὸ σῶμα I. 8. μέλει] μέλλει D. d. ἐπαινετοῖς] ἐπαινετῆς C. 4. ἁρμονίαις] ἁρμονίαισι C.F.G. 11. ἀναγκάζετε] ἀναγκάζεται C.F.G. 12. σώφρων] σώφρον C.
p. 595. μικρὸς F.G.

ratæ; quod tamen juniorum animi serium nihil et actuosum ferre possint, lusus sane odæque nominentur ac fiant:) ut qui corpore laborantes maleque habentes curandos suscepere, iis salubre alimentum esculentis ac poculentis suavioribus, noxium autem injucundioribus immiscere solent, 3 ut alterum amare, odisse alterum facile assuescant: ita plane bonus legislator eo poëtam vel adducet, vel, si minus adducere poterit, adiget, ut honestis ac laudabilibus verbis, mores hominum temperantia, fortitudine, omnique virtutis genere insignium, sive in numeris staticulos, sive in concentu modulatos versus efficiet, rite ac decenter imitetur.

Hæc ille. Ergo jure sane ac merito, pueri quoque nostri divinorum prophetarum odas, hymnosque de Deo scriptos terere sæpius ac repetere consuescunt.

21 Eam poëtæ necessitatem imponitis, inquit Plato, uti virum bonum, vel p. 660. hoc ipso quo temperantiam et æquitatem colat, felicem beatumque pronuntient, seu procero ac robusto corpore fuerit, seu contra exiguo et infirmo;

ΠΛΑΤΩΝΟΣ

πλουτῇ καὶ μή· ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα
2 μᾶλλον, ᾖ δὲ ἄδικος, ἄθλιός τε ἐστὶ καὶ ἀνιαρῶς ζῇ. Καὶ,

Οὔτ' ἂν μνησαίμην,

φησὶν ὑμῖν ὁ ποιητὴς, εἴπερ ὀρθῶς λέγει,

οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην,

ὃς μὴ πάντα τὰ λεγόμενα καλὰ μετὰ δικαιοσύνης πράττοι καὶ κτῷτο, καὶ δὴ

Καὶ δηΐων

τοιοῦτος ὢν

ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος·

ἄδικος δὲ ὢν μήτε τολμῴη ὁρῶν φόνον αἱματόεντα, μήτε νικῴη θέων Θρηΐκιον Βορέην, μὴ δὲ ἄλλο αὐτῷ μηδὲν τῶν λεγομένων b
ἀγαθῶν γίγνοιτό ποτε· τὰ γὰρ ὑπὸ τῶν πολλῶν λεγόμενα
3 ἀγαθὰ οὐκ ὀρθῶς λέγεται. Λέγεται γὰρ ὡς ἄριστον μὲν ὑγιαίνειν, δεύτερον δὲ κάλλος, τρίτον δὲ πλοῦτος· μυρία δὲ ἄλλα ἀγαθὰ λέγεται· καὶ γὰρ ὀξὺ ὁρᾶν καὶ ἀκούειν καὶ πάντα ὅσα ἔχεται τῶν αἰσθήσεων εὐαισθήτως ἔχειν, ἔτι δὲ καὶ τὸ ποιεῖν τυραννοῦντα ὅ τι ἂν ἐπιθυμῇ, καὶ τὸ δὴ τέλος

a 3. κιννύρα D. 5. ὑμῖν om. D. ἡμῖν Steph. 6. λέγῃ] λέγει C.F.G. λέγοι D. 7. ὡς D. 8. κτῷτο] κέκτητο C.F.G.I. pr. m. Supra πράττει D. 10. δὲ ὢν] μὲν ὢν E. b. μήτε δὲ] μὴ δὲ C.F.I. μηδὲ D. 4. μὲν γὰρ] μὲν om. C.F.G. μὲν post ἄριστον om. E.I. 9. τυραννοῦντα] τυραννικῶς C.F.G.

itemque seu divitiis abundabit, seu non: sin autem Cinyram ipsum opibus Midamque superabit, idem tamen injustus erit, miserum illum esse, atque
2 acerbam vitam ducere. Enimvero (sic enim apud vos poëta loquitur, si recte modo loquitur,) ejus ego viri ne meminerim quidem, aut omnino rationem ullam duxerim, qui omnia honestatis et æquitatis officia non obeat atque complectatur. Quod si talis erit, *tum gestat hosti collato pugnare pede.* An injustus si fuerit, *nec audeat cædes spectare cruentas, nec possit, Threïcium Boream celeri prævertere cursu:* nec aliud quicquam eorum quæ bona dicuntur obtineat. Nam quæ vulgus hominum appellare
3 bona solet, hoc iis falso nomen tribuitur. Sanitas quippe omnium fere optima prædicatur: secundo loco pulchritudinem, tertio robur, quarto divitias numerant. Quanquam infinita alia sunt, quæ bona vulgus appellat. Nam acuto visu audituque præditum esse, omnibusque sensuum facultatibus integris ac perfectis uti: summo in dominatu, quicquid animo collibuerit facere, bonum existimatur: postremo felicitatis omnis cumulus habetur, ut primum hæc omnia consequutus eris, continuo immortalem

ΠΛΑΤΩΝΟΣ

ἁπάσης μακαριότητος εἶναι τὸ πάντα ταῦτα κεκτημένον ἀθά- c
4 νατον εἶναι γενόμενον ὅτι τάχιστα. Ὑμεῖς δὲ καὶ ἐγώ που
τάδε λέγομεν, ὡς ταῦτά ἐστι ξύμπαντα δικαίοις μὲν καὶ ὁσίοις
ἀνδράσιν ἄριστα κτήματα, ἀδίκοις δὲ κάκιστα ξύμπαντα,
ἀρξάμενα ἀπὸ τῆς ὑγείας. Καὶ δὴ καὶ τὸ ὁρᾶν καὶ τὸ
ἀκούειν καὶ αἰσθάνεσθαι καὶ τὸ παράπαν ζῆν μέγιστον μὲν
κακὸν τὸν ξύμπαντα χρόνον ἀθάνατον ὄντα καὶ κεκτημένον
πάντα τὰ λεγόμενα ἀγαθὰ πλὴν δικαιοσύνης τε καὶ ἀρετῆς
ἁπάσης, ἔλαττον δὲ, ἐὰν ὡς ὀλίγιστον ὁ τοιοῦτος χρόνον d
5 ἐπιζώῃ. Ταῦτα δὴ λέγειν οἶμαι τοὺς παρ' ὑμῖν ποιητὰς,
ἅπερ ἐγὼ, πείσετε καὶ ἀναγκάσετε, καὶ ἔτι τούτοις ἑπομένους
ῥυθμούς τε καὶ ἁρμονίας ἀποδόντας παιδεύειν οὕτω τοὺς νέους
ὑμῶν. Ἦ γὰρ ὁρᾶτε; Ἐγὼ μὲν γὰρ λέγω σαφῶς τὰ
μὲν κακὰ λεγόμενα ἀγαθὰ τοῖς ἀδίκοις εἶναι, τοῖς δὲ δικαίοις
κακά· τὰ δὲ ἀγαθὰ τοῖς μὲν ἀγαθοῖς ὄντως ἀγαθὰ, τοῖς δὲ
κακοῖς κακά. Ὅπερ οὖν ἠρόμην, ἆρα ξυμφωνοῦμεν ἐγώ τε
καὶ ὑμεῖς, ἢ πῶς;

6 Οὐ πόρρω ταῦτα τυγχάνει τῶν τοῦ Δαβὶδ ψαλμῶν,

c 2. μὲν D. 4. ἀνδράσιν ὁσ.] ὁσ. ἀνδ. C. Viger. ἀδίκοις] ἀδίκως C. 7. καὶ τὸ αἰσθ. D. 8. τὸ ξύμπ. G. 9. καὶ om. D.
d 2. ἐπιζώῃ] ἐπιζώσῃ C.F.G.I. ἐπιζώησον D. qui mox δέ. 3. πείσετε] ποιήσεται C. ποιήσετε F.G. πείσεται D. ποιήσω E. ποιήσω τε I. 4. ἀναγκάσεται καὶ ἔτι D. καὶ ἀναγκάσω καὶ ἔτι E.I. καὶ excidit ex ed. Viger. 6. ὁρᾶτε] ὡς ὁρ. C.D.F.G. 9. ὄντα D. 12. οὐ om. I.

4 evadere. At ejusmodi cum vester, opinor, tum meus quoque sensus est, viris quidem justis ac piis optimam esse rerum istarum omnium possessionem, at improbis longe pessimam, initio ab ipsamet sanitate ducto. Nam videre, audire, sentire, omninoque vivere, ut maximum ei malum fuerit, qui hæc omnia, quæ vulgo bona dicuntur, sempiterno tempore immortalis possideat, a justitia et virtute sejuncta; sic ei longe minus, qui
5 talis cum esset, non nisi brevissimo tempore vixerit. Hæc utique vestri ut poëtæ canant, vel impetrabitis, vel extorquebitis, necnon ut aptum iis et cohærens numerorum concentusque genus adhibeant, quod erudiendis adolescentibus vestris opportunum sit futurum. Utrum enim hoc advertitis? Equidem id clare pronuncio, quæ mala dicuntur, injustis bona, mala justis esse; quæ bona, bonis vere bona, malis autem mala. Utrum igitur, in eo quod rogabam, inter nos convenimus, an secus?

6 Platonica ista non admodum a Psalmis Davidis absunt, quos

οὓς προλαβὼν θείῳ πνεύματι συνέταξε, δι᾽ ᾠδῶν καὶ
ὕμνων τίς μὲν ὁ ἀληθῶς μακάριος τίς δὲ ὁ τούτῳ ἐναν-
τίος παιδεύσας. Ἐντεῦθεν γοῦν αὐτῷ καὶ κατάρχεται
ἡ βίβλος φήσαντι, Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ p. 596
ἀσεβῶν, καὶ τὰ ὅμοια. Ἃ δὴ μεταβαλὼν ὁ Πλάτων,
φησὶ δεῖν τοὺς ποιητὰς λέγειν, "ὡς ὁ μὲν ἀγαθὸς ἀνὴρ
σώφρων ὢν καὶ δίκαιος εὐδαίμων ἐστὶ καὶ μακάριος· ἐὰν
[350] 7 δὲ ἄρα πλουτῇ, ᾖ δὲ ἄδικος, ἄθλιός ἐστιν." Ὃ καὶ αὐτὸ
πάλιν ὁ Δαβὶδ ὧδέ πως ἐξέδωκε διὰ τῶν ψαλμῶν εἰπών,
Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. Καὶ πάλιν,
Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ
δόξα τοῦ οἴκου αὐτοῦ. Ἐπὶ σχολῆς δ᾽ ἂν εὕροις ἕκαστα
τῶν εἰρημένων τῷ φιλοσόφῳ πρὸς λέξιν κείμενα δι᾽ ὅλης b
τῆς ἱερᾶς τῶν ψαλμῶν γραφῆς.

22 Νομοθετικὸν μὲν οὖν καὶ πολιτικὸν ὑπερβαλλόντως. Ἀλλ᾽
ΠΛΑΤΩΝΟΣ ἕτερα φαῦλα ἂν εὕροις αὐτόθι· τοῦτο δ᾽ οὖν τὸ περὶ μουσικὴν c
ἀληθές τε καὶ ἄξιον ἐννοίας, ὅτι δυνατὸν ἄρα ἦν περὶ τῶν

d 15. τούτων D.
p. 596. 3. ὁ μὲν] ὅμως F. 4. σώφρων] σώφρον C. 8. καρδία D.E.F.G. 10. ἢ ὅταν] καὶ ὅταν C.F.G.I. b 9. ἀλλ᾽] ἄλλα τε C.D.F.G. c. φαῦλα] φᾶντα F.

quidem ipse divino afflatus numine tanto ante ex cantibus hymnisque contexuit, quisnam vere aut beatus, aut miser esset, exponens. Et
Ps. 1. quidem suum ipse librum inde auspicatur, dum ait, *Beatus vir, qui non abiit in consilio impiorum ;* et similia, quibus nonnihil immutatis, Plato hanc poëtis necessitatem imponit, uti virum bonum, vel hoc ipso, quo temperantiam et æquitatem colat, felicem, beatumque pronuntient; improbum autem, ut divitiis circumfluat, miserum prædicent.
Ps. 62, 10. 7 Quod ipsum David in suis quoque Psalmis expressit, his verbis, *Divitiæ si affluant, nolite cor apponere.* Atque iterum, *Ne timeas, cum*
Ps. 49, 16. *dives factus fuerit homo, aut cum multiplicata fuerit gloria domus ejus.* Quinetiam quicquid eo loco dictum a philosopho est, id tu omne sigillatim, in sacro Psalmorum volumine, ad verbum expressum, majore otio reperies.

22 Imo, quod summi prorsus (inquit Plato) cum in legibus ferendis, tum in
p. 657 a. constituenda republica momenti sit. Nam ut alia quædam apud eos leviuscula reperias; hoc sane quod in musica statuunt, et verum, et obser-

τοιούτων νομοθετεῖσθαι βεβαίως θαρροῦντα μέλη τὰ τὴν ὀρθότητα φύσει παρεχόμενα. Τοῦτο δὲ θεοῦ ἢ θείου τινὸς ἀνδρὸς ἂν εἴη. ΠΛΑ-ΤΩ-ΝΟΣ

2 Εἰκότως ἄρα καὶ παρ' Ἑβραίοις νενομοθέτητο μηδὲ ἄλλους ὕμνους καὶ ᾠδὰς ἐν ταῖς θείαις διδασκαλίαις ἀποδέχεσθαι ἢ τὰς ὑπὸ τοῦ θείου Πνεύματος διὰ τῶν θείων καὶ προφητικῶν ἀνδρῶν πεποιημένας, τά τε τού- d
τοις κατάλληλα μέλη τῷ συνήθει παρ' αὐτοῖς ᾀδόμενα τρόπῳ.

23 Συγχωρῶ γε τό γε τοσοῦτον καὶ ἐγὼ τοῖς πολλοῖς, δεῖν
τὴν μουσικὴν ἡδονῇ κρίνεσθαι, μὴ μέντοι τῶν γε ἐπιτυχόντων,
ἀλλὰ σχεδὸν ἐκείνην εἶναι μοῦσαν καλλίστην, ἥ τις τοὺς
βελτίστους καὶ ἱκανῶς πεπαιδευμένους τέρπει, μάλιστα δὲ ἥ p. 597
2 τις ἕνα τὸν ἀρετῇ τε καὶ παιδείᾳ διαφέροντα. Διὰ ταῦτα
δὲ ἀρετῆς φαμὲν δεῖσθαι τοὺς τούτων κριτὰς, ὅτι τῆς τε
ἄλλης μετόχους αὐτοὺς εἶναι δεῖ φρονήσεως, καὶ δὴ καὶ τῆς
3 ἀνδρίας. Οὔτε γὰρ παρὰ θεάτρου δεῖ τόν γε ἀληθῆ κριτὴν

c 6. ἂν εἴη om. E. ἀνδρὸς om. F.G.I. 7. νενομοθ.] ἐνομοθ. C.F.G. 10. προφητικῶν] προφητῶν C.G.I. d 9. ἐπιτυχόντων] ἐπιτυγχανόντων F.

p. 597. 2. ἀρετῇ τε] τε om. C.F.G. 6. θατέρου] γρ. θεάτρου Vigeri margo. Sic F.G. Nihil e Parisinis mss. a collatore meo enotatum.

vatione dignum est: fieri nimirum potuisse, ut hoc etiam in genere legislator, si constanter auderet modo, concentus eos lege sanciret, qui per sese honestatem naturæ ac probitatem adjungerent. Cæterum id vel dei, vel divini cujusdam hominis proprium fuerit.

2 Jure ergo cautum apud Hebræos fuit, ut ne alii divinis in doctrinis hymni cantusque locum haberent, quam quos divinus ipse Spiritus divinorum ac propheticorum hominum ore fudisset, eoque præterea modulorum genere, quod et cum ipsis cohæreret, et solenni apud eos receptoque more caneretur.

23 Ego vero, inquit Plato, id multitudini concedam ipse quoque, musicam p. 658.
voluptate metiri oportere: sic tamen, ut non in plebeiorum hominum vo- extr.
luptate acquiescamus, sed optimam fere musam illam esse statuamus, quæ
optimos atque optime institutos, maxime vero quæ unum aliquem virtute
2 doctrinaque præstantem delectabit. Quare virtutem in primis carminum
illorum judicibus necessariam esse defendimus, cum ii non prudentia modo,
3 verum etiam constantia præditi esse debeant. Nec enim profecto deceat,

ΠΛΑΤΩΝΟΣ

κρίνειν μανθάνοντα καὶ ἐκπληττόμενον ὑπὸ τοῦ θορύβου τῶν πολλῶν καὶ τῆς αὑτοῦ ἀπαιδευσίας, οὔτ᾿ αὖ γιγνώσκοντα δι᾿ ἀνανδρίαν καὶ δειλίαν ἐκ τοῦ αὐτοῦ στόματος, οὗπερ τοὺς θεοὺς ἐπεκαλέσατο, μέλλων κρίνειν, ἐκ τούτου ψευδόμενον b ἀποφαίνεσθαι ῥαθύμως τὴν κρίσιν· οὐ γὰρ μαθητής, ἀλλὰ διδάσκαλος, ὥς γε τὸ δίκαιον, θεατῶν μᾶλλον ὁ κριτὴς καθίζει, καὶ ἐναντιωσόμενος τοῖς τὴν ἡδονὴν μὴ προσηκόντως μηδὲ ὀρθῶς ἀποδιδοῦσι θεαταῖς.

4 Καὶ παρ᾿ Ἑβραίοις τὸ παλαιὸν οὐ τοῦ πλήθους ἦν τὸ κρίνειν τοὺς ἐκ θείου πνεύματος προφερομένους λόγους καὶ τὰς ἐνθέους ᾠδάς, ἀλλ᾿ ἦσαν βραχεῖς καὶ σπάνιοι, μέτοχοι καὶ αὐτοὶ θείου πνεύματος διακριτικοῦ τῶν λεγομένων, οἷς καὶ μόνοις ἐξῆν ἐγκρίνειν καὶ [δὴ] ἀφιε- c ροῦν τὰς προφητῶν βίβλους, τὰς δὲ τῶν μὴ τοιούτων ἀποδοκιμάζειν.

24 Καὶ ὅπερ ὁ λόγος ἐν ἀρχαῖς ἐβουλήθη, τὴν τῷ τοῦ Διο- d

a 9. αὐτοῦ] ἑαυτοῦ G. οὔτ᾿ αὖ] οὔτ᾿ ἂν I. γιγνώ.] γινώ. C.F. G. ὑπ᾿ ... ἂν D. 10. ἀνανδρείαν] δι᾿ ἀνδρίαν C.F. δ᾿ ἀνδρίαν G. δι᾿ ἀνανδρίαν I. 11. οὗπερ] ὑπὲρ I. b 3. ὅς γε] ὥς γε C.E. 8. προφερομένους] προφ. λόγους C.F.G.I. 11. διακριτικοῦ] κριτικοῦ I. 12. ἐξῆν] ἐξῇ F. καὶ δὴ] δὴ om. C.F.G.I. Mox τὰς τῶν πρ. F.G. d. τῷ τοῦ] τοῦ τῷ C.F.G.

ut æquus verusque judex, aut ab ipsomet theatro edoctus, et partim multitudinis strepitu, partim stultitia propria stupefactus judicium ferat; aut dum etiam ipse veritatem agnoscit, ignavia tamen debilitatus ac metu, illo ipso ore, quo paulo ante cum ad judicandum accederet, testes appellavit deos, falsam vanamque sententiam indigne pronuntiet. Nec enim ipse tanquam discipulus, sed tanquam spectatorum, uti par est, magister futurus, illisque adeo, si voluptatem perperam et alieno loco præ se ferent, constanter repugnaturus sedet.

4 Eodem plane modo, non infimæ quondam apud Hebræos multitudinis erat, aut de iis qui tanquam divino spiritu afflati producerentur, aut de divinis ipsis carminibus statuere: sed pauci erant, divino spiritu, cujus propria illa describendi vis est, afflati ipsi quoque, quibus etiam unis ea de re statuere, ipsosque adeo prophetarum libros consecrare, cæteros vero tanquam adulterinos ac spurios abjudicare liceret.

24 Cæterum, inquit Plato, quod a nobis suscepta primum disputatio seque-

p. 671 a.

ΠΛΑ-ΤΩ-ΝΟΣ

νύσου χορῷ βοήθειαν ἐπιδεῖξαι καλῶς λεγομένην, εἰς δύναμιν εἴρηκε. Σκοπώμεθα δὴ εἰ τοῦθ' οὕτω γέγονε. Θορυβώδης μέν που ὁ ξύλλογος ὁ τοιοῦτος ἐξ ἀνάγκης προϊούσης τῆς πόσεως ἔτι μᾶλλον ἀεὶ ξυμβαίνει γενόμενος, ὅπερ ὑπεθέμεθα κατ' ἀρχὰς ἀναγκαῖον εἶναι γίνεσθαι περὶ τῶν νῦν λεγομένων.

Ἀνάγκη.

2 Πᾶς δέ γε αὐτὸς αὑτοῦ κουφότερος αἴρεται καὶ γέγηθέ τε καὶ παρρησίας ἐμπίμπλαται καὶ ἀνηκουστίας ἐν τῷ τοιούτῳ
[351] τῶν πέλας, ἄρχων δ' ἱκανὸς ἀξιοῖ αὑτοῦ τε καὶ τῶν ἄλλων γεγονέναι.

Τί μήν;

3 Οὐκοῦν ἔφαμεν, ὅταν γίνηται ταῦτα, καθάπερ τινὰ σίδηρον, τὰς ψυχὰς τῶν πινόντων διαπύρους γινομένας μαλακω- p. 598
τέρας γίνεσθαι καὶ νεωτέρας, ὥστ' εὐαγώγους ξυμβαίνειν τῷ δυναμένῳ τε καὶ ἐπισταμένῳ παιδεύειν τε καὶ πλάττειν,
4 καθάπερ ὅτ' ἦσαν νέαι; Τοῦτον δὲ εἶναι τὸν πλάστην τὸν αὐτὸν, ὥσπερ τότε, τὸν ἀγαθὸν νομοθέτην, οὗ νόμους εἶναι δεῖ συμποτικοὺς, δυναμένους τὸν εὔελπιν καὶ θαρραλέον ἐκεῖνον

d 3. δὴ εἰ] δὲ εἰ F.G. 5. ἔτι] ἐπὶ Plat. 6. γινόμενος F.G. 8. Plat. γιγνομένων. 9. αὑτοῦ om. F. 11. ἀνηκουστίας] ἀνηκουστέρας C.D.F.G. Supra ἐμπίπλαται G. ult. γενομένας] γινομένας C. F.G. Mox μαλθακ. Plat.

p. 598. 4. τοῦτον] τούτων D. 5. ὅνπερ] ὥσπερ C.D.E.F.G.I. Tum τότε om. E.

batur, ut opis aliquid ad Bacchi chorum probe instituendum afferret, id hactenus pro facultate nostra disseruimus. Nunc ergo videamus, utrum a nobis perfectum id fuerit. Sane conventum ejusmodi necesse quodammodo est, dum compotatio magis semper magisque fervet, turbulentiorem evadere; quod etiam ab initio his in rebus, de quibus nunc agitur, necessitate quadam evenire posuimus.

Necesse id quidem.

2 Tum vero quisque solito levior indulget sibi, ac lætitia, solutus ut liberius effusiusque loquitur, ita neminem interim ex vicinis audit, sed potius idoneus sibi quidam, et sui, et cæterorum omnium moderator videtur.

Quippe.

3 Nos vero diximus, ubi hæc eveniunt, bibentium animos, posteaquam ignem ferri more conceperint, molliores ac juniores fieri; ut perinde omnino ac dum teneriores adhuc essent, ei qui alios erudire ac fingere
4 possit ac noverit, faciliores sese tum ac tractabiliores præbeant. Fictorem porro statuimus illum ipsum, qui tum bonus etiam nobis legislator erat. Hic convivales quoque leges describet, quibus petulantior ista confidentis

ΠΛΑΤΩΝΟΣ

γινόμενον καὶ ἀναισχυντότερον τοῦ δέοντος, καὶ οὐ θέλοντα τάξιν καὶ τὸ κατὰ μέρος σιγῆς καὶ λόγου καὶ πόσεως καὶ μούσης ὑπομένειν, ἐθέλειν ποιεῖν πάντα τούτοις τἀναντία, b καὶ εἰσιόντι τῷ μὴ καλῷ θάρρει τὸν κάλλιστον διαμαχόμενον φόβον εἰσπέμπειν οἵους τε εἶναι μετὰ δίκης, ὃν αἰδῶ τε καὶ αἰσχύνην θεῖον φόβον ὠνομάκαμεν.

Ἔστι ταῦτα.

Τούτων δέ γε τῶν νόμων εἶναι νομοφύλακας καὶ συνδημιουργοὺς αὐτοῖς τοὺς ἀθορύβους καὶ νήφοντας.

5 Εἰκότως τοιγαροῦν καὶ ἡμῖν αὐτοῖς ἐν τοῖς συμποσίοις ᾠδὰς καὶ ὕμνους εἰς Θεὸν πεποιημένους ᾄδειν παραδέδοται, τοῦ προσήκοντος κόσμου τῶν παρ' ἡμῖν φυλάκων ἐπιμελομένων.

25 Εἰ μέν τις πόλις, ὡς οὔσης σπουδῆς, τῷ ἐπιτηδεύματι τῷ c νῦν εἰρημένῳ χρήσεται μετὰ νόμων καὶ τάξεως, ὡς τοῦ σωφρονεῖν ἕνεκα μελέτῃ χρωμένη, καὶ τῶν ἄλλων ἡδονῶν μὴ ἀφέξεται ὡσαύτως καὶ κατὰ τὸν αὐτὸν λόγον, τοῦ κρατεῖν d αὐτῶν ἕνεκα μηχανωμένη, τοῦτον μὲν τὸν τρόπον ἅπασι τού-

b 2. θάρρει] θαρρεῖ D. c 6. μελέτης] μελέτῃ C. et sic ni fallor D.E. d. μηχανωμένη] μὴ χρωμένη D.

et audaculi hominis, qui nullum jam ordinem, nullas silendi ac loquendi, nullas bibendi canendique vices ferre possit, impudentia ad contrariæ honestatis et modestiæ officia revocetur: atque ita subeunti paulatim gliscentique protervïæ, adversarius opponatur honestissimus ille metus, idemque cum æquitate conjunctus, quem pudorem ac verecundiam, divinum utique metum, appellavimus.

Sic est.

Harum præterea legum custodes, qui suam illis operam navarent, quietos homines ac sobrios esse voluimus.

5 Hæc ille. Jure igitur hic apud nos etiam in conviviis, odas et hymnos in Dei laudem canendi receptus mos est: quo in genere, honestati ac modestiæ nostri quoque moderatores invigilant atque prospiciunt.

25 Si quæ civitas, inquit Plato, ut in re seria fieri solet, hunc morem, prout legum ordinisque ratio postulabit, usurpare volet, perinde ac si parandæ temperantiæ gratia, exercitatione quadam uteretur: itemque si ab aliis similiter voluptatibus, eodem consilio, non abstinebit, ut earum hac tandem arte victrix esse queat: hoc sane modo rebus iis omnibus per me utatur

p. 673. extr.

ΠΛΑΤΩΝΟΣ

τοις χρηστέον· εἰ δ' ὡς παιδιᾷ τε, καὶ ἐξέσται τῷ βουλομένῳ, καὶ ὅταν βούληται, καὶ μεθ' ὧν ἂν βούληται, πίνειν μετ' ἐπιτηδευμάτων ὡντινωνοῦν ἄλλων, οὐκ ἂν τιθείμην ταύτην τὴν ψῆφον, ὡς δεῖ ποτὲ μέθῃ χρῆσθαι ταύτην τὴν πόλιν ἢ τοῦτον τὸν ἄνδρα, ἀλλ' ἔτι μᾶλλον τῆς Κρητῶν καὶ Λακεδαιμονίων χρείας προσθείμην ἂν τῷ Καρχηδονίων νόμῳ, μηδέποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τούτου τοῦ πόματος, ἀλλ' ὑδροποσίαις συγγίνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα, καὶ κατὰ πόλιν μήτε δοῦλον μήτε δούλην γεύεσθαι μηδέ ποτε, μηδέ ἄρχοντας τοῦτον τὸν ἐνιαυτὸν ὃν ἂν ἄρχωσι, μηδ' αὖ κυβερνήτας μηδὲ δικαστὰς ἐνεργοὺς ὄντας οἴνου γεύεσθαι p. 599 τοπαράπαν, μηδὲ ὅστις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου συνέρχεται, μηδέ γε μεθ' ἡμέραν μηδένα τοπαράπαν, εἰ μὴ σωμασκίας ἢ νόσων ἕνεκα, μηδ' αὖ νύκτωρ, ὅταν ἐπινοῇ τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ καὶ γυνή. Καὶ ἄλλα δὲ πάμπολλα ἄν τις λέγοι, ὡς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν οὐ ποτέος οἶνος, ὥστε κατὰ τὸν λόγον τοῦτον

d 3. παιδιᾷ] παιδεία C.D.F.G. 5. ὡντινῶν] τίνων C. τίνων οὖν D.E.F.G.I. 10. προσθήμην D. 12. συγγίν.] συγγίγν. C.F.G. 14. δοῦλον—δούλην] δούλην—δοῦλον C.F.G.I. 15. πώποτε D.

p. 599. 2. βουλευσάμενος D. 6. καὶ γυνὴ] καὶ om. C.F.G. Supra ἐπινόει D. 7. λέγοι] λέγοιεν C.F.G. 9. οἶνος] ὁ οἶνος C.F.G. Scripsi mox οὐδ' ἤ τινι pro vulg. οὐδή τινι.

licet. Sin autem id totum ludus quidam erit, si et volenti cuilibet, et ubi, ac quibuscum ipse voluerit, ita bibere permittetur, ut pro arbitrio aliud simul quodlibet exercitationis genus adjungat; nunquam equidem auctor fuerim, ut ejusmodi vel reipublicæ vel homini largioribus poculis indulgere liceat. Tum enimvero Carthaginiensium legem multo magis, quam aut Cretensium, aut Lacedæmoniorum consuetudinem probarim, uti nemo unquam in exercitu genus hoc poculenti gustet, sed toto militiæ tempore aquam bibere consuescat: domi vero, ne servus quisquam aut ancilla vinum attingat unquam: ne magistratus toto illo anno, quo rempublicam gerent, ne moderatores aut judices, quamdiu judicia exercebunt, neu quisquam de re alicujus momenti sententiam in concilio dicturus; imo etiam nemini prorsus interdiu, vino uti concesserim, nisi vel exercitatio corporis, vel morbi ratio postulabit; neque noctu, seu vir, seu mulier fuerit, si operam liberis dare cogitabit. Hæc et alia pleraque afferri possint, quamobrem vino abstinere debeant, qui et maturi judicii et rectæ legis ductum sequantur. Ex quo sane id efficitur, nulla ut civitas multis admodum

ΠΛΑΤΩΝΟΣ

οὐδ' ἀμπελώνων ἂν πολλῶν δέοι οὐδ' ᾗ τινὶ πόλει, τακτὰ δὲ τἆλλα ἂν εἴη γεωργήματα καὶ πᾶσα ἡ δίαιτα. b

2 Καὶ Μωσῆς δὲ προλαβὼν μὴ δεῖν τοὺς ἱερέας οἴνου ἀπογεύεσθαι κατὰ τὸν τῆς ἱερουργίας καιρὸν, νομοθετεῖ φάσκων, Καὶ ἐλάλησε Κύριος τῷ Ἀαρὼν, λέγων, οἶνον καὶ σίκερα οὐ πίεσθε σὺ καὶ οἱ υἱοί σου μετά σου, ἡνίκα ἂν εἰσπορεύησθ' εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προσπορευομένων ὑμῶν πρὸς τὸ θυσιαστήριον, καὶ οὐ μὴ ἀποθάνητε· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. Ὁ δὲ αὐτὸς καὶ τοῖς εὐχὴν εὐχομένοις νομοθετεῖ λέγων, Ἀνὴρ ἢ γυνὴ, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν, ἀφαγνίσασθαι ἁγνείαν Κυρίῳ, ἀπὸ οἴνου c καὶ σίκερα ἁγνισθήσεται· καὶ ὄξος ἐξ οἴνου, καὶ ὄξος ἐκ σίκερα οὐ πίεται. Ἀλλὰ καὶ Σολομῶν τοὺς ἄρχοντας καὶ τοὺς δικαστὰς εἴργει τῆς χρήσεως, λέγων, Μετὰ βουλῆς πάντα ποίει, μετὰ βουλῆς οἰνοπότει. Οἱ δυνάσται
[352] θυμώδεις εἰσὶν, οἶνον μὴ πινέτωσαν, ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας καὶ τῶν πόνων. Καὶ ὁ ἀπόστολος δὲ

b 7. *προσπορ. ὑμῶν*] *προπορ. ἡμῶν* F.G. *ὑμῶν πρὸς*] *ἡμῶν εἰς* C. F.G. 8. *μὴν* D. 10. *τὴν ... εὐχομένος* (οις) D. b 11. *μεγάλως*] *μεγάλην* C.F.G. Mox *ἁγνίαν* C. c 6. *θυμώδεις*] *θυμώδης* C.

vineis indigeat: sed potius, ut cum reliquus omnis agrorum cultus, tum etiam ratio victus universa modicis omnino finibus includatur.

2 Ita Plato. Quem ante jam Moyses occupaverat, cum sacerdotibus, quo tempore sacris operandum erat, vino interdiceret, his verbis, *Dixit quoque Dominus ad Aaron, vinum et omne quod inebriare potest, non bibetis, tu et filii tui tecum, quando intratis in tabernaculum testimonii, aut cum acceditis ad altare, ne moriamini: legitimum sempiternum in generationes vestras.* Idem viris pariter ac mulieribus vota nuncupantibus, hanc legem dicit, *Vir, sive mulier, cum magnum illud votum fecerint sese Domino consecrandi, a vino et omni quod inebriare potest abstinebunt; et acetum ex vino, et ex qualibet alia potione, qua inebriari quis potest, non bibetur.* Salomon quoque principes simul et judices vino abstinere jubet, dum ait, *Omnia cum prudentia fac, et cum prudentia vinum bibe. Proceres iracundi sunt, vinum ii ne bibant, ne bibentes obliviscantur sapientiæ et laborum.* Quinetiam Apostolus Timotheo, morborum causa, vino uti permit-

Levit. 10, 8.

Num. 6, 2, 3.

Prov. 31, 4.

νόσων ἕνεκα ἐπιτρέπει Τιμοθέῳ, λέγων, Ὀλίγῳ οἴνῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.

26 Εἰ τοίνυν ἄκροις εἰς φιλοσοφίαν πόλεώς τις ἀνάγκη ἐπι- d ΠΛΑΤΩΝΟΣ
μεληθῆναι ἢ γέγονεν ἐν τῷ ἀπείρῳ τῷ παρεληλυθότι χρόνῳ ἢ καὶ νῦν ἐστὶν ἔν τινι βαρβαρικῷ τόπῳ, πόρρω που ἐκτὸς ὄντι τῆς ἡμετέρας ὄψεως, ἢ καὶ ἔπειτα γενήσεται, περὶ τούτου ἕτοιμοι τῷ λόγῳ διαμάχεσθαι, ὡς γέγονεν ἡ εἰρημένη πολιτεία, καὶ ἔστι, καὶ γενήσεταί γε, ὅταν αὐτὴ ἡ Μοῦσα p. 600
πόλεως ἐγκρατὴς γένηται. Οὐ γὰρ ἀδύνατος γενέσθαι, οὐδ' ἡμεῖς ἀδύνατα λέγομεν.

27 Αὐτῷ δὲ πρὸς ἑαυτὸν πότερον ὡς πολεμίῳ πρὸς πολέμιον b
διανοητέον, ἢ πῶς ἔτι λέγομεν;

Ὦ ξένε Ἀθηναῖε, (οὐ γάρ σε Ἀττικὸν ἐθέλοιμ' ἂν προσαγορεύειν· δοκεῖς γάρ μοι τῆς θεοῦ ἐπωνυμίας ἄξιος εἶναι μᾶλλον ἐπονομάζεσθαι·) τὸν γὰρ λόγον ἐπ' ἀρχὴν ὀρθῶς ἀναγαγὼν σαφέστερον ἐποίησας, ὥστε ῥᾷον ἀνευρήσεις, ὅτι νῦν δὴ ὀρθῶς ὑφ' ἡμῶν ἐρρέθη τὸ πολεμίους εἶναι πάντας πᾶσι δημοσίᾳ τε καὶ ἰδίᾳ ἑκάστους αὐτοὺς σφίσιν αὐτοῖς.
c

d 10. ἕτοιμοι] ἔτι μοι D.
p. 600. 3. ἀδύνατον] ἀδύνατος C.D.F.G.I. Dedi etiam cum D.F.G.I. οὐ γὰρ pro ἃ γάρ. b 4. ἐθέλοιμ'] θέλοιμ' C.F.G. προσαγορεύειν] προσαγορεῦσαι E.I. 5. τῆς] τοῦ C. 7. ἀρχὴν] ἀρχῆς C.F.G.

tens, *Modico*, inquit, *vino utere, propter stomachum tuum, et frequentes tuas infirmitates.* 1 Tim. 5, 23.

26 Utrum, inquit, viris in philosophia versatissimis instituendæ reipublicæ necessitas, aut ultimis illis antiquissimisque temporibus fuerit, aut hodieque sit apud barbarum aliquem populum, et longissime nostris ab oculis conspectuque semotum, aut etiam futura sit aliquando: hîc vero contentiosi admodum esse nolimus, ut genus hoc reipublicæ et extitisse jam olim, et etiamnum existere, tum certe futurum esse pugnemus cum reipublicæ principatum ipsa sibi Musa vendicarit. Nam quæ fieri per sese possunt, eadem esse posse nunquam negabimus. Plato Rep. VI. p. 499 c.

27 Idem autem, inquit, num etiam de se ipso, tanquam de hoste cogitare debet, an secus? Plat. Legg. I. p. 626 d.

O hospes Atheniensis: (nec enim Atticum te dixerim, quod mihi cognomento ex deæ nomine petito dignior videaris:) utique disputationem hanc dum sapienter ad principium ipsum revocas, illustriorem efficis. Ita facilius etiam intelliges, quam recte dictum a nobis paulo ante fuerit, cum publice universis universos, tum sibi privatim ac proprie singulos hostes atque infestos esse.

ΠΛΑΤΩΝΟΣ

2 Πῶς εἴρηκας, ὦ θαυμάσιε;

Κἀνταῦθα, ὦ ξένε, τὸ νικᾶν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη τε καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ᾽ ἑαυτοῦ πάντων αἴσχιστόν τε ἅμα καὶ κάκιστον. Ταῦτα γὰρ ὡς πολέμου ἐν ἑκάστοις ἡμῶν ὄντος πρὸς ἡμᾶς αὐτοὺς σημαίνει.

3 Καὶ μεθ᾽ ἕτερα τούτοις προτίθησι λέγων,

Οὐκοῦν ἕνα μὲν ἡμῶν ἕκαστον αὐτὸν τιθῶμεν;

Ναί.

Δύο δὲ κεκτημένον ἐν αὑτῷ ξυμβούλω ἐναντίω τε καὶ ἄφρονε, ὣ προσαγορεύομεν ἡδονὴν καὶ λύπην;

Ἔστι ταῦτα.

Πρὸς δὲ τούτοιν ἀμφοῖν αὖ δόξας μελλόντων, οἷν κοινὸν d μὲν ὄνομα ἐλπίς, ἴδιον δέ, φόβος μὲν ἡ πρὸ λύπης ἐλπίς, θάρρος δὲ ἡ πρὸ τοῦ ἐναντίου. Ἐπὶ δὲ πᾶσι τούτοις λογισμὸς ὅ τί ποτ᾽ αὐτῶν ἄμεινον ἢ χεῖρον, ὃς γενόμενος δόγμα πόλεως κοινὸν νόμος ἐπωνόμασται.

4 Καὶ ἑξῆς φησίν·

c 3. *μεγίστη* D. 7. *προτίθησι*] *προστίθησι* D. 8. *ἡμῶν* om. D. qui mox *αὐτῶν*. 10. *ἄφρονε*] *ἄφρονι* C.F.G. *σώφρονε* E. d. *οἷν*] *οἷον* C.F.G. *ἴσ. αἷν* Vigeri margo. 5. *αὐτῶν*] *αὐτῷ* C.F.G. qui mox *ἐπον. αὐτὸ* D. *ἀμείνων ἢ χείρων* E.I.

2 Quæ tua hæc oratio est, vir maxime?

Hoc in bello, mi hospes, uti se ipsum vincere, victoriarum omnium princeps atque optima est: sic a se ipso vinci, omnium longe turpissimum, ac pessimum fuerit. Quippe genus hoc orationis, suum cuique nostrum, ac secum ipso bellum quoddam intestinum esse significat.

3 Tum aliis plerisque interjectis, ita prosequitur:

p. 644. Num igitur nostrum quemlibet unum aliquem esse statuimus?

Utique.

Sed ita unum, ut duos apud se consiliarios habeat dissentientes ac stolidos, quibus voluptatis et doloris nomen tribuimus.

Sic est.

Utrique rerum etiam futurarum opiniones adjunctæ duæ, quæ commune quidem spei nomen sortitæ sunt; sed tamen, spes illa quæ dolorem antegreditur, metus: quæ contrariam voluptatem antecedit, fiducia proprie nominatur. His omnibus rationis præest consilium, quo quid ex iis vel melius sit, vel deterius exploratur; quodque ubi commune totius reipublicæ decretum fuerit, tum vero lex appellari solet.

4 Et paulo post:

ΠΛΑ-ΤΩ-ΝΟΣ

Τόδε δ' ἴσμεν, ὅτι ταῦτα τὰ πάθη ἐν ἡμῖν οἷον νεῦρα ἢ σμήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλαις ἀνθέλκουσιν ἐναντίαι οὖσαι ἐπ' ἐναντίας πράξεις, οὗ δὴ διωρισμένη ἀρετὴ καὶ κακία κεῖται. Μιᾷ γάρ φησιν ὁ λόγος δεῖν τῶν ἕλξεων ξυνεπόμενον ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις νεύροις ἕκαστον, ταύτην δ' εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγὴν χρυσῆν καὶ ἱερὰν, τῆς πόλεως κοινὸν νόμον ἐπικαλουμένην, ἄλλας δὲ σκληρὰς καὶ σιδηρᾶς, τὴν δὲ p. 601 μαλακὴν ἅτε χρυσῆν οὖσαν, τὰς δὲ ἄλλας παντοδαποῖς εἴδεσιν ὁμοίας· δεῖν δὲ τῇ καλλίστῃ ἀγωγῇ τοῦ νόμου ἀεὶ ξυλλαμβάνειν· ἅτε γὰρ τοῦ λογισμοῦ καλοῦ μὲν ὄντος, πρᾴου τε καὶ οὐ βιαίου, δεῖσθαι ὑπηρετῶν αὐτοῦ τὴν ἀγωγὴν, ὅπως ἂν ἐν ἡμῖν τὸ χρυσοῦν γένος νικᾷ τὰ ἄλλα γένη. Καὶ οὕτω δὴ περὶ θαυμάτων ὡς ὄντων ἡμῶν μῦθος ἀρετῆς σεσωσμένος ἂν εἴη, καὶ τὸ κρείττω ἑαυτοῦ καὶ ἥττω εἶναι τρόπον τινὰ φανερὸν ἂν γένοιτο μᾶλλον, ὃ νοεῖ, καὶ ὅτι πόλιν καὶ ἰδιώτην, b

d 7. τόδε] τάδε I. 8. μήρινθοί] σμίρινθοι C.D.F.G. σμύρινθοι E. 9. ἀλλήλαις] ἀλλήλας C.G.I. Supra σπῶσι D.F.G. pro σπῶσαι. 10. ἐπ'] ἀπ' D. 14. νεύροις] μέτροις C.D.E.G.I.

p. 601. 2. μαλακὴν] μαλακὴν D. (supra: χαλκῆν) χαλκῆν E. 4. δεῖν δὲ] δὲ om. C. δὴ Plat. F.G. 5. μὲν ὄντος] μένοντος C.D.F.G. Supra γὰρ om. D. Mox πρᾴου δὲ Plato. b. ᾧ D.

Hoc, inquit, intelligimus, perturbationes illas, nervorum in nobis ac funium quorundam instar esse, a quibus, ut aliis alii contrarii sunt, ita contraria in studia trahimur, ubi virtus et vitium, suis ambo finibus ac regionibus circumscripta versantur. Ratio quippe docet, motui duntaxat alteri sic obsequendum cuique perpetuo, ut nunquam ab eo discedens, oppositis funibus constanter renitatur. Atque hunc sapientis consilii aureum esse sacrumque ductum, quam publicam et communem civitatis legem appellamus: reliquos enim motus, duriores ac ferreos, ductum hunc unum, quod aureus sit, facilem etiam ac suavem esse; cumque cæteri omnes tam varii sint tamque multiplices, hunc vultum semper unum, eandemque formam retinere. Et vero ductum hunc legis tanquam optimum, semper nobis ac studiose promovendum esse. Nam cum illud rationis consilium ita bonum atque honestum sit, ut tamen suavitate ducat, non vi cogat; hunc ipsius ductum, administrorum quorundam opera indigere, ut in nobis aureum hocce genus, cæteram illam nationem turbamque domare possit. Atque ita demum, virtutis illa quæ de nobis tanquam miraculi similibus, celebratur fabula, explicari facile defendique poterit; tum clarius simul illustriusque constabit, non modo quid illud significet, hominem se ipso unum, modo superiorem, modo inferiorem esse: verum etiam ejusmodi cum privato cuique, tum ipsi quoque reipublicæ cautionem esse

ΠΛΑ-ΤΩ-ΝΟΣ τὸν μὲν λόγον ἀληθῆ λαβόντα ἐν ἑαυτῷ περὶ τῶν ἕλξεων τούτῳ ἑπόμενον δεῖ ζῆν, πόλιν δὲ ἢ παρὰ θεῶν τινὸς ἢ παρ'
[353] αὐτοῦ τούτου γνόντος ταῦτα λόγον παραλαβοῦσαν, νόμον θεμένην, αὐτῇ τε ὁμιλεῖν καὶ ταῖς ἄλλαις πόλεσιν· οὕτω κακία δὴ καὶ ἀρετὴ σαφέστερον ἡμῖν διηρθρωμένον ἂν εἴη.

6 Καὶ παρ' ἡμῖν ὁ θεῖος τὰ ὅμοια διδάσκει λόγος, φάσκων, Συνήδομαι δὲ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω c
ἄνθρωπον, βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου. Καὶ πάλιν, μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων. Ὅσα τε ἄλλα τούτοις παραπλήσια.

28 Μεμνήμεθά γε μὴν ὁμολογήσαντες ἐν τοῖς πρόσθεν ὡς εἰ d
ψυχὴ φανείη πρεσβυτέρα τοῦ σώματος οὖσα, καὶ τὰ ψυχῆς τῶν τοῦ σώματος ἔσοιτο πρεσβύτερα.

Πάνυ μὲν οὖν.

Τρόποι δὲ καὶ ἤθη καὶ βουλήσεις καὶ λογισμοὶ καὶ δόξαι

b 3. ἕλξεων—δεῖ] ἐπάλξεων—δεῖν D. ἐπάλξεων E. τούτῳ] τοῦτο C. τούτων τούτῳ Plat. 4. αὐτοῦ om. Plat. 7. κακία] καὶ κακία D. Plat. 9. λόγος] ὁ λ. I. 10. τῷ ν.] δὲ τῷ ν. C.D.F.G. Mox ἐν τοῖς μ. μ. om. C.E.F.G.I. d 5. ὡς εἰ] ὡς ἡ C.D. 6. τοῦ σώμ.] τοῦ om. F.G.I. 8. δὲ] δὴ E.F.G. Mox βούλησις E.I.

necessariam; ut privatus vera et propria motuum illorum in sese ratione perspecta, vitam ex illa diligenter instituat; civitas, posteaquam vel ab aliquo numine, vel certe ab eo cui jam explorata illa sint, eandem cognitionem hauserit, illam ipsam legis loco haberi jubeat, quam deinceps, et secum ipsa, et cum aliis civitatibus agendo sequatur. Atque ita planius atque distinctius vitii virtutisque rationes cognoscemus.

6 Hactenus Plato. Cui sane quam affinia literæ nos divinæ docent.
Rom. 7, 22. Ita enim apostolus. *Condelector*, inquit, *legi Dei secundum interiorem hominem: video autem aliam legem in membris meis, repugnantem*
Ib. 2, 15. *legi mentis meæ.* Itemque, *Inter sese invicem cogitationibus accusantibus, aut etiam defendentibus.* Et cætera id genus.

28 Jam vero meminimus, inquit Plato, hoc a nobis superius esse concessum, si corpore antiquiorem animum esse constaret, quicquid etiam animi proprium esset, id omne rebus ad corporis naturam pertinentibus antiquius futurum.
Plato Legg. X. p. 896.

Sane, meminimus.

Mores igitur, affectiones, voluntates, judicia, veræ opiniones, curæ, re-

ἀληθεῖς ἐπιμέλειαί τε καὶ μνῆμαι πρότερα μήκους σωμάτων καὶ πλάτους καὶ βάθους καὶ ῥώμης εἴη γεγονότα ἄν, εἴπερ καὶ ψυχὴ σώματος. ΠΛΑΤΩΝΟΣ

Ἀνάγκη.

2 Ἆρ' οὖν τὸ μετὰ τοῦτο ὁμολογεῖν ἀναγκαῖον, τῶν τε p. 602 ἀγαθῶν αἰτίαν εἶναι ψυχὴν καὶ τῶν κακῶν καὶ καλῶν καὶ αἰσχρῶν δικαίων τε καὶ ἀδίκων καὶ πάντων τῶν ἐναντίων, εἴπερ τῶν πάντων γε αὐτὴν θήσομεν αἰτίαν;

Καὶ ταῦτα δὲ ἀπὸ τοῦ δεκάτου τῶν Νόμων προκείσθω. Συνᾴδει δὲ αὐτοῖς ὁ Μωσῆς πολλάκις ἐν τοῖς νόμοις εἰπὼν, Καὶ ἐὰν ψυχὴ ἁμάρτῃ καὶ ποιήσῃ πλημμέλημα· καὶ ὅσα τούτοις ἐμφερῶς εἴρηται παρ' αὐτῷ.

29 Τῆς παρ' Ἑβραίοις γραφῆς περὶ τοῦ σπουδῇ φιλο- b σοφοῦντος φασκούσης, ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ· καθήσεται κατὰ μόνας, καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ' ἑαυτῷ· καὶ περὶ τῶν θεοφιλῶν προφητῶν, ὡς ἄρα δι' ἀκρότητα φιλοσοφίας ἐν ἐρημίαις καὶ ὄρεσι καὶ c σπηλαίοις διῆγον, πρὸς μόνῳ τῷ Θεῷ τὴν διάνοιαν

p. 602. 5. αὐτὴν θήσομεν] θήσομεν αὐτὴν C.G. γένη θήσομεν F. Mox καὶ om. D. 6. ἔστω D. b 6. ἐκ νεότητος] ἐν νεότητι E.F.G.I.

cordationes, proceritate, latitudine, mole, viribusque corporis priores sint, necesse est, si animum corpore priorem esse concedimus.

Necesse id quidem.

2 Ergo, quod indidem sequitur, non id etiam fateri nos oportet, bonorum simul et malorum, honestorum item ac turpium, justorum et injustorum, adeoque contrariorum omnium caussam animum esse; si quidem ipsi omnium omnino caussam assignandam esse volumus?

Atque hæc ex Legum decimo. Quibus Moses consentanee loquitur, dum illud suis in legibus frequenter inculcat, *Si anima peccaverit, et fecerit iniquitatem*, et cætera quæ ab illo passim eandem in sententiam afferuntur.

29 Hebrææ literæ de eo qui serio vereque philosophetur, ita prænuntiant, *Bonum est viro, cum portaverit jugum ab adolescentia sua: sedebit solitarius, et tacebit, quia levavit super se.* Itemque de prophetis Deo carissimis, eos ut summum ad philosophiæ culmen aspirarent, in solitudinibus, montibus, ac speluncis, versatos esse docet, ubi mentem haberent in unius Dei cogitatione defixam. Audi tu Thren. 3, 27.

ἔχοντες· ἐπάκουσον τοῦ Πλάτωνος, ὅπως καὶ αὐτὸς τὸν τοιόνδε τοῦ βίου τρόπον ἐκθειάζει, ὧδέ πη περὶ τοῦ ἄκρως φιλοσοφοῦντος διεξιών·

ΠΛΑΤΩΝΟΣ

2 Λέγωμεν δή, ὡς ἔοικεν, ἐπεί σοι γε δοκεῖ, περὶ τῶν κορυ-
φαίων· τί γὰρ ἄν τις τούς γε φαύλως διατρίβοντας ἐν φιλο-
σοφίᾳ λέγοι; Οὗτοι δέ που ἐκ νέων πρῶτον μὲν εἰς ἀγορὰν
οὐκ ἴσασι τὴν ὁδόν, οὐδὲ ὅπου δικαστήριον, ἢ βουλευτήριον, ἤ
τι κοινὸν ἄλλο τῆς πόλεως συνέδριον· νόμους δὲ καὶ ψηφί- d
σματα λεγόμενα ἢ γεγραμμένα οὔθ' ὁρῶσιν οὔτ' ἀκούουσι.
Σπουδαὶ δὲ ἑταιρειῶν ἐπ' ἀρχάς, καὶ σύνοδοι καὶ δεῖπνα καὶ
σὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προσίσταται αὐ-
3 τοῖς. Εὖ δὲ ἢ κακῶς τί γέγονεν ἐν πόλει, ἤ τί τῳ κακόν
ἐστιν ἐκ προγόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλ-
λον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάσσης λεγόμενοι χόες. Καὶ
ταῦτα πάντα οὐδ' ὅτι οὐκ οἶδεν οἶδεν· οὐδὲ γὰρ αὐτῶν ἀπέ-
χεται τοῦ εὐδοκιμεῖν χάριν· ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν
τῇ πόλει κεῖται αὐτοῦ, καὶ ἐπιδημεῖ· ἡ δὲ διάνοια, ταῦτα

c 4. ἐκθειάζει] ἐκθειάζων E. 6. ἐπεὶ] ἐπειδὴ E.I. 8. λέγ[οι]ειν D.
10. που ἢ δικασ. D. d 3. δὲ ἑταιριῶν] τε ἑταιρειῶν C.F.G.I. τε ἑ. D.
5. προΐσταται D.F.G.I. ἤ τι τὸ κ. E.I.

vero, quemadmodum genus illud vitæ Plato divinis quoque laudibus extulerit, ubi de eo qui summam illam philosophandi laudem sequatur, hæc habet.

Plato Theæt. p. 173.

2 Dicamus igitur, inquit, uti par est, quando ita tibi videtur, de summis
illis philosophandi principibus, (quid enim eos moremur, qui philosophiæ
studio perperam abutuntur?) Illi videlicet jam usque ab adolescentia, viam
quæ in forum ducat ignorant: ubi vel exerceantur judicia, vel senatus, vel
publicum aliud civitatis concilium habeatur, nesciunt: leges ac plebiscita,
neque dum promulgantur audiunt, neque perscripta cum fuerint omnino
vident. Sodalitiorum ad magistratus creandos, factiones, conventus,
cœnæ, comessationes cum tibicinis horum ipsis quicquam factitare, ne per
3 somnium quidem, in mentem venit. Rectene an secus factum in civitate
quid fuerit; num cuipiam a majoribus, seu paterno seu materno ex genere,
mali quid obvenerit, magis ipsos latet, quam numerus, quod aiunt, arena-
rum. Atque hæc ille omnia sic ignorat, ut eadem abs sese ignorari nesciat.
Quippe nec enim laudis aucupandæ caussa ab earum sese rerum commu-
nione segregat: sed re vera solum ejus corpus in civitate versatur et
habitat; mens vero dum universa ista humiliora existimat, nihilique facit,

πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδὲν, ἀτιμάσασα πανταχῇ πέταται, κατὰ Πίνδαρον, τά τε γᾶς ὑπένερθε καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα, καὶ πᾶσαν p. 603 πάντη φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τῶν ἐγγὺς οὐδὲν ἑαυτὴν συγκαθιεῖσα.

ΠΛΑΤΩΝΟΣ

4 Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες;

[354] Ὥσπερ καὶ Θαλῆν ἀστρονομοῦντα, ὦ Θεόδωρε, καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δὲ ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας b
5 λανθάνοι αὐτόν. Ταυτὸν δὲ ἀρκεῖ σκῶμμα ἐπὶ πάντας ὅσοι ἐν φιλοσοφίᾳ διάγουσι. Τῷ γὰρ ὄντι τὸν τοιοῦτον ὁ μὲν πλησίον καὶ ὁ γείτων λέληθεν, οὐ μόνον ὅ τι πράττει, ἀλλ' ὀλίγου καὶ εἰ ἄνθρωπός ἐστιν ἤ τι ἄλλο θρέμμα. Τί δέ ποτ' ἐστὶν ἄνθρωπος, καὶ τί τῇ τοιαύτῃ φύσει προσήκει διάφορον τῶν ἄλλων ποιεῖν ἢ πάσχειν, ζητεῖ τε, καὶ πράγματα ἔχει διερευνώμενος. Μανθάνεις γάρ που, ὦ Θεόδωρε, ἢ οὔ;

6 Ἔγωγε, καὶ ἀληθῆ λέγεις. c

p. 603. ἐπίπερθεν] ἐπίπεδα C.E.F.G.I. 4. εἴς τι] τι om. C.E.F.G.I. Tum τὸν F. Mox ἑαυτῇ D. 6. ἀστρονομοῦντα] ἀστρολογοῦντα D. 10. ἐν om. I. b. ἔμπροσθεν] ὄπισθεν C.F.G.I. 2. ἀρκεῖν D. 5. λέληθεν οὐ μόνον] λέλυθεν ὁμοῦ C. λ. ὁμοῦ F.G. 11. ἀληθῆ] ἀληθῆ γε I.

passim interea volitat, (ut cecinit Pindarus) quæ sub terris, quæque supra terras dimetiens, rerumque cœlestium rationes astronomiæ vi enucleans, totamque omnino rerum singularum, quas hujus universi ambitus complectitur naturam sic explorans, ut tamen nullam ad earum quas propiores habet sese abjiciat.

4 Quo tu sensu hoc ais, o Socrates?

Prorsus, mi Theodore, quo modo Thaletem aliquando, qui dum oculis in cœlum defixis astra contemplaretur, proximum in puteum deciderat, ancilla quædam Thressa, elegans et urbana hoc joco perstrinxit, Qui res cœlestes nosse contenderet, eum quæ proxima pedibus essent, non videre.
5 Quod sane dictum in eos omnes convenire possit, qui philosophiæ studio sese dedunt. Siquidem re ipsa, natio hæc hominum, non modo quid proximus ac vicinus agat, verum etiam homone ille sit, an aliud quoddam animantis genus, propemodum ignorat: eadem tamen quid homo ipse sit, quidve naturam ejusmodi, præter aliarum conditionem vel agere, vel pati deceat, cum rimatur studiose, tum in ea cura laboris plurimum ac difficultatis exhaurit. Jamne intelligis, mi Theodore? an non?

6 Intelligo equidem. Et vera sane loqueris.

ΠΛΑΤΩΝΟΣ

Τοιγάρτοι, ὦ φίλε, ἰδίᾳ τε συγγιγνόμενος ὁ τοιοῦτος
ἑκάστῳ καὶ δημοσίᾳ, ὅπερ ἀρχόμενος ἔλεγον, ὅταν ἐν δικα-
στηρίῳ ἤ που ἄλλοθι ἀναγκασθῇ περὶ τῶν παρὰ πόδας καὶ
τῶν ἐν ὀφθαλμοῖς διαλέγεσθαι, γέλωτα παρέχει οὐ μόνον
Θρᾴτταις, ἀλλὰ καὶ τῷ ἄλλῳ ὄχλῳ, εἰς φρέατά τε καὶ πᾶσαν
ἀπορίαν ἐμπίπτων ὑπὸ ἀπειρίας· καὶ ἡ ἀσχημοσύνη δεινὴ
7 δόξαν ἀβελτηρίας παρεχομένη. Ἔν τε γὰρ ταῖς λοιδορίαις
ἴδιον ἔχει οὐδὲν οὐδένα λοιδορεῖν, ἅτε οὐκ εἰδὼς κακὸν οὐδὲν
οὐδενὸς ἐκ τοῦ μὴ μεμελετηκέναι· ἀπορῶν οὖν γελοῖος φαί- d
νεται· ἔν τε τοῖς ἐπαίνοις καὶ ταῖς τῶν ἄλλων μεγαλαυχίαις
οὐ προσποιήτως ἀλλὰ τῷ ὄντι γελῶν ἔνδηλος γιγνόμενος,
8 ληρώδης δοκεῖ εἶναι. Τύραννόν τε γὰρ ἢ βασιλέα ἐγκωμια-
ζόμενον, ἕνα τῶν νομέων, οἷον συβώτην ἢ ποιμένα ἤ τινα
βουκόλον, ἡγεῖται ἀκούειν εὐδαιμονιζόμενον πολὺ βδάλλοντα·
δυσκολώτερον δὲ ἐκείνων ζῷον καὶ ἐπιβουλότερον ποιμαίνειν
9 τε καὶ βδάλλειν νομίζει αὐτούς. Ἄγροικον δὲ καὶ ἀπαίδευτον
ὑπὸ ἀσχολίας οὐδὲν ἧττον τῶν νομέων τὸν τοιοῦτον ἀναγκαῖον

c 4. καὶ τῶν] τῶν om. C.F.G. 10. οὐδὲν om. C.F.G.I. Supra ἔν τε D.E.F.G. pro ἔν γε. 11. οὐδὲν οὐδενὸς] οὐδενὸς οὐδὲν C.F.G. et mox μεμεληκέναι. d 3. γιγνόμενος] γενόμενος I. 6. τινα βουκόλον] βουκ. τινα C.F.G. 9. ποιμαίνει] ποιμένειν C.D.E. ποιμαίνειν F.G. 10. νομίζει] νομίζειν D.

Nimirum ergo, qui ejusmodi fuerit, Theodore, is seu privatim cum
quocunque versabitur, seu publice, quemadmodum initio dixi, vel in
judicio, vel ubiubi de rebus quas ante pedes, atque in oculis habeat,
dicere cogetur, non Thressis modo mulierculis, sed etiam reliquæ mul-
titudini risum movebit, cum ob rerum imperitiam, in puteos atque
in omnis dubitationis æstum inciderit. Et quidem grave admodum
7 genus ineptiarum est, quod afferat opinionem stultitiæ. Nam ut aliorum
conviciis appetitus, quod proprium ipse nihil habeat, quo vicissim alios
remordeat, (quippe qui nullum cujusquam vitium noverit, procul ab simili
cogitatione semotus;) ob hæsitantiam ridiculus esse solet: sic in aliorum
etiam laudibus, et insolenti rerum suarum jactantia, dum idem non simu-
8 late, sed vere palamque ridet, bardus ac delirus videtur. Nam tyrannum
aut regem laudari si audiet, pecuarium sibi aliquem, subulcum puta, vel
pastorem, vel bubulcum, quod affatim mulgeat, beatum celebrari persua-
debit: nisi quod abs tyrannis ac regibus difficilius ac magis insidiosum
9 animantis genus, quam ab aliis pasci ac mulgeri existimat. Enimvero
philosophum istum, quod rerum usu nullo sit, nihilo minus quam pastores
ipsos rusticum ac rudem esse necesse est, qui mœnibus in urbe, non secus

γίγνεσθαι, σηκὸν ἐν ὄρει τὸ τεῖχος περιβεβλημένον. Γῆς δὲ p. 604 ὅταν μυρία πλέθρα ἢ ἔτι πλείω ἀκούσῃ, ὅστις ἄρα κεκτημένος θαυμαστὰ πλήθη κέκτηται, πάνσμικρα δοκεῖ ἀκούειν, εἰς ἅπα-
10 σαν εἰωθὼς τὴν γῆν βλέπειν. Τὰ δὲ δὴ γένη ὑμνούντων, ὡς γενναῖός τις ἑπτὰ πάππους πλουσίους ἔχων ἀποφῆναι, παντάπασιν ἀμβλὺ καὶ ἐπὶ σμικρὸν ὁρώντων ἡγεῖται τὸν ἔπαινον, ὑπὸ ἀπαιδευσίας οὐ δυναμένων εἰς τὸ πᾶν ἀεὶ βλέπειν, οὐδὲ λογίζεσθαι ὅτι πάππων καὶ προγόνων μυριάδες ἑκάστῳ γεγόνασιν ἀναρίθμητοι, ἐν αἷς πλούσιοι καὶ πτωχοὶ καὶ b βασιλεῖς καὶ δοῦλοι βάρβαροί τε καὶ Ἕλληνες πολλάκις μυρίοι γεγόνασιν ὁτῳοῦν, ἀλλ' ἐπὶ πέντε καὶ εἴκοσι καταλόγῳ προγόνων σεμνυνομένων, ἢ καὶ ἀναφερόντων εἰς Ἡρακλέα τὸν Ἀμφιτρύωνος, ἄτοπα αὐτῷ καταφαίνεται τῆς σμικρολογίας, ὅτι δὲ ὁ ἀπ' Ἀμφιτρύωνος εἰς τὸ ἄνω πεντεκαιεικοστὸς τοιοῦτος ἦν, οἵα συνέβαινεν αὐτῷ τύχη, καὶ ὁ πεντηκοστὸς ἀπ' αὐτοῦ, γελᾷ, οὐ δυναμένων λογίζεσθαί τε καὶ χαυνότητα
11 ἀνοήτου ψυχῆς ἀπαλλάττειν. Ἐν ἅπασι δὴ τούτοις ὁ τοι-

ΠΛΑΤΩΝΟΣ

p. 604. ἔτι] τι C.G. 2. θαυμαστὰ] ἀγαθὰ C. 3. πάνυ] πᾶν C. F.G. πάνσμικρα I. cum mss. nonnullis Platonis. 4. γῆν om. F. 10. ἑκάστῳ μυριάδες] μυρ. ἑκ. C.E.F.G.I. b. βασιλεῖς] καὶ βασ. C. F.G.I. 3. καταλόγου D. 6. σμικρολ.] τῆς σμικρολ. C.D.F.G.I. Tum δὲ D.E.F.G. pro καὶ quod per errorem in ed. Viger. irrepsit. ἀπ' Ἀμφ.] ἀπ' om. I. 7. τοιοῦτος om. C.F.G. in marg. I. 11. δὲ] δὴ E.F.G.I.

ac caulis in monte cingatur. Idem si forte decem jugerum millia, vel etiam plura commemorari audierit, perinde ac si eorum possessor vim agrorum immensam possideret; exiguum sibi quiddam audire videbitur, quod
10 orbem terrarum universum animo complecti soleat. Jam qui ad efferendam generis alicujus antiquitatem, avos ab illo septem, eosque locupletes nominari posse dictitant, genus hoc laudis, hominum esse obtusi admodum angustique visus arbitratur, qui stultitiæ suæ vitio rerum universitatem perpetuo circumspicere non possint, nec omnino cogitare, innumerabilem cuique avorum esse majorumque multitudinem, in qua sæpe divitum et inopum, regum et servorum, barbarorum et Græcorum series infinita ducatur. Qui si quinque ac viginti majorum stemmate glorientur, aut suum quoque genus ad Herculem Amphitryonis filium referant, vile nimis ac putidum jactantiæ genus arbitratur. Nam quod alius retro quintus ac vigesimus ab Amphitryone, alius ab eodem quinquagesimus, eo natus uterque loco sit, quem sua cuique fortuna statuerit, risum tenere non potest, cum istos nec secum id cogitare, nec stolidæ mentis ineptias excu-
11 tere posse animadvertit. Idem vero in his omnibus ab hominum vulgo

ΠΛΑΤΩΝΟΣ

οὗτος ὑπὸ τῶν πολλῶν καταγελᾶται, τὰ μὲν ὑπερηφάνως c ἔχων, ὡς δοκεῖ, τὰ δ' ἐν ποσὶν ἀγνοῶν τε καὶ ἐν ἑκάστοις ἀπορῶν.

Παντάπασι τὰ γιγνόμενα λέγεις, ὦ Σώκρατες.

12 Ὅταν δέ γε τινὰ αὐτὸς, ὦ φίλε, ἑλκύσῃ ἄνω, καὶ ἐθελήσῃ τις αὐτῷ ἐκβῆναι ἐκ τοῦ, τί ἐγώ σε ἀδικῶ ἢ σὺ ἐμὲ, εἰς σκέψιν αὖ τῆς δικαιοσύνης τε καὶ ἀδικίας, τί τε ἑκάτερον αὐτοῖν, καὶ τί τῶν πάντων ἢ ἀλλήλων διαφέρετον, ἢ ἐκ τοῦ εἰ βασιλεὺς εὐδαίμων κεκτημένος τε αὖ πολὺ χρυσίον, ἢ βασιλείας πέρι καὶ ἀνθρωπίνης ὅλως εὐδαιμονίας καὶ ἀθλιότητος ἐπίσκεψιν, d ποίω τέ τινε ἐστὸν, καὶ τίνα τρόπον ἀνθρώπου φύσει προσήκει τὸ μὲν κτήσασθαι αὐτοῖν, τὸ δὲ ἀποφυγεῖν· περὶ πάντων τούτων ὅταν αὖ δέῃ λόγον διδόναι τὸν σμικρὸν ἐκεῖνον τὴν [355] ψυχὴν καὶ δριμὺν καὶ δικανικὸν, πάλιν αὖ ἀντίστροφα ἀποδίδωσιν· ἰλιγγιῶν τε ἀπὸ ὑψηλοῦ κρεμασθεὶς, καὶ βλέπων μετέωρος ἄνωθεν ὑπὸ ἀηθείας ἀδημονῶν τε καὶ ἀπορῶν καὶ

c. το μὲν (τὰ supra) D. 6. αὐτῶν] αὐτῷ C.E.F.G.I. 7. αὖ δικαιοσ.] αὖ τῆς δικαιοσ. C.F.G.I. αὖθίς τε sic D. pro αὖ. αὐτῆς pro αὖ Plat. 8. αὐτοῖς καὶ ἤ τι E. 9. ἀλλήλων διαφέρετον] ἄλλως διαφερετέον C.F.G. 10. τε αὖ om. C.F.G.I. 11. εἰς βασ.] ἢ βασ. C.F.G.I. ἢ (εἰς supra) βασ. D. d 2. τινε] τινα C.F.G. τινα et mox ἔστων D. 3. προσήκει om. C.F.G. post αὐτὴν addunt E.I. αὐτοῖν] αὐτὸν C.F.G. αὐτὴν E. 4. δέοι] δέῃ C.F.G.I. 6. ἀντίστ.] τὰ ἀντίστ. I. 7. ἰλιγγιῶν τε γὰρ καὶ] γὰρ καὶ om. C.E.F.G.I. Mox ὑπ' E. 9. ἀληθείας] ἀηθείας I. Plat. et ut suspicor E. licet collator meus sileat.

deridetur, partim quod cæteros arroganter despicere videatur, partim quod in obviis quibusque cæcutiat ac titubet.

Prorsus uti res est loqueris, mi Socrates.

12 At vero, Theodore, si quem vicissim ex istis sursum philosophus traxerit, eumque angustiori hac quæstione relicta, Qua in re vel ego te, vel tu me ipse læseris, ad plenam illam et integram de justitia et injustitia disputationem accedere, quid per sese utraque sit, quî vel ambæ a cæteris omnibus, vel altera differat ab altera, enucleare jusserit: aut si eundem ab illo vulgari, utrum fortunatus rex ille sit, qui magnam auri vim possideat, ad universam regni, adeoque totius humanæ felicitatis aut miseriæ contemplationem traduxerit, ut statuat, tum quænam propria sit utriusque ratio, tum quemadmodum utramque vel suscipere vel declinare hominis naturæ conveniat. De his omnibus cum nostro huic tam angustæ mentis, quam acri ac vehementi rabulæ pronuntiandum erit, tum enimvero quandam veluti talionis legem subibit. Nam e superiore loco pendulus, et inferiora despiciens, insolentia rei vertiginem subito patietur, et partim æstuando, partim hæsitando, partim barbarum nescio quid commurmurando, risum vicissim,

ΠΛΑΤΩΝΟΣ

βαρβαρίζων γέλωτα Θρᾴτταις μὲν οὐ παρέχει, οὐδ' ἄλλῳ ἀπαιδεύτῳ οὐδενὶ, οὐ γὰρ αἰσθάνονται, τοῖς δ' ἐναντίως ἢ ὡς
13 ἀνδραπόδοις τραφεῖσι πᾶσιν. Οὗτος δὴ ἑκατέρου τρόπος, ὦ Θεόδωρε. Ὁ μὲν τῷ ὄντι ἐν ἐλευθερίᾳ τε καὶ σχολῇ p. 605 τεθραμμένου, ὃν δὴ φιλόσοφον καλεῖς, ᾧ ἀνεμέσητον εὐήθει δοκεῖν καὶ οὐδενὶ εἶναι, ὅταν εἰς δουλικὰ ἐμπέσῃ διακονήματα, οἷον στρωματόδεσμον μὴ ἐπισταμένου συσκευάσασθαι, μηδὲ ὄψον ἡδῦναι, ἢ θῶπας λόγους· ὁ δ' αὖ τὰ μὲν τοιαῦτα πάντα δυναμένου τορῶς τε καὶ ὀξέως διακονεῖν, ἀναβάλλεσθαι δὲ οὐκ ἐπισταμένου ἐπὶ δεξιὰ ἐλευθέρως, οὐδ' ἁρμονίαν λόγων λαβόντος ὀρθῶς ὑμνῆσαι θεῶν τε καὶ ἀνδρῶν εὐδαιμόνων βίον ἀληθῆ. b

14 Εἰ πάντας, ὦ Σώκρατες, πείθοις ἃ λέγεις ὥσπερ ἐμὲ, πλείων ἂν εἰρήνη καὶ κακὰ ἐλάττω κατ' ἀνθρώπους εἴη.

Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατὸν, ὦ Θεόδωρε· ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη· οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι· τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον

d 10. ὑπάρχει cum οὐ παρέχει in marg. D. qui v. seq. ἀλλ' cum οὐ γὰρ in marg.

p. 605. ἐν ἐλευθ.] ἐν om. C.F.G.I. 5. ἐπιστάμενος] ἐπισταμένου C.F.G.I. μὴ om. E. 6. ὄψον] ὄψιν I. 7. ὁ δ' αὖ] τοῦ δ' αὖ F. G.I. 8. τορῶς] ὀρθῶς C.F.G. et D cum τορῶς in marg. b. πείθοις] πείθεις (οι supra) C.G. πείθεις F. 3. εἴη] ἂν εἴη C.F.G. 5. τι τῷ] τοι τῷ C.F.G. qui mox ἀεί. 6. αὐτὰ] ταῦτα E.I.

non jam Thressis quibusdam, aut bardo cuipiam ac stupido, qui ejusmodi nihil sentire possit: at iis demum qui aliter ac mancipia educati fuerint,
13 omnibus excitabit. Talis est, mi Theodore, hominis utriusque conditio. Altera quidem ejus, qui re ipsa in libertate et otio educatus fuerit, quem tu philosophum vocas. Huic enim impune ac sine probro liceat, cum in servile ministerii genus inciderit, simplicem et ineptum videri, adeoque nullum esse, qui exempli caussa nec stragula componere, nec cibos obsoniis, nec blanditiis orationem condire noverit. Altera vero ejus est, qui cum strenuam istis omnibus operam eleganter et expedite navare possit, ingenui tamen ac liberalis chori vel prolusionem solerter instituere non potest, ne dum ut orationis concentu integre accurateque percepto, veram aut deorum aut beatorum hominum vitam celebrare queat.

14 Si fidem, o Socrates, ab aliis omnibus perinde ut abs me hoc in genere impetrares, major sane quies, malorumque minus in humana vita versaretur.

Atqui, fieri, mi Theodore, non potest, uti mala vel omnino tollantur, (cum aliquid semper bono contrarium superesse necesse sit,) vel apud deos locum habeant. At circa mortalem naturam, et inferiorem hanc regionem

ΠΛΑΤΩΝΟΣ

15 περιπολεῖ ἐξ ἀνάγκης. Διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε
φεύγειν ὅτι τάχιστα. Φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ
δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέ-
σθαι. Ἀλλὰ γὰρ, ὦ ἄριστε, οὐ πάνυ τι ῥᾴδιον πεῖσαι, ὡς c
ἄρα οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν,
ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον, τὸ δ'
16 οὔ, ἵνα δὲ μὴ κακὸς, καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι. Ταῦτα μὲν
γάρ ἐστιν ὁ λεγόμενος γραῶν ὕθλος, ὡς ἐμοὶ φαίνεται· τὸ δὲ
ἀληθὲς ὧδε λέγομεν. Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς
οἷόν τε δικαιότατος· καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν, ἢ
ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος. Περὶ τοῦτον καὶ ἡ
ὡς ἀληθῶς δεινότης ἀνδρὸς καὶ ἡ οὐδένειά τε καὶ ἡ ἀνδρία.
17 Ἡ μὲν γὰρ τούτου γνῶσις σοφία καὶ ἀρετὴ ἀληθινὴ, ἡ δὲ d
Οὐ πάνυ, διὸ [καὶ] κατοικίζεται· παλαιὰ γάρ τις ἐξοίκησις ἐν τῷ τόπῳ γενομένη τὴν χώραν ταύτην ἔρημον ἀπείργασται χρόνον ἀμήχανον ὅσον.

Τί δέ; Πεδίων τε καὶ ὀρῶν καὶ ὕλης πῶς μέρος ἑκάστων ἡμῖν εἴληχε;

b 6. ἐπερωτῶ] ἐπερωτάτω C.D.E.F.G.I. 7. ἐστιν D. 11. λίμναις E.I. 12. εὖ ἀλίμενος—ταύτῃ D. ταύτῃ item E.F.G. non αὕτη. c 3. πότερον D. 4. αὐτῇ] αὐτῆς C.D.F.G. 5. διὸ καὶ] καὶ om. C.D.E.F.I. 8. τί δ' αὖ] τί δὲ C.D.E.F.G.I.

ficata, rerum omnium feracissimo agro uteretur. Huic persimilem eam, quam suis in Legibus Plato condidit, esse cupiebat, dum ita scripsit:

Plato Legg. p. 704. 2 Sed potius id quæro, utrum maritima urbs illa, an mediterranea sit futura?

Ea quidem, mi hospes, qua de loquuti adhuc sumus, a mari abest stadiis circiter octoginta.

Portus autem quid? utrum absunt ab ea propius? an omnino nulli sunt?

Imo hercle, mi hospes, portuosa illa est, ut quæ maxime.

3 Papæ! quam rem commemoras? Quid autem illius ager? rerumne ferax omnium, an aliquarum indigens?

Caret prope nulla.

Urbemne aliquam vicinam habet?

Nullam admodum: quo fit, ut eo coloni hodieque deducantur. Incolarum enim, quæ jam olim contigit, iis e sedibus migratio, in causa fuit, quamobrem tota illa regio solitudine perdiu laborarit.

Campos vero, montes, sylvasque quod attinet, qualis ea tandem est?

ΠΛΑΤΩΝΟΣ

Προσέοικε τῇ τῆς ἄλλης Κρήτης φύσει ὅλῃ.
Τραχυτέραν αὐτὴν ἢ πεδινωτέραν ἂν λέγοις;
Πάνυ μὲν οὖν.

4 Οὐ τοίνυν ἀνίατος ἂν εἴη πρὸς ἀρετῆς κτῆσιν. Εἰ μὲν γὰρ d ἐπιθαλαττία τε ἔμελλεν εἶναι καὶ εὐλίμενος καὶ μὴ πάμφορος ἀλλ' ἐπιδεὴς πολλῶν, μεγάλου τινὸς ἔδει σωτῆρός γε αὐτῇ καὶ νομοθετῶν θείων τινῶν, εἰ μὴ πολλά τε ἔμελλεν ἤθη καὶ ποικίλα καὶ φαῦλα ἕξειν, τοιαύτη φύσει γενομένη· νῦν δὲ παρα-
5 μύθιον ἔχει τὸ τῶν ὀγδοήκοντα σταδίων. Ἐγγύτερον μέντοι τοῦ δέοντος κεῖται τῆς θαλάττης, σχεδὸν ὅσον εὐλιμενωτέραν φῂς αὐτὴν εἶναι· ὅμως δὲ ἀγαπητὸν καὶ τοῦτο. Πρόσοικος γὰρ θάλαττα χώρᾳ τὸ μὲν παρ' ἑκάστην ἡμέραν ἡδύ, μάλα γε μὴν ὄντως ἁλμυρὸν καὶ πικρὸν γειτόνημα· ἐμπορίας γὰρ p. 618 καὶ χρηματισμοῦ διὰ καπηλείας ἐμπιπλᾶσα ἑαυτήν, ἤθη παλίμβολα καὶ ἄπιστα ταῖς ψυχαῖς ἐντίκτουσα, αὐτήν τε πρὸς αὐτὴν τὴν πόλιν ἄπιστον καὶ ἄφιλον ποιεῖ, καὶ πρὸς τοὺς
6 ἄλλους ἀνθρώπους ὡσαύτως· παραμύθιον δὲ δὴ πρὸς ταῦτα

c 10. τῇ τῆς] τὸ τῆς I. 12. λέγοις] λέγεις C. d 2. τε om. D. 4. σωτῆρος ἔδειγε αὔτη D. 8. τὸ τῶν] τῇ τῶν C. 9. τοῦ] τῆς I. θαλάττης] θαλάσσης C.F.G. Inf. θάλασσα F. 12. μὲν] μὴν D.
p. 618. 2. ἑαυτὴν] αὐτὴν C.F.G. 3. αὐτήν τε] τε om. C.F.G.

Qualis fere tota Cretensis ora.
Nempe asperiorem illam potius, quam planiorem universe dixeris.
Utique.

4 Salutis ergo non est ita depositæ, ut virtutis curationem omnem ac possessionem excludat. Nam si maritima simul ac portuosa esset, nec rebus abundaret omnibus, sed pluribus indigeret; magnum profecto servatorem, ac divinos plane legislatores desideraret, quorum industria, quæ situm haberet illum, immanem quandam alienorum pravorumque rituum colluviem effugeret. Nunc vero nonnihil huic periculo medetur intervallum a
5 mari stadiorum octoginta. Tametsi enim, pro eo quod usque adeo portuosam illam esse ais, aliquanto sit quam par esset mari propinquior, commoda tamen est vel ea distantiæ ratio. Mare enim cui regioni proximum est, huic suavis quidem sed in diem, re ipsa vero salsa profecto nimis et acerba vicinia est. Dum enim illa sese cauponando mercibus ac pecuniis implet, simulque veteratorios infidelesque mores hominum mentibus inserit, efficit continuo, uti neque secum ipsa, neque cum aliis similiter
6 populis ullo amplius fidei ac societatis vinculo conjuncta teneatur. Cui etiam malo medicinam aliquam facit, sua illa rerum omnium fœcunditas.

ΠΛΑΤΩΝΟΣ

καὶ τὸ πάμφορος εἶναι κέκτηται, τραχεῖα δὲ οὖσα δῆλον ὡς οὐκ ἂν πολύφορός τ' εἴη καὶ πάμφορος ἅμα. Τοῦτο γὰρ ἔχουσα, πολλὴν ἐξαγωγὴν ἂν παρεχομένη, νομίσματος ἀργυροῦ καὶ χρυσοῦ πάλιν ἀντεπίμπλαιτ' ἄν· οὗ μεῖζον κακὸν, ὡς ἔπος εἰπεῖν, πόλει ἀνθ' ἑνὸς ἓν οὐδὲν ἂν γένοιτο εἰς b γενναίων καὶ δικαίων ἠθῶν κτῆσιν.

Ἀλλὰ γὰρ τοσούτων ἡμῖν καὶ μέχρι τοῦδε ἀποδεδειγμένων, σκεψώμεθα ὅπως τὸν τῆς παρ' Ἑβραίοις παιδείας τρόπον δι' ὧν εἰρήκαμεν ἀποδεξάμενος τὸν Ἑλληνικὸν παραιτεῖται, γράφων ἐν τῷ δεκάτῳ τῆς Πολιτείας ὧδε·

49 Ὡς μὲν πρὸς ὑμᾶς εἰρήσθω, (οὐ γάρ μου κατερεῖτε πρὸς c τοὺς τῆς τραγῳδίας ποιητὰς καὶ τοὺς ἄλλους πάντας τοὺς μιμητικοὺς,) λώβη ἔοικεν εἶναι πάντα τὰ τοιαῦτα τῆς τῶν ἀκουόντων διανοίας, ὅσοι μὴ ἔχουσι φάρμακον, τὸ εἰδέναι d
2 αὐτὰ οἷα τυγχάνει ὄντα. Πῇ δὴ, ἔφη, διανοούμενος λέγεις; Ῥητέον, ἦν δ' ἐγώ, καίτοι φιλία γέ τις με καὶ αἰδὼς ἐκ

a 7. τραχεῖα δὲ] τραχεῖά τε E.F.G. 10. παρεχομένην E. ἀργυρίου—χρυσίου D. 11. ἀντεπίμπλατ'] ἀντεπίμπλετ' (i. e. ἀντεπίμπλαιτ') D. ἀντεπίπλαιτ' F.G. ἀντιπίμπλαιτ' I. b. ἓν] ἑνὶ C. 2. ἂν om. F. 3. τοσοῦτον E. τοῦδε] τούτου C.F.G. 6. παραιτεῖτο E. c 8. τοιαῦτα] Inserit h. l. C. τῆς τῶν ἀκουόντων διανοίας ὅσοι μὴ ἔχουσι φάρμακον τὸ εἰδέναι αὐτά. d 2. δὲ] δὴ D.F.G. v. seq. καί τι D.

Nam pro eo atque asperior est, simul quidem et nihil non ferre, et abunde omnia ferre non potest. Quod utrumque si haberet, ut rerum inde multarum exportatio fieret, ita magna vicissim argenti aurique copia repleretur: quo quidem malo, si malorum singulorum instituenda contentio est, nullum, ut semel dicam, urbi gravius, quodque magis honestos ingenuosque mores impediat, esse possit.

Hactenus Plato. Nos vero, quoniam adhuc quam Hebræis affinia statuerit, satis superque ostendimus; videamus deinceps, qui Hebraicæ disciplinæ rationem tantopere probaverit, Græcam idem quemadmodum repudiet. Id quod ex his decimi de Republica verbis intelliges.

49 Quod apud vos, inquit Plato, dictum sit: (nec enim me coram tragicis aut aliis quibuslibet poëtis, qui in imitatione versantur, accusabitis:) ejus-
p. 595. modi res, pestis quædam mentis auditorum videtur esse, quibus in
2 promptu remedium illud non sit, ut quales eæ vere sint, intelligant. Quo tandem animo sic loqueris? Dicendum, inquam, tametsi amor quidam ob-

παιδὸς ἔχουσα περὶ Ὁμήρου ἀποκωλύει λέγειν. Ἔοικε γὰρ τῶν καλῶν ἁπάντων τούτων τῶν τραγικῶν πρῶτος διδάσκαλός τε καὶ ἡγεμὼν γενέσθαι· ἀλλ' οὐ γὰρ πρό γε τῆς ἀληθείας τιμητέος ἀνὴρ, ἀλλ' ὃ λέγω ῥητέον. Πάνυ μὲν οὖν, ἔφη. ΠΛΑΤΩΝΟΣ

3 Εἶθ' ἑξῆς ἐπιλέγει,

Τῶν μὲν τοίνυν ἄλλων πέρι μὴ ἀπαιτῶμεν λόγον Ὅμηρον, μηδὲ ἄλλον ὀντινοῦν τῶν ποιητῶν, ἐρωτῶντες, εἰ ἰατρικός τις ἦν αὐτῶν, ἀλλὰ μὴ μιμητὴς μόνον ἰατρικῶν λόγων, τίνας ὑγιεῖς ποιητής τις τῶν παλαιῶν ἢ τῶν νέων λέγεται πεποιηκέναι, ὥσπερ Ἀσκληπιὸς, ἢ τίνας μαθητὰς ἰατρικῆς κατελίπετο, ὥσπερ ἐκεῖνος τοὺς ἐκγόνους· μηδ' αὖ περὶ τὰς p. 619

[363] 4 ἄλλας τέχνας αὐτὸν ἐρωτῶμεν, ἀλλ' ἐῶμεν. Περὶ δὲ τῶν μεγίστων τε καὶ καλλίστων, ὧν ἐπιχειρεῖ λέγειν Ὅμηρος, πολέμων τε πέρι καὶ στρατηγιῶν καὶ διοικήσεων πόλεων, καὶ παιδείας πέρι ἀνθρώπων, δίκαιόν που ἐρωτᾶν αὐτὸν πυνθανομένους, Ὦ φίλε Ὅμηρε, εἴπερ μὴ τρίτος ἀπὸ τῆς ἀληθείας

d 4. κωλύει με D. 5. ἁπάντων om. D. 10. μηδ' ἄλλον ὀντιναοῦν] μὴ δ' ἄλλου τινῶν C. μ. ἄλλον τιναοῦν E. μὴ δ' ἄλλον τιν' οὖν F.G. τιν' οὖν I. Supra οὐκ ἀπαιτῶν μὲν E.I. 12. ἰατρὸς] ἰατρικὸς C.D.F.G.I. Mox μόνον post μιμητής C.F.G. τις om E. 13. τίνας γὰρ] γὰρ om. C.E.F.G.I. Supra μόνων I. ποιητής τις τῶν παλαιῶν] παλαιός τις τῶν ποιητῶν ποιητὴς C.F.G.

p. 619. 2. ἐγγόνους] ἐκγόνους D. 3. δὲ om. D. 5. πολέμων] πολέμων τε C.D.F.G.I. 6. διοικίσεων D. 7. που] του C.

servantiaque mea, quam adversus Homerum a puero hausi, quo minus id dicam, impediat. Videtur enim primus ille istorum omnium egregiorum tragicorum magister et dux fuisse. At nimirum hominem veritate potiorem habere non debemus; sed potius dicendum in præsentia quod agimus. Sane, inquit.

3 Tum quibusdam interjectis,

Ac de cæteris quidem rebus, inquit, nullam vel ab Homero, vel ab alio quovis poëta rationem exigamus: adeoque mittamus quærere, utrum ex iis medicus aliquis fuerit, non medicæ tantum orationis imitator. Ecquos enim ullus unquam poëta, seu vetustior, seu recentior, uti Æsculapius fecit, morbo liberavit? Quos tandem, ut posteros ille suos, medicinæ discipulos reliquit? Similiter de artibus cæteris nullum a nobis verbum fiat. p. 599.

4 At vero maxima illa et præstantissima quod attinet, quorum tractationem Homerus attingit, bella, inquam, imperiaque militaria, rerumpublicarum administrationes, et præcepta hominibus informandis apta; verum sane fuerit ita fere hominem compellare. Dic sodes, mi Homere, si tertius

ΠΛΑ-
ΤΩ-
ΝΟΣ

εἶ ἀρετῆς πέρι εἰδώλου δημιουργὸς, ὃν δὴ μιμητὴν ὡρισάμεθα,
ἀλλὰ καὶ δεύτερος, καὶ οἷός τε ἦσθα γινώσκειν ποῖα ἐπιτη-
δεύματα βελτίους ἢ χείρους ἀνθρώπους ποιεῖ ἰδίᾳ καὶ δημο- b
σίᾳ, λέγε ἡμῖν, τίς τῶν πόλεων διὰ σὲ βέλτιον ᾤκησεν,
ὥσπερ διὰ Λυκοῦργον Λακεδαίμων, καὶ δι' ἄλλους πολλοὺς
5 πολλαὶ μεγάλαι τε καὶ σμικραί. Σὲ δὲ τίς αἰτιᾶται πόλις
ἀγαθὸν νομοθέτην γεγονέναι, καὶ σφᾶς ὠφεληκέναι; Χαρών-
δαν μὲν γὰρ Ἰταλία καὶ Σικελία, καὶ ἡμεῖς Σόλωνα· σὲ δὲ
τίς; Ἕξει τινὰ εἰπεῖν; Οὐκ οἴομαι, ἔφη ὁ Γλαύκων. Οὔκουν
λέγεταί γε, οὐδ' ὑπ' αὐτῶν Ὁμηριδῶν. Ἀλλὰ δὴ τίς πόλε-
μος ἐπὶ Ὁμήρου ὑπ' ἐκείνου ἄρχοντος ἢ συμβουλεύοντος εὖ c
6 πολεμηθεὶς μνημονεύεται; Οὐδείς. Ἀλλ' οἷα δὴ εἰς τὰ ἔργα
σοφοῦ ἀνδρὸς πολλαὶ ἐπίνοιαι καὶ εὐμήχανοι εἰς τέχνας ἤ
τινας ἄλλας πράξεις λέγονται, ὥσπερ αὖ Θάλεώ τε πέρι τοῦ
Μιλησίου, καὶ Ἀναχάρσιδος τοῦ Σκύθου; Οὐδαμῶς τοιοῦτον
7 οὐδέν. Ἀλλὰ δὴ, εἰ μὴ δημοσίᾳ, ἰδίᾳ τισὶν ἡγεμὼν παιδείας
αὐτὸς ζῶν λέγεται Ὅμηρος γενέσθαι, οἳ ἐκεῖνον ἠγάπων ἐπὶ

a 9. εἶ] ἢ D. 10. δὴ καὶ] καὶ om. C.F.G. 11. οἶσθα D.
b. ποιεῖ χείρους I. 2. λέγε ἡμῖν om. D. 3. ᾤκισεν D.
5. μικραὶ D. 7. γὰρ om. D. 9. τινα om. D. et mox om. ὑπ' ἐκείνου. c 5. Θάλεως D. θαλός ἔω τὲ I. 7. τοιοῦτον οὐδὲν om. D. et μὴ om. D. οὐθὲν I. 8. ζῆν] ζῶν C.D.F.G.I. 9. οἷον ἐκεί-νων D.

aliquis a veritate non es, qui virtutis simulacrum fingas, (quem antea imi-
tatorem esse diximus,) sed potius ab eadem secundus, atque ejusmodi, qui
optime noveris, quibus studiis homines aut meliores, aut deteriores tam
publice, quam privatim fiant: dic nobis, inquam, num quæ respublica
melius per te instituta fuerit, uti Lacedæmon per Lycurgum, ac per alios
5 plerosque, complures item aliæ tam majores, quam minores? Te vero, quæ
tandem civitas bonum legislatorem appellat, aut merita erga se tua com-
memorat? Nam Charondam Italia simul atque Sicilia, nos Solonem agno-
scimus. Te autem ecquæ celebrabit? Nulla, opinor, inquit Glauco. Ac
ne ab ipsis quidem Homericis ejusmodi quicquam audias. Num quod
vero bellum Homeri temporibus excitatum, eo vel duce, vel auctore feliciter
6 gestum memoratur? Nullum. An saltem plurima quædam ejus, tam-
quam hominis apprime rerum periti, vel in artibus, vel in aliis quibuslibet
vitæ officiis, industriæ solertiæque plena inventa celebrantur? cujusmodi
sane vel Thaletis Milesii, vel Anacharsis illius Scythæ multa fuisse didi-
7 cimus. Affine prorsus nihil. At si minus publice, privatim quidem ipsum,
dum viveret, num qui disciplinæ suæ ducem habuere? qui et ejus consue-

ΠΛΑΤΩΝΟΣ

συνουσίᾳ καὶ τοῖς ὕστερον ὁδόν τινα παρέδοσαν βίου Ὁμηρικήν, ὥσπερ Πυθαγόρας αὐτός τε διαφερόντως ἐπὶ τούτῳ ἠγαπήθη, καὶ οἱ ὕστεροι ἔτι καὶ νῦν Πυθαγόρειον τρόπον ἐπονομάζοντες τοῦ βίου διαφανεῖς πῃ δοκοῦσιν εἶναι ἐν τοῖς d
8 ἄλλοις. Οὐδ' αὖ, ἔφη, τοιοῦτον οὐδὲν λέγεται. Ὁ γὰρ Κρεώφυλος, ὦ Σώκρατες, ὁ τοῦ Ὁμήρου ἑταῖρος, τοῦ ὀνόματος ἂν γελοιότερος ἔτι πρὸς παιδείαν φανείη, εἰ τὰ λεγόμενα περὶ Ὁμήρου ἀληθῆ ἐστί. Λέγεται γάρ που, ὡς πολλὴ ἀμέλεια περὶ αὐτὸν ἦν ἐπ' αὐτοῦ ἐκείνου, ὅτε ἔζη. Λέγεται
9 γὰρ οὖν, ἦν δ' ἐγώ. Ἀλλ' οἴει, ὦ Γλαύκων, εἰ τῷ ὄντι οἷός τε ἦν παιδεύειν ἀνθρώπους καὶ βελτίους ἀπεργάζεσθαι Ὅμηρος, ἅτε περὶ τούτων οὐ μιμεῖσθαι ἀλλὰ γινώσκειν δυνάμενος, οὐκ ἄρ' ἂν πολλοὺς ἑταίρους ἐποιήσατο, καὶ ἐτιμᾶτο καὶ p. 620
10 ἠγαπᾶτο ὑπ' αὐτῶν; Ἀλλὰ Πρωταγόρας μὲν ἄρα ὁ Ἀβδηρίτης, καὶ Πρόδικος ὁ Κεῖος, καὶ ἄλλοι πάμπολλοι, δύνανται τοῖς ἐφ' ἑαυτῶν παρεστάναι ἰδίᾳ συγγινόμενοι, ὡς οὔτε οἰκίαν οὔτε πόλιν τὴν αὐτῶν οἰκεῖν οἷοί τε ἔσονται, ἐὰν μὴ

c 10. Ὁμηρικὴν ἂν D.E.F.I. 12. τούτῳ] τούτων C.D.F.G.I. 13. Πυθαγόρειον] Πυθαγόριον C.G. d 3. κρεώφιλος] κρεώφυλος C.F.G. 4. ἂν γελοι. ἔτι] ἔτι γελ. ἂν C.F.G. 5. φανείης E. 8. ὅταν D. qui mox om. γὰρ οὖν.

p. 620. 3. Χεῖος] Κῖος D.F.G. οἰκεῖος E.I. 4. παρίσταναι Plat. 5. συγγινομένοις D. οἰκείαν] οἰκίαν C.

tudinem adamarint, et posteris ipsi suis Homericum aliquod vitæ genus formamque transmiserint? quemadmodum Pythagoras, cum ipse per se multorum hoc in genere approbationem habuit plane singularem, tum etiam extitere deinceps, qui Pythagoream, ut vocant, vitæ rationem hodie-
8 que profitentes, inter cæteros eminere videantur. Ne id quidem. Nam Creophilus quidem, o Socrates, is qui Homeri socius fuisse dicitur, disciplina forte magis, quam nomine ipso ridiculus appareat, si vera modo sint, quæ de Homero circumferunt. Quippe, illum enim, etiam dum viveret, ab suis æqualibus neglectum admodum fuisse narrant. Narrant
9 sane, inquam. Putasne vero, mi Glauco, Homerum, si vere homines tanquam in eorum cognitione potius, quam imitatione versatus, instituere ac meliores efficere potuisset, amicos sibi sodalesque plurimos compara-
10 turum non fuisse, a quibus et observaretur et amaretur? Enimvero cum et Protagoras Abderites, et Prodicus ille Ceus, aliique permulti, æqualibus suis quibus familiariter utuntur, persuadere possint, futurum uti nunquam ipsi rem familiarem aut publicam administrare queant, nisi eorum studiis

ΠΛΑΤΩΝΟΣ

σφεῖς αὐτῶν τῆς παιδείας ἐπιστατήσωσι, καὶ ἐπὶ ταύτῃ τῇ
σοφίᾳ οὕτω σφόδρα φιλοῦνται, ὥστε μόνον οὐκ ἐπὶ ταῖς
11 κεφαλαῖς περιφέρουσιν αὐτοὺς οἱ ἑταῖροι. Ὅμηρον δὲ ἄρα
οἱ ἐπ' ἐκείνου, εἴπερ οἷός τε ἦν πρὸς ἀρετὴν ὀνίναι ἀνθρώ- b
πους, ἢ Ἡσίοδον ῥαψῳδεῖν ἂν περιιόντας εἴων, καὶ οὐχὶ
μᾶλλον ἂν αὐτῶν ἀντείχοντο ἢ τοῦ χρυσοῦ, καὶ ἠνάγκαζον
παρὰ σφίσιν οἴκοι εἶναι, ἢ εἰ μὴ ἔπειθον, αὐτοὶ ἂν ἐπαιδαγώ-
12 γουν, ὅπῃ ᾖεσαν, ἕως ἱκανῶς παιδείας μεταλάβοιεν; Παντά-
πασιν, ἔφη, δοκεῖς μοι, ὦ Σώκρατες, ἀληθῆ λέγειν. Οὐκοῦν
τιθῶμεν ἀπὸ Ὁμήρου ἀρξάμενοι, πάντας τοὺς ποιητικοὺς
μιμητὰς εἰδώλων ἀρετῆς εἶναι, καὶ τῶν ἄλλων, περὶ ὧν ποιοῦσι,
τῆς δ' ἀληθείας οὐχ ἅπτεσθαι; ἀλλ' ὥσπερ νῦν δὴ ἐλέγομεν,
ὁ ζωγράφος σκυτοτόμον ποιήσει δοκοῦντα εἶναι, αὐτός τε οὐκ
ἐπαΐων περὶ σκυτοτομίας, καὶ τοῖς μὴ ἐπαΐουσιν, ἐκ τῶν χρω- c
13 μάτων δὲ καὶ σχημάτων θεωροῦσι; Πάνυ μὲν οὖν. Οὕτω δή,
οἶμαι, καὶ τὸν ποιητικὸν φήσομεν χρώματα ἄττα ἑκάστῳ
τῶν τεχνῶν τοῖς ὀνόμασι καὶ ῥήμασιν ἐπιχρωματίζειν, αὐτὸν
οὐκ ἐπαΐοντα, ἀλλ' ἢ μιμεῖσθαι, ὥστε ἑτέροις τοιούτοις ἐκ

a 7. σφεῖς D.F.G. Plat. 10. αὐτῶν τοὺς φίλους D. b. ὀνίναι] ὀνεῖναι D. cum uno ms. Platonis leg. ὀνῆναι. 2. αὐτῶν ἀντείχ.] ἀντείχ. αὐτῶν C.F.G. 9. ποιητικοὺς] ποιητὰς D. 12. νῦν δὴ] δὴ νῦν D. 13. αὐτὸς δὲ] αὐτός τε C.D.F.G.I. c 2. δὲ καὶ] τε καὶ I. ἄττα om. C. ante θεωροῦσι. 3. ποιητὴν D. 4. ἄττα] διττὰ C.D.E.F.G.I. 7. ἑτέροις] ἑταίροις C.F.G.

et eruditioni præfuerint, ejusque sapientiæ vi tantum sibi tamque vehementem sectatorum suorum amorem concilient, ut tantum non in capite ab
11 iis ferantur: Homerum, obsecro, vel Hesiodum, si operam hominibus ad capessendam virtutem navare possent, ætatis suæ homines carmina sua cantitando, vagari passim et errare paterentur, ac non eos potius auro ipso cariores haberent, ac vel in ædium suarum parte collocarent, vel si minus hoc ab iis impetrarent, tamdiu certe illorum, ubicunque degerent, præceptis
12 informarentur, dum satis in eorum disciplina profecissent? Verissime, o Socrates, id abs te dictum arbitror. Maneat igitur poëtas omnes, Homero ipso agmen ducente, virtutis ac cæterorum, de quibus aliquando scribunt, simulachra tantum imitari, veritatem ipsam nunquam attingere. Videlicet, quemadmodum paulo ante dicebamus, pictor, qui de arte coriaria nihil unquam inaudierit, coriarium tamen sic effingit, ut artis ejusdem imperitis, atque unam colorum ac figurarum speciem intuentibus, coriarius videatur.
13 Utique. Eodem plane modo poëtam, opinor, dixerimus, hospitem alioqui ac peregrinum in artibus, quas tantum imitari noverit, sic nomina tamen et vocabula singularum coloribus quibusdam inducere, ut rem ipsam, qui speciem unam orationis attendunt, videre sibi videantur. Quare sive de

ΠΛΑΤΩΝΟΣ

τῶν λόγων θεωροῦσι δοκεῖν, ἐάν τε περὶ σκυτοτομίας τι λέγῃ [364] ἐν μέτρῳ καὶ ῥυθμῷ καὶ ἁρμονίᾳ, πάνυ εὖ δοκεῖν λέγεσθαι· 14 ἐάν τε περὶ στρατηγίας, ἐάν τε περὶ ἄλλου ὁτουοῦν. Οὕτω φύσει αὐτὰ ταῦτα μεγάλην τινὰ κήλησιν ἔχειν· ἐπιγυμνω- d θέντα γε τῶν τῆς μουσικῆς χρωμάτων τὰ τῶν ποιητῶν, αὐτὰ ἐφ' ἑαυτῶν λεγόμενα, οἶμαί σε εἰδέναι οἷα φαίνεται. Τεθέασαι γάρ, ἢ οὔ; Ἔγωγ', ἔφη.

15 Καὶ τούτων δὲ οὕτως ἐχόντων, εὖ μοι ἔχειν δοκεῖ βραχέα ἄττα τῶν Πλάτωνος διελθεῖν, δι' ὧν λογικώτερον τὸν περὶ Θεοῦ καὶ προνοίας συνίστησι λόγον τοῖς Ἑβραίων κἀν τούτῳ παριστάμενος δόγμασι. Πρῶτα δὲ θεασώμεθα, ὅπως τὰς δόξας τῶν ἀθέων ἐκτίθησι.

50 Λέγουσί που τινὲς, ὡς πάντα ἐστὶ τὰ πράγματα γιγνό- p. 621 μενα καὶ γενόμενα καὶ γενησόμενα τὰ μὲν φύσει, τὰ δὲ τέχνῃ, τὰ δὲ διὰ τύχην.

Οὐκοῦν καλῶς.

Εἰκός γε τοί που σοφοὺς ἄνδρας ὀρθῶς λέγειν. Ἑπόμενοί

c 8. λέγῃ] λέγει C. λέγω F. d. ἔχει] ἔχειν C.E.F.G.I. Mox χρημάτων I. d 2. τὰ δὲ] δὲ om. C.E.F.G.I. et nescio an D. 3. ἑαυτῶν τὰ λ. D.E.F.G.I. 4. γὰρ om. D. 9. τούτῳ] οὕτω I.
p. 621. 6. ἀπογενησόμενα D. 7. τὰ δὲ διὰ τύχην om. D. τέχνην pro τύχην F.G.

coriaria, sive de imperatoria, sive de qualibet alia re, versu numerose ac 14 modulate cecinerit, egregie admodum loquutus putetur. Tantam natura sua concentus ille suavior demulcendi vim habet. Nam poëtarum opera, dum per sese, atque illis musicæ nudata coloribus audiuntur, qualia demum videri soleant, satis, opinor, intelligis. An tu sic ea aliquando spectasti? Equidem, inquit ille.

15 At his ita constitutis, placet hic etiam ex Platone pauca quædam attexere, quibus longe sapientius cum de Deo, tum de divina providentia philosophatur, Hebræorum etiam hoc in genere doctrinam sequutus. Ac primum hominum impiorum ac divinitatem funditus exterminantium sententias, quemadmodum exponat, videamus.

50 Docent, inquit Plato, nonnulli, res omnes, seu quæ nunc fiunt, seu quæ factæ jam, seu quæ deinceps futuræ sunt, vel natura, vel arte, vel casu fieri.

Plato Legg. p. 888. extr.

Præclare id quidem.

Probabile sane fuerit, eruditos homines recte loquutos esse. Nos tamen

ΠΛΑ-ΤΩ-ΝΟΣ

γε μὴν αὐτοῖς σκεψώμεθα τοὺς ἐκεῖθεν, τί ποτε καὶ τυγχά- b
νουσι διανοούμενοι.

2 Πάντως.

Ἔοικε, φασὶ, τὰ μὲν μέγιστα αὐτῶν καὶ κάλλιστα ἀπεργάζεσθαι φύσιν καὶ τύχην, τὰ δὲ σμικρότερα τέχνην, ἣν δὴ παρὰ φύσεως λαμβάνουσαν τὴν τῶν μεγάλων καὶ πρώτων γένεσιν ἔργων πλάττειν καὶ τεκταίνεσθαι πάντα τὰ σμικρότατα, ἃ δὴ τεχνικὰ πάντες προσαγορεύομεν.

3 Πῶς λέγεις;

Ὧδ᾽ ἔτι σαφέστερον ἐρῶ. Πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα φύσει πάντα εἶναι καὶ τύχῃ φασὶ, τέχνῃ δὲ οὐδὲν τούτων. Καὶ τὰ μετὰ ταῦτα αὖ σώματα, γῆς τε καὶ ἡλίου c
καὶ σελήνης ἄστρων τε πέρι, διὰ τούτων γεγονέναι παντελῶς ὄντων ἀψύχων· τύχῃ δὲ φερόμενα τῇ τῆς δυνάμεως ἕκαστα ἑκάστων, ᾗ συμπέπτωκεν, ἁρμόττοντα οἰκείως πως, θερμὰ ψυχροῖς, ἢ ξηρὰ πρὸς ὑγρὰ, καὶ μαλακὰ πρὸς σκληρὰ, καὶ πάντα ὁπόσα τῇ τῶν ἐναντίων κράσει κατὰ τύχην ἐξ ἀνάγκης συνεκεράσθη, ταύτῃ καὶ κατὰ ταὐτὰ οὕτως γεγεννηκέναι τόν

b. τοὺς ἐκεῖθεν om. C.D.E.F.G.I. 3. φασὶ] φησὶ I. 5. λαμβάνουσι D. 6. τὴν τῶν] καὶ τὴν τῶν C.F.G. 8. σμικρότερα D. Plat. 9. ὧδέ πῃ] ὧδέ τι C.D.F.G.I. ὧδ᾽ ἔτι Plat. 11. φασι om. D. c 5. ἕκαστα om. C.E.G.I. ἑκάστῳ D. 8. πάντα ὁπ.] πάντα om. C. κράσει om. D. 9. συνεκράσθαι D. Mox ταύτῃ ταῦτα καὶ ταῦτα F. ταύτῃ ταῦτα καὶ κατὰ τ. G.

eorum vestigiis insistentes, quid ii porro senserint, qui eorum ex disciplina profecti sunt, videamus.

2 Videamus hercle.

Videntur, inquiunt, maxima quæque ac præstantissima, vel natura vel casu; minora vero arte fieri: quæ videlicet majorum ac principum naturæ operum copiam nacta, minima deinceps illa fingat atque moliatur, quæ artificiosa vulgo nominamus.

3 Cujusmodi est quod ais?

Rem ita clarius accipe. Ignem, aquam, terram, et aërem, sic natura simul et casu existere volunt, nihil ut eorum ab arte pendeat. Similiter quæ loco post ea secundo recensentur corpora, hoc est rerum terrestrium, solis, lunæ, siderumque omnium, ex quatuor illis, anima licet omnino carentibus, esse conflata: quæ deinde pro suæ quæque vis facultatisque fortuna huc aut illuc ferantur, atque ubi concurrerint, familiarius inter sese conveniant, calida cum frigidis, cum humidis arida, mollia cum duris, itaque de cæteris, quæ rerum contrariarum temperatione, casu quidem, sed tamen necessario commiscentur. Atque hoc penitus modo, et cœlum

ΠΛΑΤΩΝΟΣ

τε οὐρανὸν ὅλον καὶ πάντα ὁπόσα ἂν κατ' οὐρανὸν, καὶ ζῷα αὖ καὶ φυτὰ ξύμπαντα, ὡρῶν πασῶν ἐκ τούτων γενομένων, d οὐ διὰ νοῦν, φασὶν, οὐδὲ διά τινα θεὸν οὐδὲ διὰ τέχνην, ἀλλ'
4 ὃ λέγομεν, φύσει καὶ τύχῃ. Τέχνην δὲ ὕστερον ἐκ τούτων ὑστέραν γενομένην, αὐτὴν θνητὴν ἐκ θνητῶν, ὕστερα γεγεννηκέναι παιδιάς τινας, ἀληθείας οὐ σφόδρα μετεχούσας, ἀλλ' εἴδωλ' ἄττα ξυγγενῆ ἑαυτῶν, οἷα γραφικὴ γεννᾷ καὶ μουσικὴ καὶ ὅσαι ταύταις εἰσὶ συνέριθοι τέχναι. Αἳ δ' εἴ τι καὶ σπουδαῖον ἄρα γεννῶσι τῶν τεχνῶν, εἶναι ταύτας, ὁπόσαι τῇ φύσει ἐκοίνωσαν τὴν αὐτῶν δύναμιν, οἷον αὖ ἰατρικὴ καὶ γεωργικὴ καὶ γυμναστική. Καὶ δὴ καὶ τὴν πολιτικὴν σμικρόν τι μέρος εἶναί φασι κοινωνοῦν φύσει, τέχνῃ δὲ τὸ πολύ. Οὕτω p. 622 δὲ καὶ τὴν νομοθεσίαν πᾶσαν, οὐ φύσει, τέχνῃ δὲ, ἧς οὐκ ἀληθεῖς εἶναι τὰς θέσεις.

5 Πῶς λέγεις;

Θεούς, ὦ μακάριε, πρῶτον εἶναί φασιν οὗτοι τέχνῃ, οὐ φύσει ἀλλά τισι νόμοις, καὶ τούτους ἄλλους ἄλλῃ, ὅπῃ ἕκαστοι ἑαυτοῖς συνωμολόγησαν νομοθετούμενοι. Καὶ δὴ καὶ

d. γινομένων D. 4. αὐτὴν om. C.D.E.F.G.I. Mox ὕστερον C.F.G. 5. παιδείας D. 7. εἴδωλα τὰ D. 10. ταύτας] πάντας E. 14. τὸ om. D.F.G.I.
p. 622. οὕτω δὲ] δὲ om. C.E.F.

universum, et quæ cœlo continentur omnia, animantes simul plantasque omnes, cum tempestatibus item omnibus, quæ ex superioribus illis oriantur, extitisse, non jam vi mentis aut numinis, aut artis alicujus, ut aiunt,
4 verum, uti jam dicebamus, naturæ solum et casus. Artem porro ab illis ipsis deinde procreatam, mortalem ex mortalibus, nonnullos postea lusus peperisse, qui parum admodum veritatis habeant, sed potius simulacra quædam, cum iis tamen affinitate conjuncta videantur; cujusmodi ea sunt quæ a pictura, musica, et aliis ejusdem conditionis artibus proficiscuntur. Quod si nonnullæ interdum artes serium quidpiam maturumque producant, eas demum esse, quæ vim cum natura suam conjungant, quales medicina, agricultura, et gymnastica esse possint. Quin etiam illi civilem doctrinam, non nisi particulam quandam esse docent, quæ cum in naturæ, tum in artis multo magis communionem ac societatem vocetur. Sic totam istam leges condendi rationem ab arte potius, quam abs natura proficisci, cujus etiam sanctiones atque principia veritate careant.

5 Quo tu ista sensu?

Deos, vir optime, imprimis isti volunt, non jam natura, sed arte, hoc est legibus quibusdam existere, adeoque alios aliter se habere, prout inter sese, legibus instituti, magis minusve conveniant. Ex bonis similiter, alia

ΠΛΑΤΩΝΟΣ

τὰ καλὰ φύσει μὲν ἄλλα εἶναι, νόμῳ δὲ ἕτερα. Τὰ δὲ δὴ δίκαια οὐδ᾽ εἶναι τοπαράπαν φύσει, ἀλλ᾽ ἀμφισβητοῦντας διατελεῖν ἀλλήλοις, καὶ μετατιθεμένους ἀεὶ ταῦτα· ἃ δ᾽ ἂν μετάθωνται, καὶ ὅταν, τότε κύρια ἕκαστα εἶναι, γιγνόμενα b
6 τέχνῃ καὶ νόμοις, ἀλλ᾽ οὐ δή τινι φύσει. Ταῦτ᾽ ἐστὶν, ὦ φίλοι, ἅπαντα ἀνδρῶν σοφῶν παρὰ νέοις ἀνθρώποις, ἰδιωτῶν τε καὶ ποιητῶν, φασκόντων εἶναι τὸ δικαιότατον, ὅ τι τις ἂν νικᾷ βιαζόμενος. Ὅθεν ἀσέβειαί τε ἀνθρώποις ἐμπίπτουσιν νέοις, ὡς οὐκ ὄντων θεῶν οἵους ὁ νόμος προστάττει διανοεῖσθαι δεῖν, στάσεις τε διὰ ταῦτα, ἑλκόντων πρὸς τὸν
[365] κατὰ φύσιν ὀρθὸν βίον, ὅς ἐστι τῇ ἀληθείᾳ κρατοῦντα ζῆν τῶν ἄλλων, καὶ μὴ δουλεύοντα ἑτέροισι κατὰ νόμον.

Οἷον διελήλυθας, ὦ ξένε, λόγον, καὶ ὅσην λώβην ἀνθρώπων νέων δημοσίᾳ πόλεσί τε καὶ ἰδίοις οἴκοις; c

7 Καὶ μεθ᾽ ἕτερά φησιν,

Ἀλλά γε δὴ πάλιν λέγε μοι, Κλεινία, καὶ σὺ, κοινωνὸν γὰρ δεῖ σε εἶναι τῶν λόγων· κινδυνεύει γὰρ ὁ λέγων ταῦτα

a 8. δὲ δὴ] δὴ om. C.F.G. b. τοῖς νόμοις] τοῖς om. C.D.F.G.I. 4. δὲ καὶ] τε καὶ C.D.F.G. δὲ om. E. 6. ἐμπίπτ. ἀνθρώποις] ἀνθ. ἐμπ. C.F.G. 8. στάσεις δὲ] στάσεις τε C.D.F.G.I. 9. βίον ὀρθὸν] ὀρθὸν βίον C.D.F.G. c 3. εἶναι om. C.F.G.

natura, lege alia fieri. Res autem justas, naturæ vi nullas omnino esse; at in iis definiendis homines ab aliis alios perpetuo dissentire, novaque subinde statuere. Quæ vero, et quandocunque sanxerint, ea tum demum
6 valere, non utique natura, sed arte ac legibus constituta. Hæc omnia, o amici, partim a doctis hominibus, partim ab idiotis et poëtis apud juniores celebrantur, quorum vox ea communis est, æquissimum id esse quod per vim extorseris. Quo fit, ut juniores illi cum impietatem imbibant, quod eos tales deos esse non credant, quales ut habeantur legibus sancitum est: tum etiam mutuis propterea dissensionibus laborent, dum ad rectam vitam naturæque consentaneam pertrahere conantur, quæ quidem alia re vera non sit, quam ut quomodo verum erit, aliorum dominus vivas, nec aliis ex legis præscripto servias.

O quam tu rem, mi hospes, quamque gravem juniorum pestem, cum in civitatibus publice, tum privatim domi grassantem aperuisti!

7 Et paucis quibusdam interjectis:

p. 891. Verum, inquit, mi Clinia, hoc rursum mihi responde, tecum enim rationes istæ communicari debent. Nonne qui ita loquatur, is quatuor illa

πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα πρῶτα τῶν πάντων ἡγεῖσθαι εἶναι, καὶ τὴν φύσιν ὀνομάζειν ταῦτα αὐτά, ψυχὴν δ' ἐκ τούτων ὕστερον. Ἔοικε δὲ οὐ κινδυνεύειν, ἀλλ' ὄντως σημαίνειν ταῦτα ἡμῖν τῷ λόγῳ. ΠΛΑ-ΤΩ-ΝΟΣ

Πάνυ μὲν οὖν.

8 Ἆρ' οὖν πρὸς Διὸς οἷον πηγήν τινα ἀνοήτου δόξης ἀνευρήκαμεν ἀνθρώπων, ὁπόσοι πώποτε τῶν περὶ φύσεως ἐφή- d
ψαντο ζητημάτων; Σκόπει πάντα λόγον ἐξετάζων· οὐ γὰρ δὴ σμικρόν γε τὸ διαφέρον, εἰ φανεῖεν οἱ λόγων ἁπτόμενοι ἀσεβῶν ἄλλοις τε ἐξάρχοντες μηδὲ εὖ τοῖς λόγοις ἀλλ' ἐξημαρτημένως χρώμενοι. Δοκεῖ τοίνυν μοι ταῦτα οὕτως ἔχειν.

Εὖ λέγεις· ἀλλ' ὅπῃ δή, πειρῶ φράζειν.

Ἔοικε τοίνυν ἀηθεστέρων ἁπτέον εἶναι λόγων.

9 Καὶ μετὰ βραχέα ἐπιλέγει,

Ψυχήν, ὦ ἑταῖρε, ἠγνοηκέναι κινδυνεύουσι μὲν ὀλίγου ξύμπαντες, οἷόν τε ὂν τυγχάνει, καὶ δύναμιν ἣν ἔχει, τῶν τε ἄλλων αὐτῆς πέρι καὶ δὴ καὶ γενέσεως, ὡς ἐν πρώτοις ἐστί, p. 623
σωμάτων ἔμπροσθεν πάντων γενομένη, καὶ μεταβολῆς τε

c 5. καὶ om. D. 6. ὀνομάζων D.I. 8. σημαίνει ὄντως D. d 2. οὐ γὰρ] οὐ γὰρ δὴ C.D.F.G.I. 4. ἄλλοις] ἄλλως C.E.F.G.I. 7. ταῦτα] οὐ ταῦτα D.E.F.G. 9. εἶναι om. E.F.G.I.

ignem, aquam, terram, aërem, omnium omnino prima statuere, eadem naturam appellare, animamque posterius ex illis ipsis conflare videatur? Quanquam non videtur certe quidem, verum nobis id plane hoc loquendi genere significat.

Ita prorsus.

8 Numquid igitur stolidæ hominum eorum opinionis quendam quasi fontem reperimus, qui rerum naturalium quæstiones unquam attigerint? Ac mihi quæso rem totam diligentius considera. Nec enim parum interest, si qui et hanc impietatis doctrinam sectantur ipsi, et aliis ejusdem auctores sese doctoresque profitentur, eos non recte suis illis argumentis, at perperam abuti, fallique constiterit. Mihi quidem videtur ita res habere.

Et mihi quoque rem probas. Sed age tamen eamque nobis clarius si potes eloquere.

At insolentiorem mihi disputationem imponis.

9 Iterumque post pauca,

Videntur, inquit, o amice, plerique omnes ignorasse, tum quid anima sit, p. 892.
tum quas ipsa vires habeat, nec in cæteris modo quæ ejus propria sunt, verum etiam in ejusdem ortu hospites ac peregrini fuisse, cum eam et in rerum principum numero, et corporibus omnibus priorem, adeoque præ

ΠΛΑΤΩΝΟΣ

αὐτῶν καὶ μετακοσμήσεως ἁπάσης ἄρχει παντὸς μᾶλλον. Εἰ δ' ἐστὶ ταῦτα οὕτως, ἆρ' οὐκ ἐξ ἀνάγκης τὰ ψυχῆς συγγενῆ πρότερα ἂν εἴη γεγονότα τῶν σώματι προσηκόντων, οὔσης γε αὐτῆς πρεσβυτέρας ἢ σώματος;

Ἀνάγκη.

10 Δόξα δὴ καὶ ἐπιμέλεια καὶ νοῦς καὶ τέχνη καὶ νόμος σκληρῶν καὶ μαλακῶν καὶ βαρέων καὶ κούφων πρότερα ἂν εἴη· καὶ δὴ καὶ τὰ μεγάλα καὶ πρῶτα ἔργα καὶ πράξεις τέχνης ἂν γίγνοιτο, ὄντα ἐν πρώτοις, τὰ δὲ φύσει καὶ φύσις, ἣν οὐκ b ὀρθῶς αὐτοὶ ἐπονομάζουσι, τούτου ὕστερα, καὶ ἀρχόμενα ἂν ἐκ τέχνης εἴη καὶ νοῦ.

Πῶς;

11 Οὐκ ὀρθῶς φύσιν βούλονται λέγειν γένεσιν τὴν περὶ τὰ πρῶτα. Εἰ δὲ φανήσεται ψυχὴ πρῶτον, οὐ πῦρ οὐδὲ ἀήρ, ψυχὴ δ' ἐν πρώτοις γεγενημένη, σχεδὸν ὀρθότατα λέγοιτ' ἂν εἶναι διαφερόντως φύσει. Ταῦτ' ἔσθ' οὕτως ἔχοντα, ἂν ψυχήν τις ἐπιδείξῃ πρεσβυτέραν οὖσαν σώματος, ἄλλως δὲ οὐδαμῶς.

Ἀληθέστατα λέγεις.

p. 623. 6. γε] δὲ D. οὔσης ταύτης Plat. 10. καὶ τὰ] καὶ om. E. 11. γίγνοιντο F.G.I. b. φύσις] φύσεις F. 2. οὐκ ὀρθῶς ἐπονομάζουσιν αὐτὸ τοῦτο, ὕστερα Plat. 4. πῶς] καὶ πῶς C.F.G. 5. δὲ] δὴ F. 7. πρώτοις] πρώτη C. Tum γενομένη D. γεγενημένοι E. 10. ἄλλου D.

cæteris caussam illis ac fontem mutationis omnis ac diversitatis esse nescierint. Quod quidem si verum est, nonne continuo sequitur, ut quæ ad animæ rationem pertinent, eadem, ut corpore antiquior anima est, sic omnibus quæ corpori tribuuntur, necessario priora habeantur?

Omnino sequitur.

10 Igitur opinio, cura, mens, ars, atque lex, duris et mollibus, gravibus et levibus priores sint oportet. Imo etiam magna illa primaque opera, similesque actiones, ad artem referentur, quotquot primorum in classe ac numero censebantur. Quæ vero natura fiunt, ipsaque adeo natura, (quam quidem isti perperam hoc appellant nomine,) posterior illis fuerit, atque ab arte simul ac mente initium aliquod habuerit.

Quî tandem istuc?

11 Nempe, naturam isti, generationem primis in rebus versantem dici oportere, non recte defendunt. Atqui si animam, aut primam, aut certe cum primis, non ignem vel aërem, natam esse constiterit; simul etiam optime ac præcipuo quodam jure dicatur, illas ipsas naturæ vi consistere; si modo animam corpore antiquiorem esse demonstraris: secus vero, nunquam.

Verissime loqueris.

ΠΛΑΤΩΝΟΣ

51 1 Ἄγε δή, θεὸν εἴ ποτε παρακλητέον ἡμῖν, νῦν ἔστω τοῦτο c οὕτω γενόμενον· ἐπί γε ἀπόδειξιν τὴν αὐτῶν, ὡς εἰσὶ, σπουδῇ πάσῃ παρακεκλήσθων· ἐχόμενοι δὲ ὥς τινος ἀσφαλοῦς πείσματος ἐπεισβαίνωμεν εἰς τὸν νῦν λόγον. Καί μοι ἐλεγχο- d μένῳ περὶ τὰ τοιαῦτα, ἐρωτήσεσι τοιαῖσδε ἀσφαλέστατα

2 ἀποκρίνεσθαι φαίνεται κατὰ τάδε. Ὦ ξένε, ὁπόταν φῇ τις, ἆρα ἕστηκε μὲν πάντα, κινεῖται δὲ οὐδὲν, ἢ τούτῳ πᾶν τοὐναντίον; Ἢ τὰ μὲν αὐτῶν κινεῖται, τὰ δὲ μένει; Τὰ μὲν κινεῖταί που, φήσω, τὰ δὲ μένει. Μῶν οὖν οὐκ ἐν χώρᾳ τινὶ τά τε ἑστῶτα ἕστηκε, καὶ τὰ κινούμενα κινεῖται; Πῶς γὰρ οὔ; Καὶ τὰ μέν γε ἐν μιᾷ ἕδρᾳ που τοῦτο ἂν δρῴη, τὰ δὲ ἐν

3 πλείοσι. Τὰ τὴν τῶν ἑστώτων ἐν μέσῳ λαμβάνοντα δύναμιν λέγεις, φήσομεν, ἐν ἑνὶ κινεῖσθαι, καθάπερ ἡ τῶν ἑστάναι λεγομένων κύκλων στρέφεται περιφορά; Ναί. p. 624

4 Καὶ ἑξῆς ἐπιλέγει·

Ἔτι καὶ τῇδε εἴπωμεν, καὶ ἀποκρινώμεθα πάλιν ἡμῖν αὐ-

c 3. εἴποντε I. 5. ὡς ε. σ. πάσῃ] ὥστ' ε. σ. πάντα πᾶσι C. ὥστ' —παντάπασι D.F.G.I. Hoc item E. 6. παρακεκλήσθων D.F.G. d. ἐπιβαί.] ἐπεισβαι. C.F.G.I. ἐπιβαίωμεν D. 4. φαίνεται D. om. 5. μὲν om. G. 6. τούτῳ] τοῦτο C. 9. τε] δὲ F. 10. που om. D. 11. πλείοσι] πλείωσι C. 12. ἑστώτων] ἐνεστώτων C.F.G. 13. κινεῖσθαι] κεῖσθαι C.F. κεῖσθαι D. (ιν written above κεῖσθαι)

p. 624. ἐτὶ καὶ] ἐπειδὴ καὶ E.F.G. Mox εἴπομεν D.E.I. 2. ἀποκρινώμ.] ἀποκρινόμ. C.D.

51 1 Age ergo, inquit Plato, si deus nobis unquam invocandus fuit, nunc p. 893. quidem id omnino faciendum. Itaque hanc ad disputationem, quæ tota deorum est, utpote qua illos esse demonstrandum suscipimus, eorum opem omni studio imploremus: simulque arrepto hoc tanquam certo quodam securoque fune, propositum nobis sermonem ineamus. Ac mihi quidem hoc in genere, admodum probatur ea ratio, ut perinde ac si quis me certis quibusdam interrogationibus percuntetur, sic vicissim ei respondeam, hunc

2 in modum. Utrum, mi hospes, (roget me quispiam:) ita consistunt omnia, ut moveatur nihil; an omnino secus? An potius moventur alia, alia quiescunt? Cui ego, Moventur, inquam, alia, alia quiescunt. Numquid igitur certo quodam in loco, vel quiescunt illa, vel moventur? Plane.

3 Et alia quidem in una aliqua sede id faciunt, alia in pluribus. Vin' tu, inquam, uno in loco ea moveri, quæ consistentium in medio vim rationemque sortiuntur; quo modo circulorum, quos stare dicimus, conversio volvitur? Equidem, inquit.

4 Tum interjectis quibusdam ita subjungit:

Pergamus vero, inquit, eandemque porro quærendi pariter ac respon- p. 895.

ΠΛΑΤΩΝΟΣ

τοῖσιν. Εἰ σταίη πως τὰ πάντα ὁμοῦ γενόμενα, καθάπερ πλεῖστοι τῶν τοιούτων τολμῶσι λέγειν, τίνα ἄρα ἐν αὐτοῖς ἀνάγκη πρώτην κίνησιν γενέσθαι τῶν εἰρημένων;

5 [366] Τὴν αὐτὴν ἑαυτὴν δήπου κινοῦσαν. Ὑπ' ἄλλου γὰρ οὐ μή ποτε ἔμπροσθεν μεταπέσῃ, μηδεμιᾶς γ' ἐν αὐτοῖς οὔσης ἔμπροσθεν μεταπτώσεως.

6 Ἀρχὴν ἄρα κινήσεων πασῶν καὶ πρώτην ἔν τε ἑστῶσι γενομένην, καὶ ἐν κινουμένοις οὖσαν, τὴν ἑαυτὴν κινοῦσαν, φήσομεν ἀναγκαίως εἶναι πρεσβυτάτην καὶ κρατίστην μετα- b βολῶν πασῶν, τὴν δὲ ἀλλοιουμένην ὑφ' ἑτέρου, κινοῦσαν δὲ ἕτερα, δευτέραν.

Ἀληθέστατα λέγεις.

7 Ὁπότε δὴ τοίνυν ἐνταῦθα ἐσμὲν τοῦ λόγου, τόδε ἀποκρινώμεθα.

Τὸ ποῖον;

Ἐὰν ἴδωμέν που ταύτην γενομένην ἐν τῷ γηΐνῳ ἢ ἐνύδρῳ ἢ πυροειδεῖ, κεχωρισμένῳ ἢ καὶ ξυμμιγεῖ, τί ποτε φήσομεν ἐν τῷ τοιούτῳ πάθος ἐνεῖναι;

a 3. πῶς τὰ] πάντα F. 7. ἄλλου] ἄλλης D.E.F.G. 9. γ' ἐν αὐτοῖς] τ' ἐν αὐτῆς C. τ' item. D.F.G.I. 10. πασῶν καὶ πρώτην] καὶ πρώτ. πάντων C.F.G. πάντων item D.E.I. 11. γενομένην] γιν. C. 12. αὐτὴν D. αὐτὴν ἑαυτὴν F.G. b 4. δὲ] δὴ D.F.G. 6. κρινόμεθα—εἴδωμεν D. 7. γινομένην F.G. 8. κεχωρισμένα D. qui om. καί.

dendi rationem teneamus. Si orta simul omnia, ut istorum plerique asseverare audent, per sese constitere, quem tandem, ex iis quos ante posuimus, excitatum in illis esse motum oportebit?

5 Eum videlicet, quo quid se ipsum moveat. Nec enim ab alio quopiam ea mutarentur, nisi aliqua prius in iis ipsis mutatio contingeret.

6 Principium igitur illud primumque motuum omnium, qui vel in quiescentibus, vel in iis quæ moventur, excitatur, eum inquam motum, qui per se ipsum existit, mutationum omnium ut antiquissimam, ita potissimam ac præstantissimam dicamus necesse est: qui vero extrinsecus inferatur, aliaque moveat, secundo loco numerandam.

Non potuisti verius.

7 Nunc, quoniam huc usque devenimus, age hoc etiam respondeamus.

Quid tandem?

Si quando motum illum principem, in re aliqua vel terrestri, vel aquatili, vel ignea, seu simplex illa, seu mixta fuerit, inesse videamus, quemadmodum affectam illam esse dicemus?

ΠΛΑ-ΤΩ-ΝΟΣ

8 Μῶν ἆρά με ἐρωτᾷς, εἰ ζῆν αὐτὸ προσεροῦμεν, ὅταν αὐτὸ αὐτὸ κινῇ;

Ναί.

Ζῆν· πῶς γὰρ οὔ;

Τί δὲ, ὅταν ψυχὴν ἔν τισι ὁρῶμεν, μῶν ἄλλο ἢ ταὐτὸν c
τούτῳ ζῆν ὁμολογητέον;

Οὐκ ἄλλο.

Ἔχε δὴ πρὸς Διός· ἆρ' οὐκ ἂν ἐθέλοις περὶ ἕκαστον τρία νοεῖν;

9 Πῶς λέγεις;

Ἓν μὲν, τὴν οὐσίαν· ἓν δὲ, τῆς οὐσίας τὸν λόγον· ἓν δὲ, τὸ ὄνομα· καὶ δὴ καὶ ἐρωτήσεις εἶναι περὶ τὸ ὂν ἅπαν δύο.

Πῶς [δύο];

Τοτὲ μὲν, ἡμῶν ἕκαστον τοὔνομα προτεινόμενον αὐτὸ τὸν λόγον ἀπαιτεῖν, τοτὲ δὲ τὸν λόγον αὐτὸν προτεινόμενον ἐρωτᾶν αὖ τοὔνομα. Ἆρά γε τὸ τοιόνδε αὖ βουλόμεθα νῦν d
λέγειν;

10 Τὸ ποῖον;

b 10. ἆρά γε] ἆρα μὴν F. ἆρά με I. 11. αὐτὸ] αὐτῷ C. c 3. δὲ D. 4. νοσεῖν F. 7. ὂν om. D.G. τὸ ὂν om. E.I. πῶς δύο] δύο om. C.D.E.G.I. 8. ἡμῶν ἕκαστον] ἕκαστον ἡμῶν C.G. 10. αὐτῷ D. 11. τὸ τοι.] τὸ om. C.D.E.F.G. τοιοῦτον I. d. νῦν λέγειν] λέγειν νῦν C.F.G.

8 Rogasne, utrum eam quæ se ipsam movebit, vivere statuamus?

Ita.

Vivere. Quid enim aliud?

Animum vero si cuipiam inesse viderimus, num aliud quid ipsum, quam hoc idem, vivere inquam, dicemus?

Aliud nihil.

Attende per Jovem, sodes: an non rebus in singulis tria quidem agnoscis?

9 Quæ?

Primum, essentiam; alterum, essentiæ rationem; tertium denique, nomen ipsum: duoque præterea de singulis quæri posse.

Quæ duo?

Alterum quidem, dum nomine ipso proposito, rationem quærimus: alterum vero, dum ratione producta, nomen rogamus. Num vero tale quid placet etiam in præsentia dicere?

10 Quidnam illud?

Ἔστι που δίχα διαιρούμενον εἰς ἶσα μέρη ἔν ἄλλοισί τε καὶ ἐν ἀριθμῷ. Τούτῳ δὴ τῷ κατ' ἀριθμὸν ὄνομα μὲν ἄρτιον, λόγος δὲ ἀριθμὸς διαιρούμενος εἰς ἶσα δύο μέρη.

Ναί.

11 Τὸ τοιοῦτον φράζω. Μῶν οὖν οὐ ταὐτὸν ἑκατέρως προσαγορεύομεν, ἐάν τε τὸν λόγον ἐρωτώμενοι τοὔνομα ἀποδιδῶμεν, ἐάν τε τοὔνομα τὸν λόγον ἄρτιον ὀνόματι καὶ λόγῳ, δίχα διαιρούμενον ἀριθμὸν προσαγορεύοντες, ταὐτὸν ὄν;

Παντάπασι μὲν οὖν.

12 Ὧι δὴ ψυχὴ τοὔνομα, τίς τούτου λόγος; Ἔχομεν ἄλλον p. 625
πλὴν τὸν νῦν δὴ ῥηθέντα, τὴν δυναμένην αὐτὴν ἑαυτὴν κινεῖν κίνησιν;

Τὸ ἑαυτὸ κινεῖν φῂς λόγον ἔχειν τὴν αὐτὴν οὐσίαν, ἥνπερ τοὔνομα, ὃ δὴ πάντες ψυχὴν προσαγορεύομεν;

13 Φημί γε. Εἰ δ' ἔστι τοῦτο οὕτως ἔχον, ἆρ' ἔτι ποθοῦμεν μὴ ἱκανῶς δεδεῖχθαι ψυχὴν ταὐτὸν ὂν καὶ τὴν πρώτην γένεσιν καὶ κίνησιν τῶν τε ὄντων, καὶ γεγονότων καὶ ἐσομένων καὶ

d 2. ἶσα] δύο C.F.G. εἰς ἴσα μέρη om. Plat. 5. εἰς om. D.E.F.G.I. 6. μέρη δύο] δύο μέρη C.F.G. Mox τοιοῦτο D. 7. ἑκατέρως] ἑκατέρω C.F.G. 8. ἐάν τε—ἀποδιδῶμεν om. D.

p. 625. 2. κινεῖν om. D. 3. ἔχειν] ἔχον F. 8. κίνησιν κ. γένεσιν] γένεσιν κ. κίνησιν C.F.G.

Est nimirum in cæteris aliquid, tum etiam in numero, quod in partes æquales dividatur duas. Et in numero quidem, ejus generis nomen est, par; ratio vero, numerus ipse, qui duas in partes æquales dividatur.

Sic est.

11 Ego vero simile quid dico. Numquid rem eandem utroque modo significamus, seu dum ratio quæritur, nomen respondeamus, seu dum nomen, rationem? ita ut, tam nomine, quam ratione, parem unum eundemque numerum bifariam divisum, appellemus?

Prorsus eandem.

12 Ejus autem rei, cui nomen animus, quæ tandem ratio est? Aliamne aliquam habemus, quam eam, qua de paulo ante, motum, inquam, illum, qui per se ipsum existat?

Vin' tu ejus naturæ, quam animi nomine omnes appellamus, propriam hanc rationem esse, quod se ipsam moveat?

13 Volo, enimvero. Hoc antem si ita est, num aliquid præterea desideramus, quasi minus effectum adhuc probatumque fuerit, animum idem esse ac primam generationem motumque rerum, non modo quæ sint, verum etiam quæ vel fuerint, vel futuræ sint; itemque contrariarum illis omnium,

πάντων αὖ τῶν ἐναντίων τούτοις, ἐπειδή γε ἀνεφάνη μεταβολῆς τε καὶ κινήσεως ἁπάσης αἰτία ἅπασιν; ΠΛΑΤΩΝΟΣ

Οὔκ· ἀλλὰ ἱκανώτατα δέδεικται ψυχὴ τῶν πάντων πρεσβυτάτη, γενομένη γε ἀρχὴ κινήσεως. b

14 Ἆρ' οὖν οὐχ ἡ δι' ἕτερον ἐν ἄλλῳ γινομένη κίνησις, αὐτὸ δὲ ἐν αὐτῷ μηδέποτε παρέχουσα κινεῖσθαι μηδὲν, δευτέρα τε καὶ ὁπόσων ἀριθμῶν βούλοιτο ἄν τις ἀριθμεῖν αὐτὴν πολλοστὴν τοσούτων, σώματος οὖσα ὄντως ἀψύχου μεταβολή;

Ὀρθῶς.

15 Ὀρθῶς ἄρα καὶ κυρίως ἀληθέστατά τε καὶ τελεώτατα εἰρηκότες ἂν ἦμεν ψυχὴν μὲν προτέραν γεγονέναι σώματος, ἢ μὴ, σῶμα δὲ δεύτερόν τε καὶ ὕστερον ψυχῆς ἀρχούσης ἀρχόμενον κατὰ φύσιν;

Ἀληθέστατα μὲν οὖν.

16 Μεμνήμεθά γε μὴν ὁμολογήσαντες ἐν τοῖς πρόσθεν, ὡς εἰ c ψυχὴ φανείη πρεσβυτέρα σώματος οὖσα, καὶ τὰ ψυχῆς τῶν τοῦ σώματος ἔσοιτο πρεσβύτερα;

Πάνυ μὲν οὖν.

a 10. αὖ τῶν] αὐτῶν C.F. 13. τε ἀρχὴ] γε ἀρχὴ C.D.F.G.I. b 2. γενομένη D. 3. δευτέρα τε I. 6. μεταβολὴ] μεταβολῆς C.D.F.G.I. 8. εἴημεν] ἦμεν C.F.G. 9. ἢ μή] ἡμῖν Plat. 12. μὲν οὖν. Μεμνήμεθα γε om. E. γε μὴν I. pro μὲν οὖν. c. εἰ ψυχὴ] ἡ ψυχὴ C.

quandoquidem semel eam mutationis ac motus omnis, omnibus caussam esse constiterit?

Nihil sane. Imo animum et rerum antiquissimam omnium, et motus principium esse, satis superque demonstratum est.

14 Nonne igitur impressus alteri aliunde motus, quique nunquam efficiat, ut se ipsum quicquam moveat, secundus jure habeatur, atque adeo quotus cuique vel longissime numerando progredienti placuerit, cum inanimi corporis vere mutatio sit?

Jure profecto.

15 Recte igitur ac proprie, imo verissime perfectissimeque dixerimus, an non, animam corpore priorem esse, corpus vero secundum, atque posterius, animique imperio suapte natura subditum?

Verissime.

16 Jam vero, hac de re meminimus inter nos supra convenisse, ut si modo animum corpore priorem esse constaret, tum quæ ad animi rationem pertinent, iis quæ corpori tribuuntur, priora censerentur?

Sane meminimus.

ΠΛΑΤΩΝΟΣ

17 Τρόποι δὲ καὶ ἤθη καὶ βουλήσεις καὶ λογισμοὶ καὶ δόξαι ἀληθεῖς ἐπιμέλειαί τε καὶ μνῆμαι πρότερα μήκους σωμάτων καὶ πλάτους καὶ βάθους καὶ ῥώμης εἴη γεγονότα ἄν, εἴπερ καὶ ψυχὴ σώματος.

Ἀνάγκη.

18 Ἆρ᾽ οὖν τὸ μετὰ τοῦτο ὁμολογεῖν ἀναγκαῖον τῶν τε ἀγαθῶν αἰτίαν εἶναι ψυχὴν καὶ τῶν κακῶν καὶ καλῶν καὶ αἰσχρῶν δικαίων τε καὶ ἀδίκων καὶ πάντων τῶν ἐναντίων, εἴπερ τῶν πάντων γε αὐτὴν θήσομεν αἰτίαν; d

Πῶς γὰρ οὔ;

19 Ψυχὴν δὴ διοικοῦσαν καὶ ἐνοικοῦσαν ἐν ἅπασι τοῖς πάντη κινουμένοις μῶν οὐ καὶ τὸν οὐρανὸν ἀνάγκη διοικεῖν φάναι;

Τί μήν;

[367] Μίαν, ἢ πλείους; Πλείους· ἐγὼ ὑπὲρ σφῶν ἀποκρινοῦμαι. Δυοῖν μέν γε που ἔλαττον μηδὲν τιθῶμεν, τῆς τε εὐεργέτιδος καὶ τῆς τἀναντία δυναμένης ἐξεργάζεσθαι.

20 Σφόδρα ὀρθῶς εἴρηκας.

c 4. τρέπει D. Mox ἤδη et ἐπιλογισμὸς F. δὲ καὶ] δὴ καὶ I. 6. πρότερα] προτερεῖ C.D.F.G.I. 7. εἴη γεγονότα ἂν om. D. 8. ἆρ᾽] ἂν ἄρ᾽ F.G. 9. ὁμολογεῖν] ὁμιλεῖν E. 12. πάντων τῶν] τῶν om. C.D.F.G. d. ψυχὴν] ψυχὴ I. 4. πλείους ἢ μίαν E.I. 6. δυοῖν] δυεῖν G. 8. ἐργάζεσθαι D. qui v. seq. om. τά.

17 Mores igitur, animique sensus, voluntates, cogitationes, veræ opiniones, curæ, recordationes, corporum proceritate, crassitudine, altitudine, ac robore priores fuerint oportet, si animum corpore priorem fuisse concedimus.

Utique necesse est.

18 Hinc porro nunquid necessario sequitur, ut animum, si omnium caussam illam esse volumus, bonorum simul et malorum, honestorum ac turpium, justorum et injustorum, adeoque contrariorum omnium caussam esse dicamus?

Quis neget?

19 Nonne igitur necesse est, animum qui rebus omnibus quæ quoquo versum moventur, et moderetur, et in illis insit, ipsum quoque cœlum per sese moderari?

Omnino.

Unumne autem an plures? Plures certe: nam pro vobis respondere juvat. Nec pauciores duobus recte posuerimus, beneficum alterum, alterum maleficum.

20 Et hoc mihi vehementer probatur.

ΠΛΑΤΩΝΟΣ

Εἶεν. Ἄγει μὲν δὴ ψυχὴ πάντα τὰ κατ' οὐρανὸν καὶ γῆν καὶ θάλατταν ταῖς αὑτῆς κινήσεσιν, αἷς ὀνόματά ἐστι, βούλεσθαι, σκοπεῖσθαι, ἐπιμελεῖσθαι, βουλεύεσθαι, δοξάζειν p. 626 ὀρθῶς, ἐψευσμένως, χαίρουσαν, λυπουμένην, θαρροῦσαν, φοβουμένην, μισοῦσαν, στέργουσαν, καὶ πάσαις ὅσαι τούτων ξυγγενεῖς ἢ πρωτουργοὶ κινήσεις τὰς δευτερουργοὺς αὖ παραλαμβάνουσαι κινήσεις σωμάτων ἄγουσι πάντα εἰς αὔξησιν. καὶ φθίσιν καὶ διάκρισιν καὶ σύγκρισιν καὶ τούτοις ἑπομένας θερμότητας, ψύξεις, βαρύτητας, κουφότητας, σκληρὸν καὶ μαλακὸν, λευκὸν καὶ μέλαν, αὐστηρὸν καὶ γλυκὺ, [καὶ πικρὸν,] καὶ πᾶσιν οἷς ψυχὴ χρωμένη, νοῦν μὲν προσλαμβάνουσα αἰεὶ b θεῖον ὀρθῶς θεοῖς ὀρθὰ καὶ εὐδαίμονα παιδαγωγεῖ πάντα, ἀνοίᾳ δὲ ξυγγενομένη πάντα αὖ τἀναντία τούτοις ἀπεργά-
21 ζεται. Τιθῶμεν ταῦτα οὕτως ἔχειν; Ἢ ἔτι διστάζομεν, εἰ ἑτέρως πως ἔχει;

Οὐδαμῶς.

Πότερον οὖν δὴ ψυχῆς τὸ γένος ἐγκρατὲς οὐρανοῦ καὶ γῆς καὶ πάσης τῆς περιόδου γεγονέναι φῶμεν, τὸ φρόνιμον καὶ

d 10. αὑτῆς] αὐταῖς D.

p. 626. σκοπεῖσθε E. 4. πάσαις] πᾶσαι D.F.G. 5. ἢ πρωτ.] ἢ om. C.D.F.G.I. Mox τὰς om. C.E.F.G.I. τὰς—κινήσεις om. D. 11. καὶ πικρὸν om. D.F.G.I. cum mss. Platonis melioribus. b 2. θεὸν] θεῖον C.D.E.F.G. Mox ὀρθῶς θεοῖς ὀρθὰ C.D.E.F.G. et sic mss. Platonis. θεῖον ὀρθῶν θεοῖς I. 5. ἔχειν] ἔχει F.G. 6. εἰ om. C.F.G. qui mox ἔχειν. ἑτέρως διστάξομέν πως ἔχειν D. 7. πότερον οὖν] οὖν om. C.F.G.

Hæc igitur cum ita sint: animus certe, quidem universa illa, quæ cœli, terrarum, mariumque complexus ambit, suis ipsa motibus agit ac versat, quorum hæc nomina sunt, velle, considerare, curare, opinari, seu vere, seu falso, lætari, dolere, audere, metuere, odisse, diligere, ac cæteris omnibus, qui vel istorum affines ac gemini sunt, vel primarii fontesque reliquorum, assumptis una posterioribus corporum motibus, in omnibus deinde accretionem, aut diminutionem, raritatem, aut densitatem, quæque his comitantur, calores, frigora, gravitates, levitates, durum et molle, album et nigrum, acerbum, dulce, amarum efficiunt, cæteraque prorsus omnia, quibus animus dum utitur, si intellectum, deus ipse, deum assumat, cuncta recte ac feliciter moderatur: sin autem cum amentia conjungatur, con-
21 traria efficit omnia. Damusne ista hunc in modum se habere, an adhuc num quid aliud statuamus, incerti sumus?

Minime vero.

Utrum igitur animi genus, cœli ac terrarum, imo totius orbis princi-

ΠΛΑ-ΤΩ-ΝΟΣ

ἀρετῆς πλῆρες ἢ τὸ μὴ δ' ἕτερα κεκτημένον; Βούλεσθε οὖν πρὸς ταῦτα ὧδε ἀποκρινώμεθα;

Πῶς; c

22 Εἰ μὲν, ὦ θαυμάσιε, φῶμεν, ἡ ξύμπασα οὐρανοῦ ὁδὸς ἅμα καὶ φορὰ καὶ τῶν ἐν αὐτῷ ὄντων ἁπάντων νοῦ κινήσει καὶ περιφορᾷ καὶ λογισμοῖς ὁμοίαν φύσιν ἔχει καὶ ξυγγενῶς ἔρχεται, δῆλον ὡς τὴν ἀρίστην ψυχὴν φατέον ἐπιμελεῖσθαι τοῦ κόσμου παντὸς, καὶ ἄγειν αὐτὸν τὴν τοιαύτην ὁδὸν ἐκείνην.

Ὀρθῶς.

23 Εἰ δὲ μανικῶς τε καὶ ἀτάκτως ἔρχεται, τὴν κακήν.

Καὶ ταῦτα ὀρθότατα.

Τίνα οὖν δὴ νοῦ κίνησις φύσιν ἔχει, τοῦτο ἤδη χαλεπὸν, ὦ φίλοι, ἐρώτημα ἀποκρινόμενον εἰπεῖν ἐμφρόνως. Διὸ δὴ d καὶ ἐμὲ τῆς ἀποκρίσεως ὑμῖν δίκαιον τανῦν προσλαμβάνειν.

Εὖ λέγεις.

24 Μὴ τοίνυν ἐξ ἐναντίας οἷον εἰς ἥλιον ἀποβλέποντες, νύκτα

b 10. βούλεσθε οὖν] οὖν om. I. 11. ἀποκρινόμεθα D. c. πῶς om. C.D.F.G.I. εἰ μὲν οὖν E. 3. ἁπάντων] πάντων C.E.F.G.I. 5. ἔχειν ... καὶ D. 10. ὀρθῶς] ὀρθότατα C.D.F.G.I. ὀρθότητα E. Mox κίνησις νοῦ C.F.G. κίνησιν D. d. καὶ om. D. 2. τὰ μὲν δίκαια D. προλαμβ.] προσλαμβ. C.F.G.I. 3. τοίνυν] νῦν C.D.F.G.I. Tum ἐξεναντίως E.I.

patum tenere volumus? illudne quod prudentia et virtute præditum est, an quod utraque caret? Num ad hæc ita responderi placet?

Quomodo?

22 Ita videlicet. Si universa cœli via atque conversio, eorumque simul omnium quæ cœlo continetur, intellectus motui, conversioni, et cogitationibus natura similis est, et affinem ei cursum instituit; sequitur omnino, ut optimum illum animum totius universi curam gerere, atque illud per hanc ipsam viam agere fateamur.

Recte id quidem.

23 Sin autem furiose ac perturbate volvitur, ut hoc idem malo animo tribuamus.

Et istud quoque recte.

Nunc vero cujus tandem naturæ intellectus motum esse arbitramur? Huic sane quæstioni, o amici, sapienter respondere difficile est. Quare verum fuerit in præsentia, hanc me vobis respondendi curam suscipere.

Probe loqueris.

24 Caveamus igitur, ne adverso quasi vultu in solem intuentes, ipsaque

ἐν μεσημβρίᾳ ἐπαγόμενοι, ποιησώμεθα τὴν ἀπόκρισιν, ὡς νοῦν ποτὲ θνητοῖς ὄμμασιν ὀψόμενοί τε, καὶ γνωσόμενοι ἱκανῶς· πρὸς δὲ εἰκόνα τοῦ ἐρωτωμένου βλέποντας ἀσφαλέστερον ὁρᾶν. ΠΛΑΤΩΝΟΣ

25 Πῶς λέγεις;

Ἧι προσέοικε κινήσει νοῦς, τῶν δέκα ἐκείνων κινήσεων τὴν εἰκόνα λάβωμεν, ἣν συναναμνησθεὶς ὑμῖν ἐγὼ κοινῇ τὴν ἀπόκρισιν ποιήσομαι.

Κάλλιστα ἂν λέγοις.

Μεμνήμεθα τοίνυν τοῦτό γε τοσοῦτον τῶν τότε, ὅτι τῶν ἁπάντων τὰ μὲν κινεῖσθαι, τὰ δὲ μένειν ἔθεμεν.

Ναί.

26 Τῶν δ' αὖ κινουμένων τὰ μὲν ἐν ἑνὶ τόπῳ κινεῖσθαι, τὰ δ' p. 627
ἐν πλείοσι φερόμενα.

Ἔστι ταύτῃ.

Τούτοιν δὴ τοῖν κινήσεοιν τὴν ἐν ἑνὶ φερομένην ἀεὶ περί

d 5. ποιησώμ.] ποιησόμ. C.F. 6. θνητοῖς] ἤδη τοῖς C.D.F.G.I. 8. βλέποντας] βλέποντες C.D.F.G. βλέποντα E. 9. ᾗ] καὶ C.F.G. 10. νοῦς] ὁ νοῦς C.F.G. 12. κοινὴν D. 13. τόγε] τοῦτόγε C.D. E.F.G.I. Mox post τότε om. ἔτι C.D.E.F.G.I. 14. ἁπάντων] πάντων C.F.G.I. qui om. τούτοιν δ. τ. κ. ult. τὰ δὲ μ.—κινεῖσθαι om. E.I. κινεῖσθαι—τὰ μὲν om. G.

p. 627. ἐν ἑνὶ] ἔν τινι C.D.F. 2. ἔστι ταῦτα] ἐπὶ ταύτῃ C.F. ταύτῃ item D.E.G.I. Tum τούτοιν D. qui statim δέ. τούτοιν δὴ E.F.G. Steph. non ταύταιν ut Viger. 3. τοῖν ἐν ἑνὶ φερομένοιν] τὴν ἑνὶ φερομένην C. F.G. ἐν om. D. τὴν item I.

meridie noctem inducentes, perinde respondeamus, ut si mortalibus oculis intellectus ipse pervideri aliquando posset, penitusque cognosci. Securius itaque fuerit, illum ipsum defixo in ejus imaginem obtutu contemplari.

25 Quomodo hoc intelligis?

Cujus ex decem illis motibus similior intellectus fuerit, ejus ut imaginem deligamus; quam ubi vobis in memoriam revocaro, tum responsionem omnium caussa subjiciam.

Optime loqueris.

Principio, illud saltem meminimus constitutum a nobis fuisse, ex omni rerum multitudine moveri alias, alia quiescere.

Meminimus.

26 Deinde ex iis quæ moventur, alia uno in loco, in pluribus alia moveri.

Sic est.

His igitur ex motibus, eum qui uno semper in loco versetur, circa

ΠΛΑΤΩΝΟΣ

γέ τι μέσον ἀνάγκη κινεῖσθαι, τῶν ἐντόρνων οὐσῶν μίμημά τι κύκλων, εἶναί τε αὐτὴν τῇ τοῦ νοῦ περιόδῳ πάντως, ὡς δυνατὸν, οἰκειοτάτην τε καὶ ὁμοίαν.

27 Πῶς λέγεις;

Τὸ κατὰ ταὐτὰ δήπου καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ καὶ περὶ τὰ αὐτὰ καὶ πρὸς τὰ αὐτὰ καὶ ἕνα λόγον καὶ τάξιν μίαν ἄμφω κινεῖσθαι λέγοντες νοῦν τήν τε ἐν ἑνὶ φερομένην κίνησιν, σφαίρας ἐντόρνου ἀπεικασμένα φοραῖς, οὐκ ἄν ποτε b φανεῖμεν φαῦλοι δημιουργοὶ λόγῳ καλῶν εἰκόνων.

28 Ὀρθότατα λέγεις.

Οὐκοῦν αὕτη γε, ἡ μηδέποτε ὡσαύτως μηδὲ κατὰ τὰ αὐτὰ μὴ δ' ἐν ταὐτῷ μηδὲ περὶ ταὐτὰ μηδὲ πρὸς τὰ αὐτὰ μὴ δ' ἐν ἑνὶ φερομένη μὴ δ' ἐν κόσμῳ μὴ δ' ἐν τάξει μὴ δ' ἔν τινι λόγῳ κίνησις ἀνοίας ἂν αὖ πάσης εἴη ξυγγενής.

29 Εἴη γὰρ ἂν ἀληθέστατα.

Ταῦν δὴ χαλεπὸν οὐδὲν ἔτι διαρρήδην εἰπεῖν, ὡς ἐπειδὴ ψυχὴ μέν ἐστιν ἡ περιάγουσα ἡμῖν πάντα, τὴν δὲ οὐρανοῦ

a 5. *ἐντόρνων*] *ἐντόρνω* C.F.G. *ἐντόρνω μιμήματι* D.I. *ἐντόρων μιμήματι* E. *οὖσαν* dedit Vigerus pro *οὐσῶν*. 12. *ἐν ἑνὶ φερομ.*] *ἐμφερομ.* C.D.E.F.G.I. 13. *ἀπεικασμένην*] *ἀπεικονισμένα* C.F.G. *ἀπεικασμένα* Viger. b. *φανεῖμεν*] *φανείημεν* C.D.E.F.G.I. 3. *αὕτη*] *αὖ ἡ* Plat. 5. *πρὸς τὰ αὐτὰ*] *πρὸς ταῦτα* C.D.F. Mox *ταῦτα* D. 8. *ἂν αὖ πάσης εἴη*] *ἂν εἴη πάσης αὖ* C.F.G. *ἂν ἁπάσης εἴη* Plat. 9. *τάδε νῦν* D. *νῦν* Plat.

medium aliquod, uti circulos torno factos, videmus agitari, atque ad intellectus conversionem imitatione ac similitudine, quam proxime fieri potest, accedere necesse est.

27 Clarius istud, quæso.

Nempe, si utrumque, intellectum, inquam, et motum illum, qui uno semper in loco versatur, quo modo sphæram aliquam volvi solitam videmus, una semper eademque ratione, in eodem, circa eadem, atque ad eadem, unoque ordine converti dixerimus: nemini, opinor, præclaras imagines ratiocinando perperam fingere merito videamur.

28 Optime id quidem.

Ergo alter ille motus, qui nunquam similiter, nec secundum eadem, nec in eodem, nec circa eadem, nec ad eadem, nec uno in loco, nec apto quodam et eleganti ordine, nec certa ratione versatur, summa cum amentia conjunctus haberi debet.

29 Et hoc quoque verissimum.

Jam ergo palam profiteri liceat, quandoquidem animus is est, qui versat

ΠΛΑΤΩΝΟΣ

[368] περιφορὰν ἐξ ἀνάγκης περιάγειν φατέον ἐπιμελουμένην καὶ c κοσμοῦσαν ἤτοι τὴν ἀρίστην ψυχὴν ἢ τὴν ἐναντίαν.

30 Ὦ ξένε, ἀλλ' ἔκ γε τῶν νῦν εἰρημένων οὐδ' ὅσιον ἄλλως λέγειν ἢ πᾶσαν ἀρετὴν ἔχουσαν ψυχὴν μίαν ἢ πλείους περιάγειν αὐτά.

Κάλλιστα, ὦ Κλεινία, ὑπήκουσας τοῖς λόγοις. Τόδε δὲ προσυπάκουσον ἔτι.

31 Τὸ ποῖον;

Ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα, εἴπερ ψυχὴ περιάγει πάντα, ἆρ' οὐ καὶ ἓν ἕκαστον;

Τί μήν;

Περὶ ἑνὸς δὴ ποιησώμεθα λόγους, οἳ καὶ ἐπὶ πάντα ἁρμόττοντες ἡμῖν τὰ ἄστρα φανοῦνται. d

32 Τίνος;

Ἡλίου πᾶς ἄνθρωπος σῶμα μὲν ὁρᾷ, ψυχὴν δὲ οὐδείς· οὐδὲ γὰρ ἄλλου σώματος οὐδενὸς οὔτε ζῶντος οὔτε ἀποθανόντος τῶν ζῴων [οὐδενός]· ἀλλὰ ἐλπὶς πολλὴ τοπαράπαν τὸ γένος ἡμῖν τοῦτο ἀναίσθητον πάσαις ταῖς τοῦ σώματος

c 3. γε] τε D.F.G.I. 4. ἔχειν] λέγειν C.F.G. 6. περιάγειν] παράγειν C.F.G.I. 7. ὑπήκουσας] ὑπήκουσαν F. προσεπάκουσον] προσυπάκουσον D.F.I. 9. ἤπερ D. 11. ποιησώμ.] ποιησόμ. C. D.F. d 4. τῶν ζώων] τῶν om. C.F.G. 5. τὸ om. D. 6. αὐταῖς D.

omnia, ipsam quoque cœli conversionem animi alicujus, seu boni, seu contrarii arbitrio ac moderatione gubernari.

30 Enimvero, mi hospes, ex iis quæ jamjam dicta sunt, aliud quicquam statuere nefas sit, quam sive unum aliquem animum, sive plures omni virtutis genere præstantes, corporum illorum conversioni præesse.

Egregie, mi Clinia, disputationis hujus vim cepisti. Sed tamen audi sis illud quoque.

31 Quidnam?

Solem, lunam, astraque cætera, si animus universa circumagit, numquid etiam singula?

Quidni enim?

De uno igitur ea dicamus, quæ in reliquam siderum multitudinem convenire possint.

32 Quo de autem?

Solis corpus nemo non videt, animum videt nemo. Quid mirum? Ne ullius quidem alterius animantium corporis, seu viventis adhuc, seu jam mortui. Sed nimirum probabile admodum est, genus illud totum ejusmodi esse, quod omnes corporis sensus ita fugiat, ut tamen intelligentiæ

ΠΛΑΤΩΝΟΣ

αἰσθήσεσι περιπεφυκέναι, νοητὸν δὲ εἶναι. Μόνῳ νῷ δὴ καὶ νοήματι λάβωμεν αὐτοῦ πέρι τὸ τοιόνδε.

33 Ποῖον;

Ἥλιον εἰ περιάγει ψυχή, τριῶν αὐτὴν ἓν λέγοντες δρᾶν σχεδὸν οὐκ ἀποτευξόμεθα.

Τίνων;

34 Ὡς ἢ ἐνοῦσα ἐντὸς τῷ περιφερεῖ τούτῳ φαινομένῳ σώματι p. 628 πάντη διακομίζει τὸ τοιοῦτον, καθάπερ ἡμᾶς ἡ παρ' ἡμῖν ψυχὴ πάντη περιφέρει· ἤ ποθεν ἔξωθεν σῶμα αὑτῇ πορισαμένη πυρὸς ἤ τινος ἀέρος, ὡς λόγος ἐστί τινων, ὠθεῖ βίᾳ σώματι σῶμα· ἢ τρίτον, αὐτὴ ψιλὴ σώματος οὖσα, ἔχουσα δὲ δυνάμεις ἄλλας τινὰς ὑπερβαλλούσας, θαύματι ποδηγεῖ.

Ναί.

Τοῦτο μὲν ἀνάγκη, τούτων ἕν γε τι δρῶσαν ψυχὴν πάντα διάγειν.

35 Ταῦτα μὲν οὖν ἐν τῷ δεκάτῳ τῶν Νόμων εἴρηται τῷ b φιλοσόφῳ. Καὶ ἐν τῷ Φιλήβῳ δὲ ἐπάκουσον, ὅπως τὴν αὐτὴν κατασκευάζει διάνοιαν.

c 7. *μόνον*] *εἶναι μόνον* C.D.F.G. Tum ᾧ pro *νῷ* C.D.F.G.I. in *μόνον* ᾧ latere videtur *μόνῳ νῷ*. 9. *εἴπερ περιάγει*] *εἴπερ ἄγει* Plat. 10. *ἣν* D. p. 628. *ἐνοῦσα ἐντὸς*] *ἐντὸς ἐνοῦσα* C.F.G. *ἡ ἐνῶσα ἐ.* E. 10. *δρῶσα* D. b 2. *ὅπως*] *ὅπως τὴν αὐτὴν* C.F.G. *ὅπως ταῦτα* D.

vi capiatur. Mente igitur atque intelligentia, quod a nobis de illo additur, informemus.

33 Quid illud?

Solem si animus circumagit, e tribus unum ab eo fieri si dixerimus, haud, opinor, aberrabimus.

Quæ tu mihi tria?

34 Nimirum, aut inclusum rotundo illo, quod cernimus, corpore animum, illud omnem in partem circumferre, uti quoquo versum a nostro ipsi animo circumferimur: aut eundem induto sibi aliunde, vel igneo, vel aërio corpore, quod nonnulli malunt, corporis vi corpus impellere: aut postremo, ipsum illum, ut corpore omni per sese careat, aliis tamen eximiisque viribus instructum, admirabili quodam modo solem deducere.

Sane.

Ab animo, dum ex iis unum aliquid efficit, versari omnia regique necesse est.

35 Atque hæc philosophus Legum decimo. Audi jam quemadmodum in Philebo, sententiam ille suam adstruat.

ΠΛΑΤΩΝΟΣ

Πάντες γὰρ συμφωνοῦσιν οἱ σοφοὶ, ὄντως ἑαυτοὺς σεμνύνοντες, ὡς νοῦς ἐστὶ βασιλεὺς ἡμῖν οὐρανοῦ τε καὶ γῆς. Καὶ ἴσως εὖ λέγουσι· διὰ μακροτέρων δ', εἰ βούλει, τὴν σκέψιν αὐτοῦ τοῦ γένους ποιησώμεθα.

36 Λέγε ὅπως βούλει, μηδὲν μῆκος ὑπολογιζόμενος ἡμῖν, ὦ Σώκρατες, ὡς οὐκ ἀπεχθησόμενος.

Καλῶς εἶπας. Ἀρξώμεθα δέ πως ὧδε ἐπανερωτῶντες.

Πῶς;

Πότερον, ὦ Πρώταρχε, τὰ ξύμπαντα καὶ τόδε τὸ καλού- c μενον ὅλον ἐπιτροπεύειν φῶμεν τὴν τοῦ ἀλόγου καὶ εἰκῇ δύναμιν, καὶ τὸ ὅπη ἔτυχεν· ἢ τἀναντία, καθάπερ οἱ πρόσθεν ἡμῶν ἔλεγον, νοῦν καὶ φρόνησίν τινα θαυμαστὴν συντάττουσαν διακυβερνᾶν;

37 Οὐδὲν τῶν αὐτῶν, ὦ θαυμάσιε Σώκρατες· ὃ μὲν γὰρ δὴ σὺ λέγεις, [νῦν] οὐδ' ὅσιον εἶναί μοι φαίνεται. Τὸ δὲ νοῦν πάντα διακοσμεῖν αὐτὰ φάναι καὶ τῆς ὄψεως τοῦ κόσμου καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων καὶ πάσης τῆς περιφορᾶς

b 3. συμφωνοῦσιν] συμφωνοῦμεν C.F. φησὶ συμφρονοῦμεν D. 6. μακροτ.] μικροτ. C.F.G. 8. βούλει] βούλη D. ἡμῖν ὑπολ. F.G. 10. ἐπανερωτῶντες] ἐπερωτῶντες D. 11. πῶς om. C.D.F.G. τὰ ξύμπ.] τὰ om. C.D.F.G. c 3. τὸ ὅπη] τὸ om. C.F.G. 4. οἱ πρόσθεν ἡμῶν] ἡμῶν οἱ πρ. C.F.G. 7. ὁ μὲν γὰρ] ὅπερ γὰρ C.D.F.G. ἃ pro σὺ F. Mox om. νῦν C.D.E.F.G.I. ὃ μὲν γὰρ σὺ νῦν λέγεις οὐδ' Plat. 10. καὶ ἡλίου om. C.E.F.G.I.

Plato Phileb. p. 28.

Sapientes, inquit, omnes, qui modo jure hoc nomine gloriantur, intellectum cœli terrarumque regem esse consentiunt. Ac forte quidem hoc recte. Nos vero si placet, fusius rem totam uberiusque tractemus.

36 Tu vero, uti videbitur, o Socrates, nec ullam hoc in genere longitudinem vereare, cum nemini molestus sis futurus.

Præclare. Incipiamus igitur hunc in modum quærere.

Quem sodes?

Utrum, mi Protarche, res omnes, atque hoc, uti vocamus, universum casus et fortunæ vi temere agi statuimus; an contra, quemadmodum majores nostri voluere, mentis ac sapientiæ cujusdam admirabilis consilio gubernari?

37 Absit, o sapientissime Socrates, uti prius illud a nobis dicatur, quod vel ore tenus proferri nefas esse dixerim. At vero menti rerum universarum moderationem assignare, id equidem et mundi hujus aspectu, et solis, lunæ,

ΠΛΑΤΩΝΟΣ

ἄξιον, καὶ οὐκ ἄλλως ἔγωγ᾽ ἄν ποτε περὶ αὐτῶν εἴποιμι, οὐδ᾽ ἂν δόξαιμι. d

38 Βούλει δῆτα καὶ ἡμεῖς τοῖς ἔμπροσθεν ὁμολογουμένοις ξυμφήσωμεν, ὡς ταῦθ᾽ οὕτως ἔχει; Καὶ μὴ μόνον οἰώμεθα δεῖν τὰ ἀλλότρια ἄνευ κινδύνου λέγειν, ἀλλὰ καὶ συγκινδυνεύωμεν καὶ μετέχωμεν τοῦ ψόγου, ὅταν ἀνὴρ δεινὸς φῇ ταῦτα μὴ οὕτως ἀλλ᾽ ἀτάκτως ἔχειν;

Πῶς γὰρ οὐκ ἂν βουλοίμην;

Ἴθι δή, τὸν ἐπιόντα περὶ τούτων λόγον νῦν ἡμῖν ἄθρει.

39 Λέγε μόνον.

Τὰ περὶ τὴν τῶν σωμάτων φύσιν ἁπάντων τῶν ζῴων, πῦρ καὶ ὕδωρ καὶ πνεῦμα, καθορῶμέν που, καὶ γῆν, καθάπερ οἱ χειμαζόμενοί φασιν, ἐνόντα ἐν τῇ συστάσει;

Καὶ μάλα. Χειμαζόμεθα γὰρ ὄντως ὑπὸ ἀπορίας ἐν τοῖς νῦν λόγοις.

Φέρε δὴ περὶ ἑκάστου τῶν παρ᾽ ἡμῖν λάβε τὸ τοιόνδε. p.629

d 2. δῆτα] δὴ C.D.F.G. δή τι I. Mox ὁμολογοῦμεν ἂν C.D.F.G. ὁμολογούμενον I. Tum ξυμφήσομεν D.I. 5. κινδύνων] κινδύνου C. D.F.G.I. Mox συγκινδυνεύσωμεν C.F. συγκινδυνεύσομεν D. 10. νῦν ἡμῖν λόγον] λόγον ν. ἡ. C.E.F.G.I. λεγόμενον pro λέγε μόνον C.D.F.G. 13. ἐνόντα ἐν τῇ] ἓν ὄντα ἐν C.D. ἓν ὄντα τῇ I. Tum τῇ om. D.G. ὄντα ἐν σ. F. ult. ὑπὸ] ἀπὸ F.G.

p. 629. τὸ τοιόνδε] τοιονδὴ C.F.G. τὸ om. D. qui supra ἡ λεγομένων.

aliorumque siderum, adeoque omni hac conversione dignum existimo, nec aliter unquam hac de re aut loquar aut sentiam.

38 Vis enimvero, uti hac in rerum moderatione statuenda, quod veteres uno consensu professi sunt, id nostris ipsi verbis comprobemus, nec aliorum sententiam citra periculum afferre contenti, eandem quam ipsi aleam maledictionemque subeamus, cum argutus ac vehemens quispiam, non eo quo dicimus ordine, sed perturbate ac temere ferri cuncta pugnabit.

Quidni enim id velim?

Age ergo, ac mihi consequentiam hujus disputationis attende.

39 Perge tu modo.

Quatuor illa, ex quibus animantium omnium corporum natura consistit, ignem, aquam, spiritum, ac terram, num in ipsa eorum concretione utcunque agnoscimus, quomodo videlicet homines loquuntur tempestate jactati?

Sane. Hoc enim in orationis genere, æstu quodam incertitudinis vere jactamur.

Age vero, ac de quolibet eorum quæ nobis insunt, ejusmodi aliquid accipe.

ΠΛΑΤΩΝΟΣ

40 Ποῖον;

Ὅτι σμικρόν τε τούτων ἕκαστον παρ' ἡμῖν ἔνεστι καὶ φαῦλον καὶ οὐδαμῇ οὐδαμῶς εἰλικρινὲς ὂν καὶ τὴν δύναμιν οὐκ ἀξίαν τῆς φύσεως ἔχον. Ἐν ἑνὶ δὲ λαβὼν περὶ πάντων νόει ταὐτόν· οἷον πῦρ ἐστὶ μέν που παρ' ἡμῖν, ἔστι δ' ἐν τῷ παντί.

41 Τί μήν;

Οὐκοῦν σμικρὸν μέν τι τὸ παρ' ἡμῖν καὶ ἀσθενὲς καὶ φαῦλον· τὸ δ' ἐν τῷ παντὶ πλήθει τε θαυμαστὸν καὶ κάλλει καὶ [369] πάσῃ δυνάμει τῇ περὶ τὸ πῦρ οὔσῃ;

Καὶ μάλα ἀληθὲς ὃ λέγεις.

Τί δέ; Τρέφεται καὶ γίνεται ἐκ τούτου καὶ ἄρχεται τὸ τοῦ παντὸς πῦρ ὑπὸ τοῦ παρ' ἡμῖν πυρὸς, ἢ τοὐναντίον ὑπ' b ἐκείνου τό τε ἐμὸν καὶ τὸ σὸν καὶ τὸ τῶν ἄλλων ζῴων ἅπαντ' ἴσχει ταῦτα;

Τοῦτο μὲν οὐδὲ ἀποκρίσεως ἄξιον ἐρωτᾷς.

42 Ὀρθῶς. Ταῦτα γὰρ ἐρεῖς, οἶμαι, περί τε τῆς ἐν τοῖς

a 2. τε C.D.E.F.G.I. cum Steph. τι Viger. 6. μέν που] που om. C. F.G.I. μέν ἐστιν D. 8. μέν τι] μὲν om. C.F.G. μέντοι E.I. καὶ ἀσθ.] καὶ om. C.D.F.G. 9. πλήθει τε] πλήθει μὲν C.F.G. 10. καὶ πάσῃ—τί δὲ om. C. τὸ πῦρ οὔσῃ] πυρὸς ᾗ D.F.G. qui mox om. ὅ. 12. ἐκ] ἐκ τοῦ C. τούτων D. 13. ἡμῶν D.

40 Quid obsecro?

Exiguam aliquam et despicabilem e singulis particulam inesse nobis, quæ nec ullo modo pura sinceraque sit, nec vim et facultatem habeat natura dignam. Quod ubi de uno aliquo statueris, tum de universis idem intellige. Ignis, exempli caussa, utcunque in nobis est; est etiam in universo.

41 Utique.

Cum igitur, qui in nobis est, is et exiguus admodum, et imbecillus, ac languidus sit: tum vero qui in universo est, is copia simul ac pulchritudine, cunctaque adeo vi, quæ ignis propria est, plane admirabilis.

Verissime loqueris.

Quid vero? Utrum deinceps ignem illum universi, ab eo qui in nobis est, ali, duci, regique arbitraris; an potius ab illo tam meum, quam tuum, ac cæterorum animantium ignem hæc omnia suscipere?

Hoc vero ne responsione quidem dignum existimo.

42 Et merito sane. Nec aliter, opinor, cum de hac terra, quæ animanti-

ΠΛΑ-ΤΩ-ΝΟΣ

ζώοις γῆς τῆς ἐνθάδε καὶ τῆς ἐν τῷ παντί· καὶ τῶν ἄλλων δὴ ὅσων ἠρώτησα ὀλίγον ἔμπροσθεν, οὕτως ἀποκρινῇ.

Τίς γὰρ ἀποκρινόμενος ἄλλως ὑγιαίνων ἄν ποτε φανείη;

43 Σχεδὸν οὐδ' ὁστισοῦν· ἀλλὰ τὸ μετὰ τοῦτο ἑξῆς ἕπου. Πάντα γὰρ ταῦτα ἡμεῖς τανῦν δὴ λεχθέντα, ἆρ' οὐκ εἰς ἓν συγκείμενα ἰδόντες ἐπωνομάσαμεν σῶμα;

Τί μήν;

Ταὐτὸν δὴ λάβε καὶ περὶ τοῦδε, ὃν κόσμον λέγομεν· διὰ c τὸν αὐτὸν γὰρ τρόπον ἂν εἴη που σῶμα, σύνθετον ὂν ἐκ τῶν αὐτῶν.

Ὀρθότατα λέγεις.

44 Πότερον οὖν ἐκ τούτου τοῦ σώματος ὅλου τὸ παρ' ἡμῖν σῶμα, ἢ ἐκ τοῦ παρ' ἡμῖν τοῦτο τρέφεταί τε, καὶ ὅσα νῦν δὴ περὶ αὐτῶν ἐπείπομεν εἴληφέ τε καὶ ἔχει;

Καὶ τοῦθ' ἕτερον, ὦ Σώκρατες, οὐκ ἄξιον ἐρωτήσεως.

Τί δὲ τόδε; Ἆρα ἄξιον ἐρωτήσεως; Ἢ πῶς ἐρεῖς;

45 Λέγε τὸ ποῖον;

Τὸ παρ' ἡμῖν σῶμα, ἆρ' οὐ ψυχὴν φήσομεν ἔχειν;

Δῆλον ὅτι φήσομεν.

b 6. ὀλίγον ἔμπροσθεν om. D. 7. ἀποκρινῇ] ἀπόκριναι C.F.G. ἀπόκρινε D. 9. τὸ] ἴσ. τῷ Vigeri marg. 10. τανῦν δὴ] τὰ δὴ νῦν C.F.G. c 4. ὅλως D.F.G. cum Plat. ὅλον I. 7. ἕτερον om. D.

bus inest, tum de illa quæ in universo, loquare: ac de aliis omnibus, de quibus paulo ante quærebam, idem omnino respondeas.

Quis enim, si modo sanus erit, aliud unquam respondeat?

43 Opinor nemo. Sed pergamus ad cætera. Numquid illa quatuor, ubi conflata in unum coaluerint, corpus appellamus?

Ita.

Idem igitur, de eo quem mundum vocamus, intellige. Is enim eodem plane modo corpus haberi debet, cum ex iisdem conflatus sit.

Rectissime loqueris.

44 Utrum igitur ab universo illo corpore nostrum hoc, an potius a nostro illud et alitur, et cætera quæ jamjam addidimus, accipit?

Neque hoc alterum, o Socrates, responsione dignum est.

Quid vero tertium hoc? responsione dignum erit, an secus?

45 Profer illud sis.

Nostrum hoc corpus animone præditum esse fatebimur?

Fatebimur utique.

ΠΛΑΤΩΝΟΣ

Πόθεν, ὦ φίλε Πρώταρχε, λαβὸν, εἴπερ μὴ τό γε τοῦ d παντὸς σῶμα ἔμψυχον ὂν ἐτύγχανε, ταὐτά γε ἔχον τούτῳ καὶ ἔτι πάντη καλλίονα;

Δῆλον ὡς οὐδαμόθεν ἄλλοθεν, ὦ Σώκρατες.

46 Οὐ γάρ που δοκοῦμέν γε, ὦ Πρώταρχε, τὰ τέτταρα ἐκεῖνα, πέρας, καὶ ἄπειρον, καὶ κοινὸν, καὶ τὸ τῆς αἰτίας γένος ἐν ἅπασι τέταρτον ἐνὸν τοῦτ' ἐν μὲν τοῖς παρ' ἡμῖν ψυχήν τε παρέχον καὶ σωμασκίαν ἐμποιοῦν καὶ πταίσαντος σώματος ἰατρικὴν καὶ ἐν ἄλλοις ἄλλα συντιθὲν καὶ ἀσκούμενον, πᾶσαν καὶ παντοίαν σοφίαν ἐπικαλεῖσθαι, τῶν δὲ αὐτῶν τούτων p. 630 ὄντων ἐν ὅλῳ τε οὐρανῷ, καὶ κατὰ μεγάλα μέρη, καὶ προσέτι καλῶν καὶ εἰλικρινῶν, ἐν τούτοις δὲ οὐκ ἄρα μεμηχανῆσθαι τὴν τῶν καλλίστων καὶ τιμιωτάτων φύσιν.

Ἀλλ' οὐδαμῶς τοῦτό γ' ἂν λόγον ἔχοι.

47 Οὐκοῦν εἰ μὴ τοῦτο, μετ' ἐκείνου τοῦ λόγου ἂν ἑπόμενοι βέλτιον λέγοιμεν, ὡς ἔστιν, ἃ πολλάκις εἰρήκαμεν, ἄπειρόν τε ἐν τῷ παντὶ πολὺ καὶ πέρας ἱκανὸν, καί τις ἐπ' αὐτοῖς

c 12. λαβὸν] λαβὼν C. d 2. ταυτῆ γε D. 4. πω D. 5. τὰ τέτ.] τὰ om. C.D.F.G.I. 6. καὶ om. D. γένους pro γένος F. 9. ἐμπονὸν I. ἰατρικὴν] ἰατρικὴ C.F.G. ubi mox ἄλλοις συντίθενται. 10. συντιθὲν] συντεθὲν D. συντίθενται ἀσκούμενον G. Mox ἀκούμενον Plat. ult. ἐπικαλεῖσθαι] ἐφικνεῖσθαι C.F.G.

p. 630. τῷ D. 2. κατὰ] τὰ C.D.F.G. 5. ἔχοι] ἔχει D.

Unde autem illum hauserit, mi Protarche, nisi universi corpus animatum fuerit, et iisdem omnino, quibus hoc nostrum, longeque adeo præstantioribus instructum facultatibus?

Liquet, o Socrates, unde potuerit, esse nihil.

46 Enimvero, non arbitramur, o Protarche, quatuor illa, terminum, infinitum, mixtum ex utroque, tum vero quartum illud, quod omnibus inest, caussæ genus, quod nostris et animum infundat, et corporis vel exercendi, vel, si quoquomodo laboraverit, curandi facultatem tribuat, et in aliis componat alia, alia reparet; summæ cujusdam et absolutæ sapientiæ nomine dignum esse: eadem cum et in toto cœlo, et in majoribus illis partibus locum habeant, nec specie modo, sed etiam integritate præstent, illa tamen rerum pulcherrimarum, ac nobilissimarum natura carere.

Quippe, alienum id ab omni ratione fuerit.

47 Illud ergo si rejicimus, superest, ut rationis hujus vim sequuti, melius ita statuamus: esse nimirum, quod jam sæpenumero diximus, hoc in universo, cum immensum quiddam atque infinitum, tum etiam terminum ei convenientem, caussam insuper aliquam non communem atque vulgarem,

ΠΛΑΤΩΝΟΣ

αἰτία οὐ φαύλη, κοσμοῦσά τε καὶ συντάττουσα ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατα. b

Δικαιότατα δῆτα.

48 Σοφία μὴν καὶ νοῦς ἄνευ ψυχῆς οὐκ ἄν ποτε γενοίσθην.

Οὐ γὰρ οὖν. Οὐκοῦν ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν μὲν ψυχὴν βασιλικὸν δὲ νοῦν ἐγγίνεσθαι διὰ τὴν τῆς αἰτίας δύναμιν· ἐν δὲ ἄλλοις ἄλλα καλὰ, καθότι φίλον ἑκάστοις λέγεσθαι.

52 Τὸν δ' ἡγούμενον μὲν θεοὺς εἶναι, μὴ φροντίζειν δὲ αὐτοὺς c τῶν ἀνθρωπίνων πραγμάτων, παραμυθητέον. Ὦ ἄριστε δὴ, φῶμεν, ὅτι μὲν ἡγῇ θεοὺς, συγγένειά τις ἴσως σε θεία πρὸς τὸ ξύμφυτον ἄγει τιμᾶν καὶ νομίζειν εἶναι· κακῶν δὲ ἀνθρώπων καὶ ἀδίκων τύχαι ἰδίᾳ καὶ δημοσίᾳ, ἀληθείᾳ μὲν οὐκ εὐδαίμονες, δόξαις δὲ εὐδαιμονιζόμεναι σφόδρα ἀλλ' οὐκ ἐμ- d μελῶς, ἄγουσί σε πρὸς ἀσέβειαν, ἔν τε μούσαις οὐκ ὀρθῶς
2 ὑμνούμεναι ἅμα καὶ ἐν παντοίοις λόγοις. Ἢ καὶ πρὸς τέλος ἴσως [ἀνοσίους] ἀνθρώπους ὁρῶν ἐλθόντας γηραιοὺς, παῖδας

b. δικαιότατα ἂν] ἂν om. C.D.F.G.I. 2. ἄνευ om. D. 3. οὐκ ἂν] ὡς οὐκ ἂν C.F.G.I. c 3. μὲν θεοὺς] θεοὺς μὲν C.F.G. 7. γε] σε C.F.G.I. 10. εὐδαιμονιζόμενα D. d 2. τε] γε D.F.G.I. 4. ἀνοσίους om. C.D.F.G.I.

quæ annos, tempestates, mensesque digerat, atque moderetur, sapientiam atque intellectum jure optimo nuncupandam.

Optimo sane.

48 Sapientia porro atque intellectus ab animo sejungi non possunt.

Nullo modo. Concludas igitur oportet, caussæ hujus vi, et Jovis naturam regium quendam animum ac regium intellectum possidere, et in aliis præclara quædam alia reperiri, hoc illove nomine, prout sua cujusque ratio postulet, appellanda.

Hactenus Plato.

52 Jam vero, inquit Plato, alloquendus ille nobis, qui deos esse cum existimet, iis tamen rerum humanarum curam eripiat. Quod tu, vir optime, (sic enim ipsum compellemus) deos esse credis, divina quædam affinitas, ad cognatum tibi numen et agnoscendum, et colendum, te, ut videtur, adducit. At vero improborum et injustorum hominum privata, publicaque fortuna, quæ cum re ipsa felicitatis habeat nihil, vulgi tamen opinione felicissima prædicatur, adeoque talis et carminibus, et omni sermonum genere perperam celebratur, vehementius te quam cautius ad impietatem
2 abripit. Aut etiam forte, dum nefarios homines ad extremam usque senectutem pervenire vides, liberosque simul ac nepotes summis in hono-

Plato Legg. p. 899.

[370] παίδων καταλιπόντας ἐν τιμαῖς ταῖς μεγίσταις, ταράττῃ ΠΛΑΤΩΝΟΣ
ταὐνῦν ὅταν ἐν ἅπασι τούτοις ἰδὼν ἢ δι' ἀκοῆς αἰσθόμενος, ἢ
καὶ παντάπασιν αὐτὸς αὐτῶν τινὶ αὐτόπτης προστυχὼν, πολ-
λῶν ἀσεβημάτων καὶ δεινῶν γενομένων τισὶ, δι' αὐτὰ ταῦτα
[ὁρᾷς,] ἐκ σμικρῶν εἰς τυραννίδας τε καὶ τὰ μέγιστα ἀφι-
κομένους· τότε διὰ πάντα τὰ τοιαῦτα δῆλος εἶ μέμφεσθαι
μὲν θεοὺς ὡς αἰτίους ὄντας τῶν τοιούτων διὰ ξυγγένειαν οὐκ
ἂν ἐθέλων, ἀγόμενος δὲ ὑπό τε ἀλογίας ἅμα, καὶ οὐ δυνάμενος
δυσχεραίνειν θεοὺς, εἰς τοῦτο νῦν τὸ πάθος ἐλήλυθας, ὥστ' p. 631
εἶναι μὲν δοκεῖν αὐτοὺς, τῶν δ' ἀνθρωπίνων καταφρονεῖν καὶ
3 ἀμελεῖν πραγμάτων. Ἵνα οὖν μὴ ἐπὶ μεῖζον ἔλθῃ σοι πάθος
πρὸς ἀσέβειαν τὸ νῦν παρὸν δόγμα, ἀλλ' ἐάν πως οἷον ἀπο-
διοπομπήσασθαι λόγοις αὐτὸ προσιὸν γενώμεθα δυνατοὶ,
πειρώμεθα, συνάψαντες τὸν ἑξῆς λόγον, ᾧ πρὸς τὸν παρά-
παν οὐχ ἡγούμενον θεοὺς ἐξ ἀρχῆς διεπερανάμεθα, τούτῳ
4 ταὐνῦν προσχρήσασθαι. Σὺ δ', ὦ Κλεινία τε, καὶ Μέγιλλε,
ὑπὲρ τοῦ νέου, καθάπερ ἐν τοῖς ἔμπροσθεν, ἀποκρινόμενοι

d 5. *καταλείποντας* D. 7. *αἰσθανομένους* D. 8. *αὐτὸς*] *αὐτὰ* F. *τινι αὐτόπτης προστυχὼν*] *τῇ προστύχης* C.F.G. *αὐτόπτης* om. D.I. et mox *προστύχης* (*προστυχὴς*) cum mss. quibusdam Platonis. 10. *δι' αὐτὰ ταῦτα*] *διὰ ταῦτα* C.F.G.I. qui om. *ὁρᾷς*. Hoc item D. qui infra *μικρῶν*. 11. *ἀφικομένοις* D. 12. *μὲν* om. D.

p. 631. 4. *ἀσεβείας* D. 5. *εἰ* D. 6. *αὐτὸ*] *αὖ τὸ* C.F.G. *αὖ δεηθείημεν* D. 9. *διεπεραινώμεθα* D. *διεπεραινάμεθα* I. *τούτων* F.G. 10. *τε καὶ*] *τε* om. C.D.F.I. *νόου*] *νέου* C.I. Viger. Mox *διαδέχεσθαι* C. Cum Steph. consentit D.

ribus constitutos relinquere, gravius perturbaris. Atque ita, dum vel auditione accipis, vel oculis ipse tuis nonnullos fortasse vides, qui gravissimis obstricti sceleribus, ob illa ipsa ex humili tenuique fortuna ad tyrannidem opesque maximas evehantur: tum enimvero deos quidem, quasi rerum istarum auctores, propter affinitatem cum illis tuam criminari non vis; sed partim cæco abreptus æstu, partim de diis dubitare nescius, eam in mentis ægritudinem devenisti, ut eos quidem esse fateare, cæterum ab
3 iisdem res humanas funditus negligi arbitrere. Quamobrem, ne talis opinio te in graviorem impietatis pestem conjiciat, si quo modo eam, ne longius serpat, amoliri verbis, et quasi averruncare poterimus, sequentem disputationem, cum priore illa, quam adversus eum, qui deos prorsus esse nullos putabat, ipso statim initio pertexuimus, accurate ac studiose con-
4 jungamus. Et vos quidem, o Clinia, tuque Megille, adolescentis vicem hîc quoque subeuntes, ipsius loco, quemadmodum jam ante fecistis, re-

ΠΛΑΤΩΝΟΣ

διαδέχεσθε. Ἐὰν δέ τι δύσκολον ἐγγίγνηται τοῖς λόγοις, b ἐγὼ σφῶν, ὥσπερ νῦν δή, δεξάμενος, διαβιβῶ τὸν ποταμόν.

Ὀρθῶς λέγεις· καὶ σύ τε οὕτω ταῦτα δρᾶ, ποιήσομέν τε ἡμεῖς εἰς τὸ δυνατόν, ἃ λέγεις.

5 Ἀλλ' οὐδὲν τάχ' ἂν ἴσως εἴη χαλεπὸν ἐνδείξασθαι τοῦτό γε, ὡς ἐπιμελεῖς σμικρῶν εἰσὶ θεοὶ οὐχ ἧττον μᾶλλον δὲ ἢ τῷ μεγέθει διαφερόντων. Ἤκουε γάρ που, καὶ παρῆν τοῖς νῦν δὴ λεγομένοις, ὡς ἀγαθοί γε ὄντες πᾶσαν ἀρετὴν τὴν τῶν πάντων ἐπιμέλειαν οἰκειοτάτην αὐτῶν οὖσαν κέκτηνται.

Καὶ σφόδρα γε ἐπήκουε.

6 Τὸ μετὰ τοῦτο τοίνυν κοινῇ συνεξεταζόντων, τίνα λέγον- c τες ἀρετὴν αὐτῶν ὁμολογοῦμεν αὐτοὺς ἀγαθοὺς εἶναι. Φέρε, τὸ σωφρονεῖν νοῦν τε κεκτῆσθαι φαμὲν ἀρετῆς, τὰ δὲ ἐναντία κακίας;

Φαμέν.

Τί δέ; Ἀρετῆς μὲν ἀνδρίαν εἶναι, δειλίαν δὲ κακίας;

7 Πάνυ μὲν οὖν.

b 2. νῦν δὴ] δὴ om. C.F.G.I. Supra σφῶϊν D. σφῶ ἴν' I. ἴν' ὥσπερ E. 3. σὺ] σύ τε C.D.G.I. οὔτε F. 5. ἀλλ' οὐδὲν— ἐπιμελεῖς om. C.F.G.I. 7. ἧττον] ἧττον μᾶλλον δὲ C.D.F.G.I. 8. ἤκουον] ἤκουε D.E.F.G. ed. Steph. et mox ἐπήκουε, ubi Vigerus ἐπήκουον. 9. τοῖς νῦν] σε τοῖς νῦν D. 11. κέκτηνται] κ. γὰρ C.D.F.G.I. c. συνεξεταζόντων D.E.F.G. ed. Steph. συνεξετάζωμεν Viger. c 2. αὐτοὺς ἀγαθοὺς] ἀγαθοὺς αὐτοὺς C.F.G. αὐτοὺς om. I. Tum φέρε om. D.

spondetote. Ego, si quid interdum spissius inciderit, vos trans fluvium, uti adhuc feci, trajiciam.

Recte. Fac modo quod polliceris, nos vicissim quod jubes, quantum in nobis erit, faciemus.

5 Principio, difficile opinor id saltem ostendere non fuerit, diis res parvas non minus curæ esse, quam maximas. Audiebam enim atque intereram, cum paulo ante diceretur, eos cum virtute omni præditos esse, tum rerum universarum curam maxime propriam ac peculiarem habere.

Ego vero id etiam admodum exaudivi.

6 Quod ergo sequitur, conjuncta nunc opera videamus, ecquam iis virtutem maxime tribuamus, cum eos bonos esse confitemur. Age, nonne temperantia, et intelligendi facultate præstare, virtuti assignamus, vitioque contraria?

Sane, assignamus.

Quid vero? non etiam virtuti fortitudinem, timiditatem vitio?

7 Prorsus.

ΠΛΑΤΩΝΟΣ

Καὶ τὰ μὲν αἰσχρὰ τούτων, τὰ δὲ καλὰ φήσομεν;

Ἀνάγκη.

Καὶ τῶν μὲν προσήκειν ἡμῖν, εἴπερ, ὁπόσα φλαῦρα, θεοῖς δὲ οὔτε μέγα οὔτε σμικρὸν τῶν τοιούτων μετὸν ἐροῦμεν;

Καὶ ταῦθ' οὕτως ὁμολογοῖ πᾶς ἄν.

8 Τί δέ; Ἀμέλειάν τε καὶ ἀργίαν καὶ τρυφὴν εἰς ἀρετὴν ψυχῆς θήσομεν; Ἢ πῶς λέγεις; d

Καὶ πῶς;

Ἀλλ' εἰς τοὐναντίον;

Ναί.

Τἀναντία ἄρα τούτοις εἰς τοὐναντίον;

Τοὐναντίον.

Τί οὖν; Τρυφῶν δὴ καὶ ἀμελὴς ἀργός τε, ὃν ὁ ποιητὴς κηφῆσι κοθούροισι μάλιστα εἴκελον ἔφασκεν εἶναι, γίγνοιτ' ἂν ὁ τοιοῦτος πᾶς ἡμῖν;

9 Ὀρθότατά γε εἰπών.

Οὐκοῦν τόν γε θεὸν οὐ ῥητέον ἔχειν ἦθος τοιοῦτον, ὅ γε [τι] αὐτὸς μισεῖ· τῷ δέ τι τοιοῦτον φθέγγεσθαι πειρωμένῳ οὐκ ἐπιτρεπτέον.

c 8. φαῦλα D. 10. μετὸν] μεστὸν C.G. Mox ὁμολογεῖ D. d 2. τούτοις εἰς τοὐναντίον] ἄρα τούτοις εἰς τἀναντία τρυφῶν δὴ καὶ ἀ. καὶ ἀ. C.F. G.I. et sic ni fallor D. 4. ὃν] ὧν C. 5. πᾶσιν] πᾶς C.D.F.G.I. 7. ὅ γε τι] τι om. C.D.F.G.I. Mox τὸν I. pro τῷ.

Ex iisdem nunquid alia turpia, honesta alia esse dicimus.

Et necessario.

Præterea, si quæ in iis vitiosa sunt, ea locum in nobis habere posse, nullum in diis.

Ne istud quidem a quoquam negetur.

8 Jam, negligentiam, otium, atque delicias, utrum animi virtuti tribuimus, an non?

Quî enim tribuamus?

Num igitur contrario?

Certe.

Quæ sunt igitur iis contraria, contrario assignabimus.

Ita, contrario.

Quid igitur? Quisquis deliciose, negligenter, et otiose vivit, nonne is ejusmodi merito a nobis omnibus habeatur, quem fucis inertibus simillimum poëta vocat?

9 Optime ille quidem.

Ergo nec ii mores deo tribuendi, quos ipsemet oderit, nec ferendus quisquam, qui ita loqui audeat.

ΠΛΑΤΩΝΟΣ

Οὐ μὲν δή· πῶς γὰρ ἄν;

Ὧι δὴ προσήκει μὲν πράττειν καὶ ἐπιμελεῖσθαι διαφερόντως τινὸς, ὁ δὲ τούτου τοῦ γένους τῶν μὲν μεγάλων ἐπιμελεῖται, τῶν σμικρῶν δὲ ἀμελεῖ· κατὰ τίνα οὖν ἐπαινοῦντες τὸν τοιοῦτον λόγον οὐκ ἂν παντάπασι πλημμελοῖμεν; Σκοπῶμεν δὲ ὧδε. Ἆρ' οὐ κατὰ δύο εἴδη τὸ τοιοῦτον πράττει p. 632 ὁ πράττων, εἴτε θεὸς, εἴτε ἄνθρωπος;

Ποίω δὴ λέγομεν;

10 Ἢ διαφέρον οὐδὲν οἰόμενος εἶναι τῷ ὅλῳ, ἀμελουμένων τῶν σμικρῶν, ἢ ῥαθυμίᾳ καὶ τρυφῇ, εἰ διαφέρει, ὁ δὲ ἀμελεῖ· ἢ ἔστιν ἄλλως πως γιγνομένη ἀμέλεια; Οὐ γάρ που, ὅταν γε ἀδύνατον ᾖ τῶν πάντων ἐπιμελεῖσθαι, τότε ἀμέλεια ἔσται τῶν σμικρῶν ἢ μεγάλων μὴ ἐπιμελουμένῳ, ὧν ἂν δυνάμει θεὸς ἢ φαῦλός τις ὢν ἐλλιπὴς καὶ μὴ δυνατὸς ἐπιμελεῖσθαι γίγνηται.

Πῶς γὰρ ἄν;

11 Νῦν δὴ δύο ὄντες τρισὶν ἡμῖν οὖσιν ἀποκρινάσθωσαν, οἳ b θεοὺς μὲν ἀμφότεροι ὁμολογοῦντες εἶναι, παραιτητοὺς δὲ

d 11. τούτου τοῦ γένους] τούτου γε νοῦς Plat.
p. 632. 2. ποίω δὴ] δὴ om. F.G. 3. διαφέρον] διαφέρων D. et mox om. εἶναι. 5. εἰ] ἢ C.F.G. 6. γιγνομένη ἀμέλεια] γινομ. ἀπώλεια C.F.G. 7. ἀδύνατος D.G.I. ἀδύνατος ἦν F. 9. θεὸς ἢ φαῦλος] φαῦλος ἢ om. θεὸς C.D.F.G I. Mox ἐλλειπὴς C.F.G. 11. νῦν δὴ] δὴ om. C.F.G.I.

Neutrum sane: quî enim deceat?

Jam cujus sit aliquid efficere simul, et majorem in modum curare, is si ex eo genere majora curabit, negliget minora, qua tandem eum laude prosequemur, quin toto cœlo aberremus? Enimvero sic philosophemur. Nonne qui aliquid ejusmodi faciat, is sive deus fuerit, sive homo, duobus modis hoc fecerit?

Quibus tandem?

10 Aut, quod illam rerum minorum despicientiam, totius universi nihil interesse putet, aut si cum intersit, negligat tamen, quod pigritia deliciisque vincatur: nisi alia tibi quædam occurrit negligentiæ ratio. Nec enim si omnium omnino haberi cura non possit, ei negligentiæ tribuatur, qui rerum vel minorum vel majorum curam non suscipiat, quibus curandis, sive deus, sive humilior quispiam, propter infirmitatem suam par esse non possit.

Quis enim id jure fecerit?

11 Nunc igitur nobis tribus duo isti respondeant, qui cum ambo deos esse fateantur, eosdem tamen alter exorari facile, alter res minores negligere

ΠΛΑ-ΤΩ-ΝΟΣ

ἕτερος, ὁ δὲ ἀμελεῖς τῶν σμικρῶν. Πρῶτον μὲν θεοὺς ἀμ-
[371] φότεροί φατε γινώσκειν, καὶ ὁρᾶν καὶ ἀκούειν πάντα, λαθεῖν δὲ αὐτοὺς οὐδὲν δυνατὸν εἶναι τῶν ὁπόσων εἰσὶν αἱ αἰσθήσεις τε καὶ ἐπιστῆμαι. Ταύτῃ λέγετε ἔχειν ταῦτα, ἢ πῶς;

Οὕτως.

12 Τί δέ; Δύνασθαι πάντα ὁπόσων αὖ δύναμίς ἐστι θνητοῖς τε καὶ ἀθανάτοις;

Πῶς γὰρ οὐ συγχωρήσονται καὶ ταῦτα οὕτως ἔχειν;

Καὶ μὴν ἀγαθούς τε καὶ ἀρίστους ὡμολογήκαμεν αὐτοὺς εἶναι, πέντε ὄντες.

Σφόδρα γε. c

Ἆρ' οὖν οὐ ῥαθυμίᾳ μὲν καὶ τρυφῇ ἀδύνατον αὐτοὺς ὁμολογεῖν πράττειν ὁτιοῦν τὸ παράπαν, ὄντας γε οἵους λέγομεν; Δειλίας γὰρ ἔγγονος ἔν γε ἡμῖν ἀργία, ῥαθυμία δὲ ἀργίας καὶ τρυφῆς.

13 Ἀληθέστατα λέγεις.

Ἀργίᾳ μὲν δὴ καὶ ῥαθυμίᾳ οὐδεὶς ἀμελεῖ θεῶν, οὐ γὰρ μέτεστιν αὐτῷ που δειλίας.

b 3. ὁ τῶν] ὁ om. C. ἀμελεῖ ὁ τῶν σ. E. ἀμέλει ὁ τ. I. ἀμελὴς F.G. 4. θεοὺς] θεὸν F.G. 5. αὐτοὺς] αὐτὸν E.F.G. Supra τε pro δὲ I. 6. αἱ αἰσθήσεις τε] αἰσθήσεις γε C.D.F.G. αἱ et τε om. E.I. 7. δέ γε λέγεται] λέγεται om. C.D.F.G.I. δέ γε om. libri Platonis. Latere videtur λέγετε in Eusebiano δέ γε. 9. ὁπόσων αὖ] αὖ om. C.D.F.G.I. c 3. ὄντας γε] ὄντας τε C.D.F.G.I. 4. ἔγγονος] ἔγγονοι C.F.G.I. Mox ῥαθυμίας—ἀργία—τρυφὴ cum D.F.G.I. 7. μέτεστιν] μέτεσιν C.

contendit. Principio, deos ambo nosse, videre, audire omnia conceditis, ac nihil eorum penitus latere posse, quæ vel sensus, vel scientia percipiat. Utrum in eo convenimus, an non?

Convenimus.

12 Quid illud? num illos etiam omnia posse, quæ in mortali aut immortali potestate versentur?

Nam quis hoc etiam neget?

Atqui bonos illos esse, adeoque optimos, jam nos quinque concessimus.

Et quidem libentissime.

Fieri ergo non potest, ut quos ejusmodi esse defendimus, ab iis quicquam omnino vel desidia vel mollitie fieri velimus. Nam et apud nos timiditatis fœtus otium est, desidia vero atque mollities otii.

13 Verissime hoc tu quidem.

Deorum ergo nullus quicquam præ otio desidiaque negligit, cum timiditas in eum nulla cadat.

ΠΛΑΤΩΝΟΣ

Ὀρθότατα λέγεις.

Οὐκοῦν τὸ λοιπὸν, εἴπερ ἀμελοῦσι τῶν σμικρῶν καὶ ὀλίγων τῶν περὶ τὸ πᾶν, ἢ γινώσκοντες ὡς τὸ παράπαν οὐδενὸς τῶν τοιούτων ἐπιμελεῖσθαι δεῖ, δρῷεν ἂν τοῦτο· ἢ τί τὸ λοιπὸν, πλὴν τὸ γινώσκειν τοὐναντίον; d

Οὐδέν.

14 Πότερον οὖν, ὦ ἄριστε καὶ βέλτιστε, θῶμέν σε λέγοντα, ὡς ἀγνοοῦντάς τε καὶ δέον ἐπιμελεῖσθαι δι' ἄγνοιαν ἀμελοῦντας ἢ γινώσκοντας ὅτι δεῖ, καθάπερ οἱ φαυλότατοι τῶν ἀνθρώπων λέγονται ποιεῖν, εἰδότες ἄλλα εἶναι βέλτιον πράττειν, ὧν δὴ πράττουσι, διά τινας ἥττας ἡδονῶν ἢ λυπῶν οὐ ποιεῖν;

15 Πῶς γὰρ ἄν;

Οὐκοῦν δὴ τά γε ἀνθρώπινα πράγματα, τῆς τε ἐμψύχου μετέχει φύσεως ἅμα, καὶ θεοσεβέστατον αὐτό ἐστι πάντων ζῴων ἄνθρωπος.

Ἔοικε γοῦν.

c 8. ἀμελοῦσι τῶν] ἐπιμελοῦσι C.F.G.I. ἐπιμελοῦντες D. qui supra om. τολοιπόν. 10. οὐδὲν D. 11. ἤ τι] καὶ τὶ C. d. τοῦ] τὸ D. τῷ E.F.G. Steph. mutavit Vigerus. 2. καὶ βέλτιστε om. C. F.G. 3. δέον] δέοντας C.D.F.G.I. 5. οἱ φαυλότατοι] οἱ om. C.F.G.I. 7. ὧν δὴ] δὴ om. C.F.G.I. 8. οὐκοῦν δὴ] δὴ om. C.F.G. 10. ἅμα] ἀλλὰ D.E.F.G.I. 11. αὐτὸ om. C.F.G. Mox ὁ ἄνθ. C.D.G.

Et istud quam optime.

Igitur, si rerum hoc in universo minorum ac tenuiorum curam abjiciunt, reliquum est, id ut faciant, aut quod nihil prorsus eorum sibi curandum esse statuant; aut quid aliud superest, nisi ut contra sentiant?

Nihil.

14 Utrum igitur, vir optime, deos existimas ignorantia laborare, quamque ab iis curam suscipi oporteret, ob eandem ignorantiam abjicere; an, cum ea sibi curanda esse noverint, tamen (quod pessimis hominibus, usu venire dicunt, qui alia quam quæ faciant, factu meliora esse satis intelligant,) seu voluptate, seu dolore victos non facere?

15 Quis tandem hoc illudve dicat?

Et quidem res humanæ cum animata natura præditæ sunt, tum vero animantibus omnibus religione ac divino cultu homo antecellit.

Consentaneum id hercle est.

ΠΛΑ-ΤΩ-ΝΟΣ

Θεῶν γε μὴν κτήματά φαμεν εἶναι πάντα ὁπόσα θνητὰ ζῷα [ἢ νοερὰ] ὧνπερ καὶ τὸν οὐρανὸν ὅλον.

Πῶς γὰρ οὔ; p. 633

16 Ἤδη τοίνυν ἢ σμικρὰ ἢ μεγάλα τις φάτω ταῦτα εἶναι τοῖς θεοῖς. Οὐδετέρως γὰρ τοῖς κεκτημένοις ἡμᾶς ἀμελεῖν ἂν εἴη προσῆκον, ἐπιμελεστάτοις γε οὖσι καὶ ἀρίστοις. Σκοπῶμεν γὰρ καὶ τόδε ἔτι πρὸς τούτοις.

Τὸ ποῖον;

Τὸ περί τε αἰσθήσεως καὶ δυνάμεως· ἆρ' οὐκ ἐναντίως ἀλλήλοιν πρὸς ῥᾳστώνην καὶ χαλεπότητά ἐστον πεφυκότε;

Πῶς λέγεις;

17 Ὁρᾶν μέν που καὶ ἀκούειν τὰ σμικρὰ χαλεπώτερον ἢ τὰ μεγάλα· φέρειν δὲ αὖ καὶ κρατεῖν καὶ ἐπιμελεῖσθαι τῶν σμικρῶν καὶ ὀλίγων παντὶ ῥᾷον ἢ τῶν ἐναντίων. b

Καὶ πολύ γε.

Ἰατρῷ δὴ προστεταγμένον ὅλον τι θεραπεύειν βουλομένῳ

ult. ἢ νοερὰ ὧνπερ] ὧνπερ om. C.D.F.G.I. ἢ νοερὰ om. Plato, et delenda videntur, ex ὧνπερ prave lectis orta.

p. 633. 2. πεφάτω] φάτω C.I. οὐδ' ἑτέρως] οὐδετέροις C.D.E.F.G.I. 3. ἀμελεῖν ἂν] ἀνελεῖν I. 4. γε] τε C.D.F.G.I. 5. δὲ δὴ καὶ] γὰρ καὶ C.D.F.G. 6. τὸ περὶ D.F.G. 7. ἀλλήλοιν] ἀλλήλοις C.D.F.G.I. 8. πεφυκότε] πεφυκότες D.F.G. 10. φέρειν δὲ αὖ καὶ κρατεῖν] κρατεῖν δ' αὖ C.F.G. 11. καὶ ὀλίγων] ἢ ὀλ. C.D.F.G. b. καὶ πολύ] καὶ om. C.I. πολύ τε D.F.G.I. Mox om. προστεταγμένον C.D.F.

Quicquid porro animantium, seu mortalium, seu spiritalium est, quorum in numero totum quoque cœlum reponitur, id omne deorum possessionem esse concedimus.

Quid ni enim?

16 Esto igitur, hæc a diis vel exilia vel magna habeantur: utrumvis enim quis dixerit, nunquam ab iis tamen, quorum in possessione sumus, cum iidem et providentissimi et optimi sint, jure negligamur. Verum alterum hoc præterea consideremus.

Quidnam?

Nonne sensus et potentia contrariam a natura habent facilitatis ac difficultatis rationem?

Clarius obsecro?

17 Parva nimirum difficilius et videre est, et audire, quam magna: ferre vero, aut tenere, aut curare parva quivis et exilia facilius, quam magna possit.

Longe profecto.

An si medicus aliquis, cum integrum corpus fidei commissum suæ

ΠΛΑΤΩΝΟΣ

καὶ δυναμένῳ, τῶν μὲν μεγάλων ἐπιμελὲς ἔσται, τῶν μορίων δὲ καὶ σμικρῶν ἀμελές· εἶθ' ἕξει ποτὲ καλῶς αὐτῷ τὸ πᾶν;

Οὐδαμῶς.

18 Οὐ μὴν οὐδέ γε κυβερνήταις οὐδὲ στρατηγοῖς οὐδ' οἰκονόμοις οὐδ' αὖ τισὶ πολιτικοῖς οὐδὲ ἄλλῳ τῶν τοιούτων οὐδενὶ χωρὶς τῶν ὀλίγων ἢ σμικρῶν πολλὰ ἢ μεγάλα· οὐδὲ γὰρ ἄνευ τῶν σμικρῶν τοὺς μεγάλους φασὶν οἱ λιθολόγοι λίθους εὖ κεῖσθαι.

Πῶς γὰρ ἄν;

19 Μὴ τοίνυν τὸν θεὸν ἀξιώσωμέν ποτε θνητῶν δημιουργῶν φαυλότερον, οἳ τὰ προσήκοντα αὐτοῖς ἔργα, ὅσῳπερ ἂν ἀμεί- c νους ὦσι, τόσῳ ἀκριβέστερα καὶ τελεώτερα μιᾷ τέχνῃ σμικρὰ καὶ μεγάλα ἀπεργάζονται· τὸν δὲ θεὸν ὄντα τε σοφώτατον, βουλόμενόν τε ἐπιμελεῖσθαι καὶ δυνάμενον, ὧν μὲν ῥᾷον ἐπιμεληθῆναι, σμικρῶν ὄντων, μηδαμῇ ἐπιμελεῖσθαι, καθάπερ ἀργὸν ἢ δειλόν τινα διὰ πόνους ῥαθυμοῦντα, τῶν δὲ μεγάλων.

20 Μηδαμῶς δόξαν τοιαύτην περὶ θεῶν, ὦ ξένε, ἀποδεχώ-

b 4. μορίων] μυρίων I. 5. αὐτὸ] αὐτῷ C. 6. οὐδέ γε] οὐδ' ὅγε C.D.F.G. Mox ἢ pro οὐδὲ C.D.F.G.I. 10. οἱ λιθολ.] οἱ om. C.F.G.I. λιθολόγοις D. 11. πῶς γὰρ ἂν om. C.F.G. c 3. ὄντα τε] τε om. C.F.G. 4. ἐπιμ. δυνατὸν εἶναι καὶ δυνά. D.E.F.G. 9. ἀποδεχόμεθα D.F.

curare non vellet modo, sed etiam posset, majoribus tantum partibus mederetur, minores cæteras negligeret, corpus integrum hac ejus curatione aliquando convalesceret?

Nullo sane modo.

18 Ne gubernatoribus quidem, imperatoribus, œconomicis, aut iis qui in reipublicæ administratione versentur, aut ulli omnino generis ejusdem, si pauca quædam minorave contempserit, plurium aut majorum feliciter cura succedat. Majores quippe lapides sine minoribus firmiter cohærere posse architecti negant.

Et vero quî possent?

19 Caveamus ergo, ne deum mortalibus unquam artificibus deteriorem putemus: ut cum illi propria sibi opera, tam minora quam majora, quo præstantiores ii sunt, hoc una eademque arte diligentius ac perfectius elaborent; deus tamen, qui et sapientissimus ipse sit, et operum suorum curam suscipere velit idem ac possit, minora quibus facilius provideret, quod minora sint, tanquam piger ac mollis quispiam et laborum magnitudine fractus, omnino despiciat, una in majorum gubernatione defixus.

20 Hanc de diis opinionem, mi hospes, nulla ex parte unquam probemus.

μεθα· οὐδαμῇ γὰρ οὔτε ὅσιον οὔτ' ἀληθὲς τὸ διανόημα διανοοίμεθ' ἄν. ΠΛΑΤΩΝΟΣ

Δοκοῦμεν δέ μοι νῦν ἤδη καὶ μεγάλα μετρίως διειλέχθαι τῷ φιλαιτίῳ, τῆς ἀμελείας πέρι θεῶν; d

Ναί.

Τῷ γε βιάζεσθαι τοῖς λόγοις ὁμολογεῖν αὐτὸν μὴ λέγειν ὀρθῶς. Ἐπῳδῶν γε μὴν προσδεῖσθαί μοι δοκεῖ μύθων ἔτι τινῶν.

Ποίων, ὦ ἀγαθέ;

21 [372] Πείσωμεν τὸν νεανίαν τοῖς λόγοις, ὡς τῷ τοῦ παντὸς ἐπιμελουμένῳ, πρὸς τὴν σωτηρίαν καὶ ἀρετὴν τοῦ ὅλου πάντ' ἐστὶ συντεταγμένα, ὧν καὶ τὸ μέρος εἰς δύναμιν ἕκαστον τὸ προσῆκον πάσχει καὶ ποιεῖ. Τούτοις δέ εἰσιν ἄρχοντες προστεταγμένοι ἑκάστοις ἐπὶ τὸ σμικρότατον ἀεὶ πάθης καὶ πράξεως, εἰς μερισμὸν τὸν ἔσχατον τέλος ἀπειργασμένοι.

22 Ὧν ἓν καὶ τὸ σόν, ὦ σχέτλιε, μόριον, εἰς τὸ πᾶν ξυντείνει p. 634

c 10. οὐδαμῇ γὰρ οὔτε ὅσιον οὔτ' ἀληθὲς] οὐ γὰρ ἀληθὲς οὔτ' (οὐδ' G.) ὅσιον C.D.F.G. qui om. διανοοίμεθ' ἄν. Tum ὅτι ἀληθὲς E. 11. μοι νῦν] μοι om. C.D.F.G. 12. μεγάλα] μάλα I. διειλέχθαι D.F.G. d 2. ὁμολογεῖν—ὀρθῶς ὡς om. C. 4. δοκεῖ om. D. 5. πείσομεν D. λόγοις] Addit E. ὁμολογεῖν αὐτὸν μὴ λέγειν ὀρθῶς. 6. τὴν σωτ.] τὴν om. C.F.G. 7. καὶ ἀρετὴν om. C.D.F.G. 11. πάθης] παθεὶς C.F.G. παθῆς I. ἀειπαθεὶς D.

p. 634. τὸ σὸν] τὸ τοσὸν C.F.

Est enim hæc non impia minus, quam falsa cogitatio.

Num vero tibi jam videmur de deorum negligentia, pro rei magnitudine mediocriter cum homine contentioso disputasse?

Certe.

Saltem ut is perperam se loquutum esse fateri cogatur. At nunc eidem quibusdam præterea verisimilibus argumentis, quasi cantionum illecebris opus videtur.

Quibus tandem, bone vir?

21 Quibus adductus adolescens hoc sibi persuadeat, qui universi curam susceperit, eum ad illius salutem vimque conservandam, ordinata et constituta habere omnia, sic ut partes etiam singulæ, quicquid ad eas pertinet, pro suis viribus patiantur, et agant. Eæ vel minutissimis in rebus, quæ sibi aut subeundæ sint, aut præstandæ, suos quæque principes ac præfectos habent, qui finem ad ultimam usque particulam integre

22 accurateque perducant. E quibus una etiam est tua, miselle, particula, quæ tametsi perpusilla sit, ad universum tamen per sese tendit semper ac

ΠΛΑΤΩΝΟΣ

βλέπον ἀεὶ, καίπερ πάνσμικρον ὄν. Σὲ δὲ λέληθε περὶ τοῦτο αὐτὸ, ὡς γένεσις ἕνεκα ἐκείνου γίνεται πᾶσα, ὅπως ᾖ τῷ τοῦ παντὸς βίῳ ὑπάρχουσα εὐδαίμων οὐσία, οὐχ ἕνεκα σοῦ γινομένη, σὺ δ' ἕνεκα ἐκείνου. Πᾶς γὰρ ἰατρὸς, καὶ πᾶς ἔντεχνος δημιουργὸς, παντὸς μὲν ἕνεκα πάντα ἐργάζεται, πρὸς τὸ κοινῇ ξυντείνων βέλτιστον· μέρος μὴν ἕνεκα ὅλου, καὶ οὐχὶ
23 ὅλον μέρους ἕνεκα ἀπεργάζεται. Σὺ δὲ ἀγανακτεῖς, ἀγνοῶν ὅπῃ τὸ περὶ σὲ ἄριστον τῷ παντὶ ξυμβαίνει καί σοι κατὰ b
δύναμιν τὴν τῆς κοινῆς γενέσεως. Ἐπεὶ δὲ ἀεὶ ψυχὴ συντεταγμένη σώματι τοτὲ μὲν ἄλλῳ, τοτὲ δ' ἄλλῳ, μεταβάλλει παντοίας μεταβολὰς, δι' ἑαυτὴν ἢ δι' ἑτέραν ψυχὴν, οὐδὲν ἄλλο ἔργον τῷ πεττευτῇ λείπεται πλὴν μετατιθέναι, τὸ μὲν ἄμεινον γινόμενον ἦθος εἰς βελτίω τόπον, χεῖρον δὲ εἰς τὸν χείρονα, ἵνα τὸ πρέπον ἕκαστον τῆς μοίρας λαγχάνῃ.

24 Πῇ λέγεις;

Ἧιπερ ἂν ἔχοι λόγον ῥᾳστώνη ἐπιμελείας θεοῖς τῶν

a 2. *καίπερ*] *καὶ παρὰ* C.F.G. *καὶ περὶ* I. *βλέπων—καὶ περὶ πᾶν σ.* D. 3. *περὶ*] *παρὰ* C.F.G. 5. *γινομένη σὺ δ'*] *γινομένης οὐδ'* C.F.G. *γινομένης* D. 8. *ξυντείνων βέλτιστον*] *ξυντεῖνον* om. *βελ.* C.F.G. *ξυντεῖνον* D. b. *καί σοι* om. C.D.F.G. 3. *σώματι* om. I. *ἄλλῳ τότε δ' ἄλλῳ* om. D. 6. *λείπεται* om. C.D.F.G.I. Mox om. *ἦθος* C. 7. *οὐ γινόμενον* D. 8. *εἰς τὸν*] *τὸν* om. C.F. *κατὰ τὸ*] *ἵνα τὸ* C.D.F.G.I. Mox *πρέπον* (*τρεπτὸν* I.) *ἕκαστον τῆς μοίρας* C.F.G.I. *αὐτῶν* et mox *ἵνα* om. D. Edebatur ex Plat. *π. αὐτῶν ἕκ. ἵνα τῆς προσηκούσης μ. λ.* 10. *λόγον* om. C.F.G.I. *ἔχει ῥαστώνης* D. *ῥαστώνης* F.G. 11. *θεοῦ*] *θεοῖς* C.D.F.G.I. Mox *δοκεῖ* D.F.G.I.

respicit. Ignoras tu vero interea, ortus rerum omnes universi caussa fieri, ut vitam ejus complexa natura in summa felicitate versetur: qui profecto illius gratia factus es, non illa tui. Siquidem medicus omnis, omnisque peritus artifex, sic totius caussa omnia perficit, sic unum illud quod communiter optimum sit intuetur, ut totius caussa partem, non totum partis
23 caussa moliatur. Tu vero indignaris, quod nescias, id quod in te optimum est, quemadmodum vi quadam communis ortus, universo tibique conveniat. Et quoniam animus cum corpore semper, alio tamen alioque complexus, nullum non mutationis genus subit, cum sua, tum alterius cujusdam animi caussa, sortis nostræ moderatori reliquum hoc unum est, uti mores, si meliores effecti erunt, meliorem, sin autem deteriores, deteriorem in locum pro sua cujusque ratione traducat, ut sedem singula convenientem ac propriam sortiantur.

24 Clarius ista sodes.

Equidem ita loquor, quomodo res omnes deo curæ esse facilius intelligi

ΠΛΑ-ΤΩ-ΝΟΣ

πάντων, ταύτῃ μοι δοκῶ φράζειν. Εἰ μὲν γὰρ πρὸς τὸ ὅλον ἀεὶ βλέπων πλάττοι τις, μετασχηματίζων τὰ πάντα, οἷον ἐκ c πυρὸς ὕδωρ ἔμψυχον, καὶ μὴ ξύμπολλα ἐξ ἑνὸς, ἢ ἐκ πολλῶν ἓν, πρώτης ἢ δευτέρας ἢ καὶ τρίτης γενέσεως μετειληφότα, πλήθεσιν ἄπειρ' ἂν εἴη τῆς μετατιθεμένης κοσμήσεως. Νῦν δ' ἐστὶ θαυμαστὴ ῥαστώνη τῷ τοῦ παντὸς ἐπιμελουμένῳ.

25 Πῶς αὖ λέγεις;

Ὧδε. Ἐπειδὴ κατεῖδεν ἡμῶν ὁ βασιλεὺς ἐμψύχους οὔσας τὰς πράξεις ἁπάσας, καὶ πολλὴν μὲν ἀρετὴν ἐν αὐταῖς οὖσαν, πολλὴν δὲ κακίαν, ἀνώλεθρον δὲ ὂν γενόμενον, ἀλλ' οὐκ αἰώνιον, ψυχὴν καὶ σῶμα, καθάπερ οἱ κατὰ νόμον ὄντες θεοί· d (γένεσις γὰρ οὐκ ἄν ποτε ἦν ζῴων ἀπολομένου τούτοιν θατέρου·) καὶ τὸ μὲν ὠφελεῖν ἀεὶ πεφυκὸς ὂν, ἀγαθὸν ψυχῆς διενοήθη, τὸ δὲ κακὸν, βλάπτειν· ταῦτα πάντα ξυνιδὼν, ἐμηχανήσατο ποῦ κείμενον ἕκαστον τῶν μερῶν νικῶσαν ἀρετὴν, ἡττωμένην δὲ κακίαν ἐν τῷ παντὶ παρέχοι μάλιστ' ἂν καὶ
26 ῥᾷστα καὶ ἄριστα. Μεμηχάνηται δὴ πρὸς πᾶν τοῦτο τὸ

b 12. βλέπων] βλέπον C. c. πλάττει D. 2. ἔμψυχον D. ed. Steph. ἐμψύχων Viger. 4. ἢ καὶ] καὶ om. F. 5. ἄπειρ' ἂν] ἂν ὁρᾶν C.D.F.G.I. 7. λέγει F. 9. ἁπάσας] πάσας C.F.G. 11. δὲ γενόμ.] δέον γινομ. C.F.G. δὲ ὂν γ. Plat. δὲ γιν. D. d 2. γένεσις] γένεσιν I. ποτε om. C.F.G.

possit. Etenim, si quis semper ad totum respiciens, ita fingeret ac refingeret omnia, (ut si aquam igne animaret,) tamen ut neque multa ex uno, neque e multis unum aliquid efficeret, ea sane posteaquam primam, aut secundam, aut tertiam generationem subiissent, ista rerum ordinisque mutatione, infinitum quantum augerentur. Nunc vero, universi moderatori facilitas quædam admirabilis suppetit.

25 Necdum istud intelligo.

Audi ergo. Novit rex ille noster, actiones omnes animatas esse, easdem cum virtutis habere, tum etiam vitiositatis plurimum: animum item et corpus, ut pestem ex se nullam habeant, carere tamen immortalitate, qua veri legitimique dii perfruantur: (alioqui nulla unquam animantium generatio fieret, altero morte sublato:) ad extremum, quicquid juvare per sese potest, id omne animi bonum, quicquid nocere solet, malum esse statuit. Quibus omnibus exploratis, molitus hoc demum est, quemadmodum ita partes singulæ constituerentur, uti cum maxime, tum etiam facillime atque optime, certam in universo virtutis victoriam facerent, vitiositate prostrata.
26 Quam in rem universi bono excogitavit, quam quodque sedem pro naturæ

ΠΛΑΤΩΝΟΣ

ποιόν τι γιγνόμενον ἀεὶ, ποίαν ἕδραν δεῖ μεταλαμβάνον οἰκίζεσθαι, καὶ τίνας ποτὲ τόπους· τῆς δὲ γενέσεως τοῦ ποίου τινὸς ἀφῆκε ταῖς βουλήσεσιν ἑκάστων ἡμῶν τὰς αἰτίας. Ὅπῃ γὰρ ἂν ἐπιθυμῇ, καὶ ὁποῖός τις ὢν τὴν ψυχὴν, ταύτῃ σχεδὸν p. 635 ἑκάστοτε καὶ τοιοῦτος γίγνεται ἅπας ἡμῶν, ὡς τὸ πολύ.

Τὸ γοῦν εἰκός.

27 Μεταβάλλει μὲν τοίνυν πάνθ' ὅσα μέτοχά ἐστι ψυχῆς, ἐν αὐτοῖς κεκτημένα τὴν τῆς μεταβολῆς αἰτίαν· μεταβάλλοντα δὲ φέρεται κατὰ τὴν τῆς εἱμαρμένης τάξιν καὶ νόμον. Σμικρότερα μὲν τῶν ἠθῶν μεταβάλλοντα ἐλάττω κατὰ τὸ τῆς χώρας ἐπίπεδον μεταπορεύεται, πλείω δὲ καὶ ἀδικώτερα μεταπεσόντα εἰς βάθος τά τε κάτω λεγόμενα τῶν τόπων, ὅσα Ἅιδην τε καὶ τὰ τούτων ἐχόμενα τῶν ὀνομάτων ἐπονομάζοντες b σφόδρα φοβοῦνται καὶ ὀνειροπολοῦσι ζῶντες διαλυθέντες τε τῶν σωμάτων. Μείζω δὴ ψυχὴ κακίας ἢ ἀρετῆς ὁπόταν μεταβάλλῃ, διὰ τὴν αὐτῆς βούλησίν τε καὶ ὁμιλίαν γενομένην ἰσχυρὰν, ὁπόταν μὲν ἀρετῇ θείᾳ προσμίξασα γίνηται διαφε-

d 10. τι om. D.F.G. 11. δεῖ] δὴ C.F.G. Mox ποτε τόπους C. τόπους ποτε E. ed. Steph. δεῖ om. D. qui mox λαμβάνον. ult. ἑκάστων om. C.D.F.G.

p. 635. 2. ταῦτα] τοιοῦτος C.F.G. qui pergunt σχεδὸν γίνεται ἕκαστος ἡμῶν. μεταβάλλει etc. ταύτῃ I. Vig. ἑκάστοτε] ἕκαστος D. 3. τοπολὺ—εἰκὸς om. D. 6. τὴν om. G.I. 8. κατὰ τὸ] τὸ om. F. 10. βάθος] βάθη I. b. ἐπονομάζ.] ὀνομάζ. C.D.F.G. 2. φοβοῦνται] φοβοῦσι C.D.F.G.I. 3. διαλυθέντες] διαλυθέντων C.D.F.G. 6. προσμίξασα γίνηται] προσμίξας ἃ γίνεται C.D.F.G.I. Supra μεταλάβῃ Plato.

suæ conditione, quemque locum aliquando sortiri firmum ac stabilem oporteret. At vero, ut talis quisque talisve fieret, causas omnes nostræ in voluntatis potestate reliquit. Qualis enim cupiditate quisque et animo fuerit, talis fere passim esse solet.

Et consentaneum id quidem.

27 Quæcunque igitur animo prædita sunt, mutantur omnia, quod in se ipsis caussam mutationis habeant. Qua in mutatione, fati præscriptum ac legem sequuntur. Quorum enim animorum tolerabiliores fuerint remissioresque mores, ii dum ea mutatio fit, utpote leviores, in summum regionis solum commeant; quorum autem graviores et injustiores, ii vastam in altitudinem, et depressiora loca detruduntur, quæ qui adhuc vivunt, quique corporibus soluti jam sunt, Inferorum, ac similibus aliis nominibus admodum horrere, ac sæpius somniare solent. Ita, cujus animi cum suapte voluntate, tum acri et corroborata consuetudine, major aut vitiositas, aut virtus extiterit: is sub illam mutationem, si divinam ad virtutem adhæ-

ΠΛΑΤΩΝΟΣ

ρόντως τοιαῦτα, διαφέροντα καὶ μετέβαλε τόπον ἅγιον ὅλον, μετακομισθεῖσα εἰς ἀμείνω τινὰ τόπον ἕτερον· ὅταν δὲ τἀναν-
[373] τία, ἐπὶ τἀναντία μεθιδρύσατο τὸν αὑτῆς βίον.

28 Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,

ὦ παῖ, καὶ νεανίσκε, ἀμελεῖσθαι δοκῶν ὑπὸ θεῶν· κακίω μὲν γινόμενον πρὸς τὰς κακίους ψυχὰς, ἀμείνω δὲ πρὸς τὰς ἀμεί- c
νους πορευόμενον ἔν τε ζωῇ καὶ ἐν πᾶσι θανάτοις πάσχειν τε, ἃ προσῆκον δρᾶν ἐστὶ τοῖς προσφυέσι τοὺς προσφερεῖς, καὶ
29 ποιεῖν. Ταύτης τῆς δίκης οὔτε σὺ μήποτε, οὔτ' ἄλλος ἀτυχὴς γενόμενος ἐπεύξεται περιγενέσθαι θεῶν, ἣν πασῶν δίκην δικῶν διαφερόντως ἔταξάν τε οἱ τάξαντες, χρεών τε ἐξευλαβεῖσθαι τὸ παράπαν. Οὐ γὰρ ἀμεληθήσῃ ποτὲ ὑπ' αὐτῆς. Οὐχ οὕτω σμικρὸς ὢν δύσῃ κατὰ τὸ τῆς γῆς βάθος, οὐδ' ὑψηλὸς γενόμενος εἰς τὸν οὐρανὸν ἀναπτήσῃ, τίσεις δὲ αὐτῷ τὴν προσήκουσαν τιμωρίαν, εἴτ' ἐνθάδε μένων εἴτε καὶ ἐν Ἅιδου d
διαπορευθεὶς εἴτε καὶ τούτων εἰς ἀγιώτερον ἔτι διακομισθεὶς
30 τόπον. Ὁ αὐτὸς δὲ λόγος σοι καὶ περὶ ἐκείνων ἂν εἴη, τῶν

b 8. μετέβαλλε D. Supra τοιαύτη Plato. μετακομισθεῖσα] μετακοσμηθεῖσα F.G. 10. ἐπὶ τἀναντία om. C. 11. θεῶν] βροτῶν C.D.F.G.I. Mox om. καὶ νεανίσκε C.F.G. c 5. οὐκ D. 6. ἐπάξεται D. 7. δικῶν om. C.D F.G.I. 9. τὸ παράπαν] παρὰ τὸ πᾶν C.F.G.I. 10. ὢν] εἰς C.I. εἰσδύσῃ D. εἰσδύῃ E. εἰς δύσῃ G. σμικρὸν εἰσύσῃ F. Vid. infra p. 636 b. 12. σαυτῷ] αὐτῷ C.D.F.G.I. αὐτῶν Plat. d. ἐνθάδε] ἐνθένδε C.F.G. 3. διακομισθεὶς] διακομισθῇς C.F.G. ἔτι om. D.

serit, ejusque singulariter et eximie similis fuerit, sedem quoque suam, alioqui sanctissimam, cum alia quadam adhuc meliore commutat. Qui vero contrariam viam instituerit, vitam quoque deinceps contrariis in locis,
28 et contraria sorte degit. Ea judicii ratio, mi adolescens, qui te a diis negligi arbitraris, a diis qui in Olympo versantur, constituta est: ut qui deterior fuerit, ad deteriorum; qui melior, ad meliorum animorum societatem commigret; et cum in vita, tum quolibet mortis in genere, quibus a
29 similibus similes affici deceat, patiatur atque agat omnia. Hoc judicium neque tu, neque alius quisquam defugisse se, atque ita deos ipsos superasse gloriabitur: quippe quod ejus auctores maxime præ cæteris omnibus sanctum esse voluerint, omninoque propterea vereri oporteat; nec enim illud te unquam præteribit. Nec tam pusillus tenuisque fies, ut ab eo te in abditos terræ sinus latebrasque subducas: nec vero tam sublimis, ut in cœlum evoles. At dignas omnino pœnas daturus ipse es, sive hîc maneas, sive trajiciaris ad Inferos, sive ad locum aliquem iis adhuc horridiorem
30 deferaris. Quod ipsum tibi de illis quoque statuendum est, quos tu cum

ΠΛΑΤΩΝΟΣ

οὓς σὺ κατιδὼν ἐκ σμικρῶν μεγάλους γεγονότας ἀνοσιουργήσαντας, ἤ τι τοιοῦτον πράξαντας, ᾠήθης ἐξ ἀθλίων εὐδαίμονας γεγονέναι, καὶ ὡς ἐν κατόπτροις, αὐτῶν ταῖς πράξεσιν ἡγήσω καθεωρακέναι τὴν πάντων ἀμέλειαν θεῶν, οὐκ εἰδὼς αὐτῶν τὴν συντέλειαν, ὅπη ποτὲ τῷ παντὶ ξυμβάλλεται. Γινώσκειν δὲ αὐτὴν, ὦ πάντων ἀνδρειότατε, πρὸς οὐδὲν δοκεῖς, ἥν τις μὴ p. 636
γινώσκων οὐδ' ἂν τύπον ἴδοι ποτὲ, οὐδὲ λόγον ξυμβάλλεσθαι περὶ βίου δυνατὸς ἂν γένοιτο εἰς εὐδαιμονίαν τε καὶ δυσδαί-
31 μονα τύχην. Ταῦτα εἰ μέν σε πείθει Κλεινίας ὅδε καὶ ξύμπασα ἡμῶν ἥδε ἡ γερουσία, περὶ θεῶν ὡς οὐκ οἶσθα ὅ τι λέγεις, καλῶς ἄν σοι θεὸς αὐτὸς ξυλλαμβάνοι· εἰ δ' ἐπιδεὴς ἔτι λόγου ἂν εἴης, λεγόντων ἡμῶν πρὸς τὸν τρίτον ἐπάκουε, εἰ νοῦν καὶ ὁπωσοῦν ἔχεις.

32 Τούτων ὁ νοῦς, εἰ καὶ μὴ τὰ ῥήματα, ἐν τοῖς Ἑβραίων λογίοις προκαταβέβληται συντομώτατα καὶ δι' ὀλίγων τῆς διανοίας περιεχομένης. Τό τε γὰρ, Οὐχ οὕτω σμικρὸς b

d 6. τι τὸ τοιοῦτον D. 7. καὶ] κᾆτα Plat. 8. ὡς om. D. 10. τὴν συντ.] τὴν om. C.F.G. ult. πρὸς οὐδὲν] Plato πῶς οὐ δεῖν.
p. 636. 2. ξυμβαλέσθαι D. 3. τε καὶ] δὲ καὶ C.D.E.F.G.I. Supra καὶ pro ἂν I. 6. καλῶς] καλὸς I. qui mox ξυλλαμβάνει. 8. λόγου ἂν εἴης λεγόντων ἡμῶν π. τ. τ. ἐπάκουε εἰ νοῦν] ἂν εἴης λόγου πρὸς τ. τ. ἐπακούσῃ νοῦν C.F.G. λόγου—ἡμῶν om. D. 9. ἐπακούσῃ νοῦν D. ἐπακούσῃ E. ἐπακούσῃν οὖν I. 11. συντομώτατα—περιεχομένης om. C.D.F.G. b. σμικρὸς] μικρὸς C.F.G.

ex parvis magnos evasisse, post grave aliquod vel impietatis, vel alterius sceleris exemplum videres, beatos ex miseris factos putabas; et quorum in maleficiis, tanquam in speculis, quam abs diis omnia negligantur, videre tibi videbare, ignorans videlicet, quî tandem aut qua parte istorum finis et exitus cum universi rationibus cohæreret. Illum porro, vir generosissime, quî tandem sciens volensque negligere potes, qui tamen ejusmodi est, ut qui ab ejus cognitione imparatus sit, nihil unquam vel animo informare possit, nec ullam de humanæ vitæ seu felicitate, seu miseria disputationem
31 instituere. Hoc si tibi Clinias iste de diis, ac senatus hic noster omnis persuadere potuerit, nescire te quid loquare, singulare a deo ipso beneficium acceperis. Sin longiori adhuc oratione opus habebis, age porro, nosque de tertio illo disserentes, si quid omnino mentis habes, attende.

32 Hæc Plato. Quorum sane mens, si minus verba ipsa, multo ante Hebræorum extabat in literis, sed brevissime ac paucissimis vocibus comprehensa sententia. Nam illud quidem, Nec tam pusillus fies, ut

ὧν δύσῃ κατὰ τὸ τῆς γῆς βάθος, οὐδ᾽ ὑψηλὸς γενόμε-
νος εἰς τὸν οὐρανὸν ἀναπτήσῃ, ὅμοιον ἂν εἴη τῷ παρὰ τῷ
Δαβὶδ, τοῦτον ἔχοντι τὸν τρόπον· Ποῦ πορευθῶ ἀπὸ τοῦ
πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;
Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· Ἐὰν καταβῶ εἰς
33 τὸν ᾅδην, πάρει. Εἰ ἀναλάβοιμι πτέρυγας, καὶ κατα-
σκηνώσαιμι εἰς τὰ ἔσχατα τῆς θαλάσσης· καὶ γὰρ ἐκεῖ ἡ
χείρ σου ὁδηγήσει με. Ἀλλὰ καὶ τὸ, Οἱ οὐρανοὶ διηγοῦν-
ται δόξαν Θεοῦ, καὶ ποίησιν χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ c
στερέωμα. Καὶ πάλιν ἐν τῷ Ἡσαΐᾳ τὸ, Ἀναβλέψατε
εἰς ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε, τίς κατέδειξε
34 ταῦτα πάντα. Καὶ τὸ, Ἐκ μεγέθους καὶ καλλονῆς
κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. Καὶ τὸ,
Τὰ γὰρ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι
νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.
Ἀλλὰ καὶ τὸ, Ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν

b 2. *κατὰ τὸ τῆς γῆς βάθος*] *κατὰ γῆς* C.F.G. 3. *τὸν οὐρανὸν*] *τὸν* om. C.G. *ὅμοιον*] *ἴσον* C.F.G. *τῷ παρὰ τοῦ δ.*] *τῷ τοῦ δαβὶδ ῥήματι τῷ λέγοντι που* C.F.G. *δαβὶδ ῥήματι τῷ λέγοντι τοῦτον* D. 6. *ποῦ* om. F.G. et mox *σὺ* om. F.G. *φύγω*] *κρυβῶ* I. 8. *εἰ ἀναλ.—ὁδηγήσει με* om. C.F.G. 11. *τὸ*] *τῷ* C. *καὶ ποίησιν*] *ποίησιν δὲ* C.D.F.G. c 2. *πάλιν*] *τὸ* C.F.G. 6. *καὶ τὸ—θειότης* om. C.F.G. 9. *τοῖς ἀνόμοις* D.F.G.I. *τοῖς* om. edd.

ab ejus te oculis in abditos terræ sinus latebrasque subducas; nec
vero tam sublimis, ut in cœlum evoles; dicto huic Davidico proxi-
mum est: *Quo ibo a spiritu tuo? et quo a facie tua fugiam? Si* Ps. 139,
33 *ascendero in cœlum, tu illic es: si descendero in infernum, ades. Si* 7.
sumpsero pennas, et habitavero in extremis maris; etenim illuc manus
tua deducet me. Deinde hoc ejusdem prophetæ: *Cœli enarrant glo-* Ps. 19, 1.
riam Dei, et opera manuum ejus annunciat firmamentum: itemque Esa. 40.
illud Esaiæ, *Tollite in altum oculos vestros, et videte, quis ostendit hæc* 26.
34 *omnia:* et hoc, *Ex magnitudine et pulchritudine creaturarum, Creator* Sap. 13, 5.
cum proportione spectatur: et hoc, *Invisibilia enim ejus a creatura* Rom. 1,
mundi, per hæc quæ facta sunt, intellecta conspiciuntur, sempiterna 20.
quoque ejus virtus ac divinitas. Postremo istud, *Zelavi super iniquos,* Ps. 73, 3.

θεωρῶν, μεταπεφράσθαι μοι δοκεῖ ὑπὸ τοῦ Πλάτωνος, διὰ τοῦ, Ὁ αὐτὸς δὲ λόγος σοι καὶ περὶ ἐκείνων ἂν εἴη, τῶν οὓς σὺ κατιδὼν ἐκ μικρῶν μεγάλους γεγονότας, ἀνοσιουρ- d γήσαντας, ἤ τι τοιοῦτον πράξαντας, ᾠήθης ἐξ ἀθλίων εὐδαιμονας γεγονέναι. Καὶ τὰ ἄλλα δὲ ὅσα τούτοις ὁμοίως εἴρηται προὔλαβε τὴν εἰς πλάτος ἐκτεθεῖσαν τοῦ Πλάτωνος ἑρμηνείαν ἐν τοῖς Ἑβραίων λόγοις. Ἕκαστον δ' οὖν αὐτῶν κατὰ μέρος εὕροις ἂν ἀκριβῶς ἐξετάζων τοῖς Ἑβραίων συμφερόμενον γράμμασι. Ἑβραίων δὲ εἶναι λόγους, οὐ μόνον τὰ παρὰ Μωσῇ λόγιά φημι, ἀλλὰ καὶ τὰ τῶν ἄλλων μετὰ Μωσέα θεοφιλῶν ἀνδρῶν, εἴτε προφητῶν, εἴτε καὶ ἀποστόλων τοῦ Σωτῆρος ἡμῶν, ὧν ἡ τῶν δογμάτων συμφωνία μιᾶς εἰκότως αὐτοὺς καὶ τῆς αὐτῆς προσηγορίας ἀξιώσειεν.

c 10. θεωρῶν] θεωρεῖν D. 11. διὰ τοῦ] δι' αὐτοῦ D. d. σμικρῶν D.F.G. 2. ἤ τι τοι. πρ. om. C.F.G. qui mox ᾠήθης cum I. φήθεις edd. 9. μόνον] μόνα I. τὰ παρὰ μωσῇ] παρὰ μωσεῖ C.F.G. ult. καὶ τῆς] Addidi αὐτῆς.

pacem peccatorum videns: hæc omnia interpretatus videtur Plato, dum ait, Hoc ipsum tibi de illis quoque statuendum est, quos tu cum ex parvis magnos evasisse, post grave aliquod impietatis, vel alterius sceleris exemplum videres, beatos ex miseris factos putabas. Ac cætera quæ eandem in sententiam dicta sunt, in Hebræorum monimentis fusiorem illam Platonis explicationem occuparunt. Quæ tu singula, si accurate ac diligenter expendes, cum Hebræorum doctrina consentire reperies. Hebræorum autem librorum nomine, non sola Mosis oracula intelligo, sed aliorum etiam qui post eum scripsere, hominum deo carissimorum, seu prophetæ, seu nostri quoque Servatoris apostoli fuerint, quibus ob summam dogmatum consensionem, una atque eadem appellatio jure tribuatur.

ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

ΠΡΟΟΙΜΙΟΝ. p. 639

[375] ἘΠΕΙΔΗ πέφηνεν ἐν τοῖς πρὸ τούτου συγγράμμασιν ἡ κατὰ Πλάτωνα φιλοσοφία κατὰ πλεῖστα Μωσέως καὶ τῶν παρ' Ἑβραίοις ἱερῶν λόγων ἑρμηνείαν ὥσπερ ἐπὶ τὴν Ἑλλάδα φωνὴν περιέχουσα, ἔρχομαι νῦν ὁμοῦ καὶ τὰ λείποντα προσαποδοῦναι τῷ λόγῳ, καὶ τὰ b τοῖς πρὸ ἡμῶν εἰς τοὺς τόπους εἰρημένα διελθεῖν, ὁμοῦ καὶ διαβολῆς εὐλόγου αἰτίαν ἀπολυσόμενος, εἰ δή τις ἡμῖν ἐπικαλῶν φαίη, Τί δή ποτ' οὖν, Μωσέως καὶ Πλάτωνος τὰ συνῳδὰ πεφιλοσοφηκότων, οὐχὶ τὰ Πλάτωνος ἀλλὰ τὰ Μωσέως μέτιμεν, τοὔμπαλιν δέον, ὅτι δὴ πρὸς τοῖς ἴσοις δόγμασι προσήκων ἡμῖν γένοιτ' ἂν Ἕλλησιν

p. 639. ἐπειδὴ] Προοίμιον περὶ τῆς ὑποθέσεως B.D. 5. τὰ πλεῖστα] τὰ om. B.C.F.G.I. 6. Μωσέως om. D. 7. ἱερῶν λόγων] νόμων B.D. b 4. ἐπικαλῶν] ἐπεγκαλῶν D. ποτ' οὖν] ποτε B. qui post Μωσέως pergit, καὶ τῶν παρ' Ἑβραίοις νόμων συνωδὰ καὶ πλάτων· οὐχὶ τὰ. Deest οὖν D. 7. τοὔμπαλιν δέον om. B. Supra μέτειμεν D.

LIBER DECIMUS TERTIUS.

PROŒMIUM.

Cum superioribus libris viderimus, Platonica ut plurimum philosophia, Mosis et sacrorum apud Hebræos oraculorum quandam quasi Græcam in linguam conversionem contineri: nos deinceps partim quæ huic disputationi desunt adjungemus, partim quæ a superioris memoriæ scriptoribus in similium locorum tractatione dicta sunt, persequemur; ad extremum speciosam illam nonnullorum criminationem diluemus; ecquid tandem caussæ sit, quamobrem si Mosi tam consentanee Plato philosophatus est, Mosis potius quam Platonis doctrinam sequamur, cum secus utique factum oporteret, quod præter dogmatum similitudinem, nobiscum etiam, utpote Græcis, Græco

2 οὖσιν ὁ Ἑλληνικὸς μᾶλλον ἢ ὁ βάρβαρος. Ὀκνῶν δὲ
ἀπαντῆσαι πρὸς τοῦτο αἰδοῖ τῇ πρὸς τὸν φιλόσοφον,
τοῦτον μὲν εἰς ὕστερον ἀνατίθεμαι τὸν λόγον, τὰ δέ γε
πρῶτά μοι λεχθέντα πρῶτα διασκέψομαι. Λαβὼν οὖν c
ἀνάγνωθι ὁποίαν ἐπήγετο δόξαν ὁ Πλάτων περὶ τῶν
Ἑλληνικῶν θεολόγων τε καὶ ποιητῶν, ὅπως τε πάσας
τὰς πατρίους περὶ τῶν θεῶν ὑπολήψεις ἠθέτει, καὶ τὴν
ἐν αὐτοῖς ἀτοπίαν διήλεγχεν.

ΠΛΑΤΩΝΟΣ

1 Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν τε καὶ γνῶναι τὴν d
γένεσιν μεῖζον ἢ καθ' ἡμᾶς. Πιστευτέον δὲ τοῖς εἰρηκόσιν
ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ
που τοὺς ἑαυτῶν προγόνους εἰδόσιν. Ἀδύνατον οὖν θεῶν
παισὶν ἀπιστεῖν, καίπερ ἄνευ εἰκότων καὶ ἀναγκαίων ἀπο-
δείξεων λέγουσιν· ἀλλ' ὡς οἰκεῖα φασκόντων ἀπαγγέλλειν
2 ἑπομένους τῷ νόμῳ πιστευτέον. Οὕτως οὖν κατ' ἐκείνους
ἡμῖν ἡ γένεσις περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω.

c 5. διήλεγχεν om. D. d 3. πιστέον E. πεισθέον F.G. πειστέον I. Plat. Sed πιστευτέον bis Theodoretus p. 12, 42. 43, 30. 4. ἐκγό-νοις] ἐκείνοις B. ἐγγόνοις C.F. 5. δέ που] γέ που C.F.G.I. εἰδό-σιν] εἰδότων I. 7. ἀναγκαίων] ἀναγκαῖον B. Tum ὑποδείξεων D. 8. φάσκουσιν] φασκόντων B.C.D.E.F.G.I. Theodoret. 9. ἑπομένους] ἑπομένως B. Mox ἡμῖν om. C.

2 magis homini quam barbaro conveniret. Et quoniam ego, qua philosophum hunc observantia prosequor, huic adhuc reprehensioni occurrere vereor, hac tantisper oratione dilata, quæ primum abs me proposita sunt, ea primo loco discutiam. Sume ergo mihi Platonem, ac perlege, qualem ipse demum habuerit Græcorum theologorum ac poëtarum opinionem, et quemadmodum patrias omnes de diis sententias rejecerit, earumque ineptias coarguerit.

Plato Tim. p. 40.

1 Aliorum autem dæmonum, inquit ille, procreationem vel explicare, vel nosse, res est nostra facultate major. Quare hoc in genere, priscis illis testibus adhibenda fides, qui ut deûm, quod ipsi aiunt, nepotes erant, ita majores suos maxime notos habuerunt. Nec fieri omnino potest, ut fides eorum filiis detrahatur, etiamsi nullis demonstrationibus necessariis, ac ne probabilibus quidem argumentis ipsorum testimonia comprobentur: sed necesse plane est, ut iis, quomodo lex imperat, tanquam suarum in rerum
2 commemoratione credamus. Illam ergo deorum procreationem quod attinet, uti poëtæ scribunt, ita nos quoque de ea statuamus ac loquamur.

ΠΛΑΤΩΝΟΣ

Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην, p. 640
τούτων δὲ Φόρκυς Κρόνος τε καὶ Ῥέα [καὶ ὅσοι μετὰ τούτων,] ἐκ δὲ Κρόνου καὶ Ῥέας Ζεὺς Ἥρα τε καὶ πάντες ὅσους ἴσμεν ἀδελφοὺς λεγομένους αὐτῶν, ἔτι τε τούτων ἄλλους ἐκγόνους.

3 Διὰ τούτων πιστεύειν τοῖς περὶ θεῶν μύθοις καὶ αὐτοῖς δὲ τοῖς τῶν μύθων ποιηταῖς ὡς δὴ θεῶν ἐκγόνοις οὖσι παρακελευσάμενος, πρῶτα μὲν διὰ τοῦ φάναι, ἐκγόνους εἶναι τῶν θεῶν τοὺς ποιητὰς, χλευάζειν μοι δοκεῖ· ὡς καὶ τῶν θεῶν ἀνθρώπων γεγονότων, καὶ τοῖς ἐκγό- b
4 νοις ὁμοίων τὴν φύσιν. Διαβάλλει δ' ἑξῆς ἄντικρυς τοὺς θεολόγους, οὓς ἐκγόνους ἔφησεν εἶναι θεῶν, δι' ὧν ἐπάγει φάσκων, καίπερ ἄνευ εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγουσι, δι' ὧν τε προστίθησι τὸ, ὡς ἔφασαν. Παίζειν δ' ἔοικε λέγων, σαφῶς γέ που τοὺς ἑαυτῶν προγόνους εἰδόσι· καὶ τὸ, ἀδύνατον θεῶν παισὶν ἀπιστεῖν. Καὶ τὸ παρὰ γνώμην δὲ ταῦτα λέγειν τῶν νόμων ἕνεκα

p. 640. παῖδες ante γῆς C. 2. ἐγενέσθη I. Φόρκυς om. B. Tum καὶ ὅσοι μ. τ. om. B.C.D.F.G.I. 6. ἔτι τε τοὺς] ἔτι δὲ B. τοὺς item om. C.F.G.I. 9. ἐγγόνοις] ἐκγόνοις B.D. et sic infra. 10. εἶναι τῶν θεῶν] θεῶν εἶναι B. τῶν om. D. b 6. ὧν τε] τε om. C.F.G. 8. εἰδόσι] εἰδότων B.C.F.G.I.

Terræ Cœlique liberi, Oceanus et Tethys: horum Phorcyn, Saturnus, et Ops, cæterique fratres. Ex Saturno et Ope, Jupiter, Juno, ac reliqui, quos utriusque fratres appellari scimus, procreati. Atque ita deinceps de tota nepotum serie.

3 His Plato, dum et deorum fabulis, et earum auctoribus poëtis, sic tanquam deorum nepotibus fidem adhibere jubet; primum is mihi, dum poëtas deorum nepotes appellat, ridere ac jocari videtur, quasi deos ipsos et homines fuisse, et similem nepotibus suis naturam ha-
4 buisse velit. Deinde vero, quos deorum nepotes vocarat, eosdem ipse theologos manifeste traducit, his verbis, *Etiamsi nullis demonstrationibus necessariis, ac ne probabilibus quidem argumentis eorum testimonia comprobentur.* Itemque dum addit, *Quod ipsi aiunt.* Quin et ludere plane videtur, dum ait, *Quippe qui majores suos maxime notos habuere.* Itemque, *Fieri nullo modo posse, ut fides deorum filiis detrahatur.* Cæterum quam id legum caussa, præter mentem ipse

διαρρήδην παρίστησιν, ὁμολογήσας ὅτι δέοι ἑπομένους τῷ νόμῳ πιστεύειν αὐτοῖς. Ὅτι δὲ ταῦτ' ἐνόει, ἐπά- c κουσον ὅπως γυμνῇ καὶ ἀκατακαλύπτῳ φωνῇ τοὺς δὴ θεολόγους ἅπαντας διαβάλλει, κόπτων ἐν Ἐπινομίδι τούτοις τοῖς ῥήμασιν·

2 Θεογονίαν τοίνυν καὶ ζῳογονίαν ἀναγκαῖον, ὡς ἔοικεν,

ΠΛΑΤΩΝΟΣ [376] πρῶτόν μοι κακῶς ἀπεικασάντων τῶν ἔμπροσθεν, βέλτιον d ἀπεικάσαι κατὰ τὸν ὕστερον λόγον, ἀναλαβόντα ὃν πρὸς τοὺς ἀσεβεῖς ἐπικεχείρηκα λόγον.

2 Ὅτι δ' εὐλόγως τὴν τῶν πρώτων θεολογίαν παραιτεῖται, διδάσκει ἐν τῷ δευτέρῳ τῆς Πολιτείας, ἔνθα τὸν νοῦν ἐπιστῆσαι ἄξιον ὁπόσα καὶ οἷα περὶ τῶν αὐτῶν ποιητῶν τε καὶ θεολόγων τῶν γε ἐκ παλαιοῦ παραδεδομένων περὶ τῶν Ἑλληνικῶν θεῶν διέξεισιν, ὧδε ῥήμασιν αὐτοῖς φάσκων·

3 Ἐν τοῖς μείζοσιν, ἦν δ' ἐγώ, [μύθοις] ὀψόμεθα καὶ τοὺς p. 641

b 11. ὅτι δέοι] ἔτι δέ·σοι C.F.G. c. ἐνόει] ἐννόει B. qui pergit ὅρα πως γ. Mox ἀνακατακαλύπτῳ F. 3. ἐν ἐπινομίδι om. B. ἐπιτόμῳ C. F.G. ἐν om. E.I. 7. Θεολογίαν suprasc. θεογονίαν I. 8. ὡς ἔοικεν ἀναγκ.] ἀναγκ. ὡς ἔοικεν B.C.D.F.G. d. ὕστερον λόγον] λόγον om. I. 2. ἀσεβεῖς] τοὺς ἀσ. D.I. ἐπικεχείρηκα λόγον] ἐπικεχείρηκε C.F.G. Tum λέγων B.C. λόγους Plat. ed. Bek. 6. αὐτῶν] ἑαυτῶν B. 7. τῶν γε] τῶν τε F.G.

p. 641. 5. μύθοις om. B.C.D.F.G.I.

dixerit, perspicue satis declarat, dum eos qui legem modo sequi voluerint, fidem ipsis adhibere oportere fatetur. Atque hanc illius vere sententiam fuisse; ut facilius intelligas, audi sis quemadmodum nuda claraque voce totum hoc theologorum genus reprehendat. Sic enim illos in Epinomide vellicat:

Plato Epin. p. 980 c. 2 Deorum, inquit, atque animantium procreationem, quod majores nostri perperam de illa philosophati sint, melius hîc mihi necessario tractandam atque explicandam puto, atque ita ut superior illa, quam adversus impios institui, disputatio relegatur.

2 At vero quam mature ac prudenter illam veterum theologiam repudiet, idem ipse docet secundo de Republica, ubi sane verum fuerit diligentius attendere, quemadmodum adversus poëtas atque theologos, in iis præsertim quæ de Græcis numinibus tradita jam olim fuerant, invehatur. Sunt hæc ejus verba:

Rep. p. 377. 3 In majoribus fabulis, inquam, minores etiam facile videbimus. Necesse

ἐλάττους. Δεῖ γὰρ δὴ τὸν αὐτὸν τύπον εἶναι καὶ ταὐτὸν ΠΛΑ-
δύνασθαι τούς τε μείζους καὶ τοὺς ἐλάττους. Ἦ οὐκ οἴει; ΤΩ-
Ἔγωγε, ἔφη· ἀλλ' οὐκ ἐννοῶ οὐδὲ τοὺς μείζους τίνας λέγεις. ΝΟΣ
Οὓς Ἡσίοδός τε, εἶπον, καὶ Ὅμηρος ἡμῖν ἐλεγέτην καὶ οἱ b
ἄλλοι ποιηταί. Οὗτοι γάρ που μύθους ψευδεῖς τοῖς ἀνθρώ-
2 ποις συντιθέντες ἔλεγόν τε καὶ λέγουσι. Ποίους δή, ἦδ' ὅς,
καὶ τί αὐτῶν μεμφόμενος λέγεις; Ὅπερ, ἦν δ' ἐγώ, χρὴ
πρῶτόν τε καὶ μάλιστα μέμφεσθαι, ἄλλως τε καὶ ἐάν τις μὴ
καλῶς ψεύδηται. Τί τοῦτο; Ὅταν εἰκάζῃ τις κακῶς οὐσίαν
τῷ λόγῳ περὶ θεῶν τε καὶ ἡρώων, οἷοί εἰσιν, ὥσπερ γραφεὺς
μηδὲν ἐοικότα γράφων οἷς ἂν ὅμοια βουληθῇ γράψαι. Καὶ
γάρ, ἔφη, ὀρθῶς ἔχει τά [γε] τοιαῦτα μέμφεσθαι· ἀλλὰ
3 πῶς δὴ λέγομεν, καὶ ποῖα; Πρῶτον μὲν δή, ἦν δ' ἐγώ, τὸ c
μέγιστον καὶ περὶ τῶν μεγίστων ψεῦδος [ὁ] εἰπὼν οὐ καλῶς
ἐψεύσατο, ὡς Οὐρανός τε εἰργάσατο ἅ φησι δρᾶσαι αὐτὸν
Ἡσίοδος, ὅ τε αὖ Κρόνος ὡς ἐτιμωρήσατο αὐτόν. Τὰ δὲ δὴ
Κρόνου ἔργα καὶ πάθη ὑπὸ τοῦ υἱέος, οὐδ' ἂν εἴη ἀληθῆ,
ᾤμην δεῖν ῥᾳδίως οὕτω λέγεσθαι πρὸς ἄφρονάς τε καὶ νέους,

a 8. ἐλάττους] ἐλάττονας B. ἔγωγε ἔφη om. B. φημὶ pro ἔφη E.I. 9. οὐκ ἐννοῶ] οὐδὲ νοῶ τοὺς B. b. ἐλεγέτην] λεγέτην B.D. λεγέτοιν C.F.G. Mox om. οἱ C.F. 8. οὐσίαν τῷ—ἐτιμωρήσατο αὐτὸν om. B. 11. τά γε] γε om. B.D.E.F.G.I. c 2. ὁ εἰπὼν] ὁ om. C.D.F.G. Mox om. τε C.F.G. 5. εἰσετιμωρήσατο D. 6. εἰ ἦν] εἴη B.C.F.G. ἦν om. I. Mox δὴ B. pro δεῖν. 8. τε καὶ] γε καὶ C.F.G.

enim est speciem unam aliquam esse, vimque minoribus æque majoribus-
que communem. An non ita sentis? Equidem, inquit ille, sed quas tu
majores dicas, non capio. Quas Hesiodus, inquam, atque Homerus,
cæterique poëtæ commemorant. Illi enim falsas hominibus fabulas com-
2 menti, et narrabant olim hodieque narrant. Quas tandem, inquit ille, aut
quid in iis reprehendis? Cui ego, Quod et primum et omnium maxime
reprehendendum est, præsertim ubi quis non recte mentiatur. Quid illud
porro? Ubi quis male deorum heroumque naturam oratione repræsentat,
perinde ut pictor faceret, qui tabellam ei rei nulla ex parte similem pin-
geret, quam penicillo exprimendam suscepisset. Ea vero, inquit, repre-
3 hensione dignissima sint: sed clarius illa sodes, atque distinctius. Ego
vero, Primum, inquam, maximum illud maximisque de rebus mendacium,
qui narravit Hesiodus, quid videlicet actum a Cœlo fuerit, quamque vi-
cissim ei pœnam Saturnus reposuerit, perperam omnino confinxit. Jam
quæ Saturnus idem aut gesserit, aut a filio pertulerit, ne si vera quidem
essent, adeo tamen facile ac temere apud homines aut stultos, aut ado-

ΠΛΑΤΩΝΟΣ

ἀλλὰ μάλιστα μὲν σιγᾶσθαι, εἰ δ' ἀνάγκη τις ἦν λέγειν, δι' ἀπορρήτων ἀκούειν ὡς ὀλιγίστους, θυσαμένους οὐ χοῖρον, ἀλλά τι μέγα καὶ ἄπορον θῦμα, ὅπως ὡς ἐλαχίστοις συνέβη
4 ἀκοῦσαι. Καὶ γὰρ, ἦδ' ὅς, οὗτοί γε οἱ λόγοι χαλεποί. Καὶ d οὐ λεκτέοι γε ἔφην, ὦ Ἀδείμαντε, ἐν τῇ ἡμετέρᾳ πόλει. Οὐδὲ λεκτέον νέῳ ἀκούοντι ὡς ἀδικῶν τὰ ἔσχατα οὐδὲν ἂν θαυμαστὸν ποιοῖ, οὐδ' αὖ ἀδικοῦντα πατέρα κολάζων παντὶ τρόπῳ, ἀλλὰ δρῴη ἂν ὅπερ θεῶν οἱ πρῶτοί τε καὶ μέγιστοι. Οὐ μὰ τὸν Δία, ἦδ' ὅς, οὐδὲ αὐτῷ μοι δοκεῖ ἐπιτήδεια εἶναι
5 λέγειν. Οὐδέ γε, ἦν δ' ἐγὼ, τὸ παράπαν ὡς θεοὶ θεοῖς πολεμοῦσί τε καὶ ἐπιβουλεύουσι καὶ μάχονται· οὔτε γὰρ ἀληθῆ· εἴ γε δεῖ ἡμῖν τοὺς μέλλοντας τὴν πόλιν φυλάσσειν p. 642 αἴσχιστον νομίζειν τὸ ῥᾳδίως ἀλλήλοις ἀπεχθάνεσθαι· πολλοῦ δεῖ γιγαντομαχίας τε μυθολογητέον αὐτοῖς καὶ ποικιλτέον καὶ ἄλλας ἔχθρας πολλὰς καὶ παντοδαπὰς θεῶν τε καὶ

c 10. ὀλιγίστοις] οὐλιγ. C. Mox χεῖρον B. 11. ἄπορον] ἄποιον I. 12. ἐλαχίστους] ἐλαχίστοις B.D.F.G. ὡς C.D.F.G.I. pro ὅτι. d. λεκτέοι] λεκτοὶ C.D.F.G. ἐκτοὶ B. δεκτοὶ I. Tum ἔφην om. B.C.E.I. 2. ὦ ἀδείμ.—ἀκούοντι om. C.F.G. 3. λεκτέον] δεκτέον B. δοκτέον D.I. 4. οὐδὲν] δέον B. ποιοῖ] οἱοῖ I. 5. οὐδ' αὖ] οὐδ' αὖ ἂν F.G. 7. τε et μέγιστοι om. F. τε ante καὶ om. G. οἱ μέγιστοι I. 8. δοκεῖ] δοκῶ B. 10. ἐπιβουλεύουσι] ἐπιβουλεύονται C.F. ult. οὔτε γὰρ—τοῦτο ὅσιον om. B.

p. 642. ἡμᾶς D.F.G. 4. τε καὶ μυθ. D.

lescentes jactanda viderentur: sed principio quidem, omnino tacenda: sin aperiendi necessitas aliqua foret, cum paucissimis, uti maxime arcana solent, communicanda, et quidem auditoribus ejusmodi, qui non porcum, sed eximiam aliquam raramque victimam immolassent, ut quam paucissimi
4 hujus in sermonis communionem venirent. Enimvero grave, inquit, ac periculosum hoc sermonum genus. Nec omnino, inquam, o Adimante, nostra in republica audiendum nec audiente adolescente huic orationi locus esse debet; qui scelestissima quæque admittat, mirum ab eo nihil fieri; ne si parentem quidem ipsum, a quo læsus fuerit, omni suppliciorum genere mulctaverit; sed illud duntaxat ipsum, quod primi maximique deorum ante jam fecerint. Nec mihi per Jovem, inquit, ferenda vox ea videatur.
5 Neque altera sane hæc, inquam: bellare deos, pugnareque cum diis, atque iisdem insidiari, cum et hoc ab omni veritate abhorreat, et qui reipublicæ nostræ custodes ac moderatores futuri sunt, eos civili odio facile dissidere, longe turpissimum ducere oporteat: ne dum, ut iis fictitia, modisque omnibus variata, sive gigantum bella, sive alia omnis generis, deûm simul

ΠΛΑ-ΤΩ-ΝΟΣ

ἡρώων πρὸς συγγενεῖς τε καὶ οἰκείους αὐτῶν, ἀλλ' εἴ πως
μέλλοιμεν πείσειν ὡς οὐδεὶς πώποτε πολίτης ἕτερος ἑτέρῳ
ἀπήχθετο οὐδ' ἐστὶ τοῦτο ὅσιον, τοιαῦτα μᾶλλον λεκτέα
πρὸς τὰ παιδία εὐθὺς, καὶ γέρουσι καὶ γραυσὶ καὶ πρεσβυ-
τέροις γιγνομένοις, καὶ τοὺς ποιητὰς ἐγγὺς τούτων ἀναγκα- b
6 στέον λογοποιεῖν. Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος, καὶ Ἡφαί-
στου ῥίψεις ὑπὸ πατρὸς, μέλλοντος τῇ μητρὶ ἀμύνειν τυπτο-
μένῃ, καὶ θεομαχίας ὅσας Ὅμηρος πεποίηκεν, οὐ παραδεκτέον
εἰς τὴν πόλιν, οὔτ' ἐν ὑπονοίαις πεποιημένας οὔτε ἄνευ ὑπο-
7 νοιῶν. Ὁ γὰρ νέος οὐχ οἷός τε κρίνειν ὅ τι τε ὑπόνοια καὶ
ὅ τι μή· ἀλλ' ἃ ἂν τηλικοῦτος ὢν λάβῃ ἐν ταῖς δόξαις,
[377] δυσέκνιπτά τε καὶ ἀμετάστατα φιλεῖ γίγνεσθαι. Ὧν δὴ c
ἴσως ἕνεκα περὶ παντὸς ποιητέον, ἃ πρῶτα ἀκούουσιν, ὅτι
8 κάλλιστα μεμυθολογημένα πρὸς ἀρετὴν ἀκούειν. Ἔχει γὰρ,
ἔφη, λόγον· ἀλλ' εἴ τις αὖ καὶ ταῦτα ἐρωτῴη ἡμᾶς ἅττα
ἐστὶ, καὶ τίνες οἱ μῦθοι, τίνας ἂν φαῖμεν; Καὶ ἐγὼ εἶπον·
Ὦ Ἀδείμαντε, οὐκ ἐσμὲν ποιηταὶ ἐγώ τε καὶ σὺ ἐν τῷ παρ-
όντι, ἀλλ' οἰκισταὶ πόλεως. Οἰκισταῖς δὲ τοὺς μὲν τύπους
προσήκει εἰδέναι ἐν οἷς δεῖ μυθολογεῖν τοὺς ποιητὰς, παρ' οὓς
ἐὰν ποιῶσιν οὐκ ἐπιτρεπτέον, οὐ μὴν αὐτοῖς γε ποιητέον d

b. ἐγγὺς τούτων ἀν.] ἀν. ἐγγ. τούτων C.F.G. 7. ὑπονοίαις] ὑπον' οἷ C. 9. καὶ ὅτι τε μὴ D. 10. ἃ ἂν] ἂν B. c 5. ἐρωτῶν D.

et heroum, ab affinibus cognatisque dissidia narrari debeant. Contra vero,
si quo modo persuadere poterimus, civi civem alteri infensum neminem
unquam fuisse, nec id omnino fas esse; hæc atque similia pueris mature a
senioribus et aniculis inculcanda erunt, ipsique poëtæ cogendi, suas ut
6 fabulas eo referant. At injecta Junoni a filio vincula, dejectum a patre
Vulcanum, quod pulsatæ matri opem ferre vellet, cæterasque deorum
pugnas, quotquot ab Homero confictæ sunt, hac in civitate nunquam
audire oportebit, sive arcanum aliquem sensum includant, sive nullum.
7 Nec enim juvenis statuere potest, ubi aliquis ejusmodi sensus lateat, ubi
nullus: sed quascunque opiniones ea primum ætate imbiberit, eæ deleri
fere postea revellique non possunt. Itaque tanti, opinor, erit, ut quibus
primum audiendis fabulis assuescent, ad virtutem eæ, quam rectissime
8 fieri poterit, collineent. Jure hoc tu quidem, et cum ratione, inquit: at si
quis ex nobis quæret, cujusmodi ea, quæve fabulæ esse debeant, quid
tandem respondebimus? Cui ego, Poëtæ, inquam, in præsentia, neque ego,
neque tu sumus, sed reipublicæ conditores. Quos, ut formas illas et
exemplaria nosse oporteat, quæ poëtis in fabularum suarum fictionibus
proposita esse debeant, et a quibus si quando deflectent, ferendi non sint;

ΠΛΑΤΩΝΟΣ

9 μύθους. Ὀρθῶς, ἔφη· ἀλλ' αὐτὸ δὴ τοῦτο οἱ τύποι περὶ
θεολογίας τίνες ἂν εἶεν; Τοιοίδε πού τινες, ἦν δ' ἐγώ, οἷος
τυγχάνει ὢν ὁ θεός, ἀεὶ δή που ἀποδοτέον, ἐάν τε τις αὐτὸν
ἐν ἔπεσι ποιῇ, ἐάν τε ἐν μέλεσι, ἐάν τε ἐν τραγῳδίᾳ. Δεῖ
γάρ. Οὐκοῦν ἀγαθὸς ὁ θεὸς τῷ ὄντι τε, καὶ λεκτέον οὕτω.
10 Τί μήν; Ἀλλὰ μὴν οὐδέν γε τῶν ἀγαθῶν βλαβερόν. Ἦ
γάρ; Οὔ μοι δοκεῖ. Ἆρ' οὖν τὸ μὴ βλαβερὸν βλάπτει;
Οὐδαμῶς. Ὃ δὲ μὴ βλάπτει, κακόν τι ποιεῖ; Οὐδὲ τοῦτο.
Ὃ δέ γε μηδὲν κακὸν ποιεῖ, οὐδ' ἄν τινος εἴη κακοῦ αἴτιον.
Πῶς γάρ; Τί δέ; Ὠφέλιμον τὸ ἀγαθόν; Ναί. Αἴτιον
11 ἄρα εὐπραγίας. Ναί. Οὐκ ἄρα πάντων γε αἴτιον τὸ ἀγα- p. 643
θόν, ἀλλὰ τῶν μὲν εὖ ἐχόντων αἴτιον, τῶν δὲ κακῶν ἀναίτιον.
Παντελῶς γε, ἔφη. Οὐδ' ἄρα, ἦν δ' ἐγώ, ὁ θεὸς ἐπειδὴ
ἀγαθός, πάντων ἂν εἴη αἴτιος, ὡς οἱ πολλοὶ λέγουσιν, ἀλλ'
ὀλίγων μὲν τοῖς ἀνθρώποις αἴτιος, πολλῶν δὲ ἀναίτιος· πολὺ
γὰρ ἐλάττω τὰ ἀγαθὰ τῶν κακῶν ἡμῖν. Καὶ τῶν μὲν ἀγα-
θῶν οὐδὲν ἄλλο αἰτιατέον, τῶν δὲ κακῶν ἄλλα ἄττα δεῖ

d 3. τοιοίδε] ποιοίδε B. 5. ἐν ἔπεσι] ἐνέπεσε B. 6. ἐάν τε] ἑαυτοὺς F. qui mox ἀγαθούς. 8. ἀλλὰ μὴν om. C. 13. οὔτε δὲ D. Mox πῶς γὰρ οὐ E. πῶς γὰρ οὔτι δὲ F.G.

p. 643. 3. οὐδ' ἄρα—θεὸς om. B. 4. ἐπεὶ] ἐπειδὴ B.D. ὁ θεὸς post ἀγαθὸς addit B. 5. πολλοὶ] παλαιοὶ B. 6. ὀλίγων] ὀλίγον B. Hinc usque ad πολὺ γὰρ om. C.F.G. πολλῶν δὲ ἀναίτιος om. D. 8. οὐδένα ἄλλον] οὐδὲν B.C.D.F.G.I. Tum ἄλλο B.D.F.G.I. 9. ἄλλα ἄττα] ἄλλά τα B.D.

9 fabulas ipsos quidem fingere non oportet. Fateor, inquit, sed hoc ipsum tamen, formæ, inquam, illæ, quas ubi de diis loquendum erit, sequi oportebit, quales tandem esse debent? Tales, inquam, ut cujusmodi per sese deus est, ejusmodi semper, tam heroicis, quam lyricis ac tragicis carminibus repræsentetur. Decet enimvero. Deus igitur, quod reapse bonus
10 sit, bonus quoque celebrandus erit. Erit omnino. Atqui noxium bonum esse nullum potest: nonne? Nullum, ut videtur. Quod autem noxium non est, idne aliquando nocet? Nunquam certe. Quod porro non nocet, an aliquid mali facit? Ne istuc quidem. Quod autem mali nihil facit, id ne mali quidem ullius caussa esse queat. Nam quî? Quid vero? An
11 bonum utile quiddam est? Ita. Est ergo causa felicitatis alicujus. Est. Non igitur rerum omnium caussa bonum est, sed eorum duntaxat quæ bene se habent, malorum autem, minime. Prorsus, inquit. Deus igitur, inquam, cum bonus sit, rerum omnium auctor certe non erit, quod tamen jactari vulgo solet: imo vero, paucarum admodum hominibus auctor erit, plurimarum minime: bonis enim longe paucioribus utimur, quam malis. Et bonorum quidem alteri nemini assignanda caussa est, malorum autem

ΠΛΑ-ΤΩ-ΝΟΣ

12 ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Ἀληθέστατα, ἔφη, δοκεῖς μοι λέγειν. Οὐκ ἄρα, ἦν δ' ἐγὼ, ἀποδεκτέον οὔτε Ὁμήρου οὔτε ἄλλου ποιητοῦ ταύτην τὴν ἁμαρτίαν περὶ τοὺς b θεοὺς ἀνοήτως ἁμαρτάνοντος, καὶ λέγοντος, ὡς

Δοιοὶ πίθοι κατακείαται ἐν Διὸς οὔδει,
κηρῶν ἔμπλειοι, ὁ μὲν ἐσθλῶν, αὐτὰρ ὁ δειλῶν·

13 καὶ ᾧ μὲν ἂν μίξας ὁ Ζεὺς ἀμφοτέρων δῷ,

ἄλλοτε μέν γε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῷ.

ᾧ δ' ἂν μὴ, ἀλλ' ἄκρατα τὰ ἕτερα,

τὸν δὲ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει· c

14 οὐδ' ὡς ταμίας ὁ Ζεὺς ἡμῖν

ἀγαθῶν τε κακῶν τε τέτυκται.

Τὴν δὲ τῶν ὅρκων καὶ σπονδῶν σύγχυσιν, ἣν ὁ Πάνδαρος συνέχεεν, ἐάν τις φῇ δι' Ἀθηνᾶς τε καὶ Διὸς γεγονέναι, οὐκ ἐπαινεσόμεθα· οὐδὲ θεῶν ἔριν τε καὶ κρίσιν διὰ Θέμιδός τε καὶ Διός· οὐδ' αὖ ὡς Αἰσχύλος λέγει, ἐατέον ἀκούειν τοὺς νέους, ὅτι

b 2. ἀνοήτως] οὕτως ἀνοήτως D. 4. δοιοὶ] δυοῖ B.D. 5. ἔμπλειοι] ἔμπλεοι C.F.G.I. ἔμπλειος D. Tum ὁ μὲν ἐσθλῶν om. B. 8. κακῶν—ἐσθλῶν] κακῷ—ἐσθλῷ B.C.F.G. κακῷ D.I. 10. ᾧδ' ἂν] ὅταν C.F.G. c. κακὴ βούβ.] καὶ ὁ βουβ. B. Tum δία D. 3. ἡμῖν om. B.C.D.F.G.I. ante ὁ Ζεὺς Plat. Supra ταμίαν D. Mox τε om. B. post κακῶν. 4. ὅρκων] τῶν ὅρκων B.C.D.F.G.I. 9. αὖ] ἂν F.

12 aliæ, quam deus, nobis requirendæ. Verissima loqui te puto. Sequitur ergo, nec Homerum, nec alium poëtam ullum audiendum, qui tam imprudenter in deos temereque peccet, ut dicat,

Dolia bina jacent magni sub limina Patris:
Mitibus hoc fatis plenum est, at tristibus illud.

13 Cæterum cui Jupiter ex utroque aliquid affuderit, hunc

Incertum modo læva premunt, modo læta sequuntur.

Cui vero secus, hoc est mera ex altero cuncta dederit,

Hunc dolor assiduus terrarum in sede fatigat.

14 Nec rursum ferendus qui dixerit, Jovem bonorum et malorum quæstorem nobis ac dispensatorem esse. Præterea si quis, quod jurisjurandi fœderumque religiones Pandarus conturbarit, id Minervæ Jovisque consilio factum esse scribet, nullo modo probabimus: uti nec deorum contentionem atque judicium ad Themidem Jovemque revocari. Similiter quominus illud Æschyli a junioribus audiatur, cavendum erit.

ΠΛΑ-
ΤΩ-
ΝΟΣ

Θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ. d

15 Ἀλλ' ἐάν τις ποιῇ ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι, τὰ τῆς
Νιόβης πάθη ἢ τὰ Πελοπιδῶν ἢ τὰ Τρωϊκὰ ἤ τι ἄλλο τῶν
τοιούτων, ἢ οὐ θεοῦ ἔργα ἐατέον αὐτὰ λέγειν, ἢ εἰ θεοῦ,
ἐξευρετέον αὐτοῖς σχεδὸν ὃν νῦν ἡμεῖς λόγον ζητοῦμεν, καὶ
λεκτέον ὡς ὁ μὲν θεὸς δίκαιά τε καὶ ἀγαθὰ εἰργάζετο, οἱ δὲ
ὠνίναντο κολαζόμενοι. Ὡς δ' ἄθλιοι μὲν οἱ δίκην διδόντες,
ἦν δὲ ὁ δρῶν ταῦτα θεός, οὐκ ἐατέον λέγειν τὸν ποιητήν.
16 Ἀλλ' εἰ μὲν ὅτι ἐδεήθησαν κολάσεως λέγοιεν ὡς ἄθλιοι οἱ
κακοί, διδόντες δὲ δίκην ὠφελοῦντο ὑπὸ τοῦ θεοῦ, ἐατέον. p. 644
17 Κακῶν δὲ αἴτιον φάναι θεόν τινι γίγνεσθαι ἀγαθὸν ὄντα,
διαμαχητέον παντὶ τρόπῳ, μήτε τινὰ ταῦτα λέγειν ἐν τῇ
ἑαυτοῦ πόλει, εἰ μέλλει εὐνομήσεσθαι, μήτε τινὰ ἀκούειν,
μήτε νεώτερον μήτε πρεσβύτερον, μήτε ἐν μέτρῳ μήτ' ἄνευ
μέτρου μυθολογοῦντα, ὡς οὔτε ὅσια ἂν λεγόμενα, εἰ λέγοιτο,
18 οὔτε ξύμφορα ἡμῖν οὔτε ξύμφωνα αὐτὰ αὐτοῖς. Ξύμψηφός

c 11. φύει] φύσει B. Mox δόμαν C.F.G. d 2. ἀλλ' ἐάν τις—αὐτὰ ἑαυτοῖς om. B. 4. ἢ οὐ] οὐ om. F. 6. λόγον ζητοῦμεν] ζη. λόγ. C.F.G. Mox δεκτέον C. 8. ὠνίναντο] ὤναντο C.D.F.G.I.
p. 644. οἱ καλοὶ] κακοὶ C.F.G.I. 4. ταῦτα λέγειν] λέγ. ταῦτα C. F.G. ταῦτα om. I. 5. μέλλει] μέλλοι C. μέλλοιεν F.G. 10. αὐτοῖς] ἑαυτ. C.F.G.

Deus mortalibus causam serit,
Domum ipse dum vult funditus pessundare.

15 At si quis funestos illos Niobes, aut Pelopidarum casus, vel Trojanas cala-
mitates, aut aliud quicquam ejusmodi versibus iambicis mandare voluerit,
aut permittendum ei non erit, ut abs deo facta illa esse dicat, aut si deo
tribuentur, ea tum forte ratio excogitanda illis erit, quam ipsimet investi-
gamus: atque ita loquendum, abs deo bona justaque profecta esse omnia,
nec minus iis qui punirentur fructuosa. At vero et miseros fuisse qui
pœnas eas sustinerent, illas tamen deum inflixisse, hoc ut poëta canat,
16 ferendum nunquam erit. Quod si homines improbos, utpote miseros,
animadversione opus habuisse dicerent, eamque dum subirent, opem sen-
17 sisse divinam, hactenus id tolerari possit. At deum, qui per sese bonus
sit, caussam ulli malorum esse, id vero ne aut a quoquam in sua civitate
dicatur, si eam modo recte institutam volet, aut ullus occinentem audiat,
omni ratione pugnandum erit, idque seu junior ille, seu senior fuerit, sive
stricta, sive soluta oratione dicatur: quod ista nec pie narrari possint, nec
18 ullam nobis utilitatem afferant, nec secum ipsa consentiant. Ego vero,

ΠΛΑ-ΤΩ-ΝΟΣ

σοι εἰμὶ, ἔφη, τούτου τοῦ νόμου, κἀμοὶ ἀρέσκει. Οὗτος μὲν
τοίνυν, ἦν δ' ἐγὼ, εἷς ἂν εἴη τῶν περὶ θεοῦ νόμων τε καὶ b
τύπων, ἐν οἷς δεήσει τούς τε λέγοντας λέγειν, καὶ τοὺς
[378] ποιοῦντας ποιεῖν, Μὴ πάντων αἴτιον τὸν θεὸν, ἀλλὰ τῶν
19 ἀγαθῶν. Καὶ μάλα, ἔφη, ἀπόχρη. Τί δὲ δὴ ὁ δεύτερος
ὅδε; Ἆρα γόητα τὸν θεὸν οἴει εἶναι, καὶ οἷον ἐξ ἐπιβουλῆς φαντάζεσθαι ἄλλοτε ἐν ἄλλαις ἰδέαις, τοτὲ μὲν αὐτὸν γιγνόμενον, καὶ ἀλλάττοντα τὸ αὑτοῦ εἶδος εἰς πολλὰς μορφὰς, τοτὲ δὲ ἡμᾶς ἀπατῶντα καὶ ποιοῦντα περὶ αὑτοῦ τοιαῦτα
δοκεῖν, ἢ ἁπλοῦν τε εἶναι, καὶ πάντων ἥκιστα τῆς αὑτοῦ ἰδέας c
20 ἐκβαίνειν; Οὐκ ἔχω, ἔφη, νῦν γε οὕτως εἰπεῖν. Τί δὲ τόδε; Οὐκ ἀνάγκη, εἴπερ τι ἐξίσταιτο τῆς αὑτοῦ ἰδέας, ἢ αὐτὸ ὑφ' αὑτοῦ μεθίστασθαι, ἢ ὑπ' ἄλλου; Ἀνάγκη. Οὐκοῦν ὑπὸ μὲν ἄλλου τὰ ἄριστα ἔχοντα ἥκιστα ἀλλοιοῦταί τε καὶ κινεῖται, οἷον σῶμα ὑπὸ σιτίων τε καὶ ποτῶν καὶ πόνων, καὶ πᾶν φυτὸν ὑπὸ εἰλήσεών τε καὶ ἀνέμων καὶ τῶν τοιούτων παθημάτων, οὐ τὸ ὑγιέστατόν τε καὶ χαριέστατον ἥκιστα

a 11. εἰμὶ] τούτοις εἰμὶ B. qui om. τούτου—ἀρέσκει. τοῦ νόμου] τοῦ om. F. b 2. δεήσει] δέει B. qui om. τούς τε λ. et καὶ τ. π. ποιεῖν. 4. μάλιστα] μάλα C.F.G. ἀπόχρη] ἀποχρήσας C.F.G. om. B. 5. ὅδε om. B. 7. αὐτὸν γιγν.] γιγν. αὐτὸν C.F.G. 10. δοκεῖν] δοκεῖ F. 11. ἥκιστα] ἥκιστος C. c 2. τί δὲ τόδε—ἀλλοιώσεις; ναὶ om. B. 3. ἐξίσταιτο F.G. 10. τε καὶ χαριέστατον] καὶ ἰσχυρότατον Plat.

inquit, legis tecum hujus auctor libenter fuerim, ita mihi placet. Hæc, igitur, inquam, ex iis legibus atque formis, quas ubi de deo loquendum erit, tam oratoribus quam poëtis, propositas esse oportebit, una esto, DEUM NON OMNIUM, SED BONORUM DUNTAXAT CAUSSAM ESSE. Placet, inquit,
19 abunde est. Hæc autem secunda, quid? An tu veneficum aliquem deum esse, et tanquam ex insidiis alia repente aliaque forma nobis apparere existimas; ita ut modo per sese talis ipse fiat, crebrisque mutationibus novum subinde vultum ac speciem induat; modo illudens oculis, ut ejusmodi videatur, efficiat? an potius simplicem esse illum, minimeque omnium formam suam exuere? Modo, inquit, quod tam universe respondeam non
20 habeo. Quid igitur ad hoc? Si quid formæ suæ mutationem subeat, nonne aut ipsum mutari per sese necesse est, aut ab alio? Necesse id quidem. Atqui vix ac ne vix quidem ab alio, quæ optime sese habent, mutari moverique solent: quo modo corpus a cibo, potu, laboribus, et quodvis plantæ genus, ab æstu, ventis, aliisque tempestatibus ita mutatur, ut tamen quod in eo genere sanissimum ac valentissimum est, id mutatio-

ΠΛΑΤΩΝΟΣ

21 ἀλλοιοῦται; Πῶς δ' οὔ; Ψυχὴν δὲ οὐ τὴν ἀνδρειοτάτην καὶ φρονιμωτάτην ἥκιστ' ἄν τι πάθος ἔξωθεν ταράξειέ τε καὶ d ἀλλοιώσειε; Ναί. Καὶ μήν που καὶ τάγε ξύνθετα πάντα σκεύη τε καὶ οἰκοδομήματα καὶ ἀμφιέσματα, κατὰ τὸν αὐτὸν λόγον, τὰ εὖ εἰργασμένα καὶ εὖ ἔχοντα ὑπὸ χρόνου τε καὶ τῶν ἄλλων παθημάτων ἥκιστα ἀλλοιοῦται. Ἔστι ταῦτα.

22 Πᾶν δὴ τὸ καλῶς ἔχον ἢ φύσει ἢ τέχνῃ ἢ ἀμφοτέροις ἐλαχίστην μεταβολὴν ὑπ' ἄλλου ἐνδέχεται. Ἔοικεν. Ἀλλὰ μὴν ὁ θεός γε, καὶ τὰ τοῦ θεοῦ πάντῃ ἄριστα ἔχει. Πῶς δ' οὔ; Ταύτῃ μὲν δὴ ἥκιστ' ἂν πολλὰς μορφὰς ἴσχοι ὁ θεός. Ἥκιστα δῆτα. Ἀλλ' ἆρα αὐτὸς αὑτὸν μεταβάλλοι ἂν καὶ p. 645

23 ἀλλοιοῖ; Δηλονότι, ἔφη, εἴπερ ἀλλοιοῦται. Πότερον οὖν ἐπὶ τὸ βέλτιόν τε καὶ κάλλιον μεταβάλλει ἑαυτὸν, ἢ ἐπὶ τὸ χεῖρον καὶ αἴσχιον αὑτοῦ; Ἀνάγκη, ἔφη, ἐπὶ τὸ χεῖρον ἑαυτοῦ, εἴπερ ἀλλοιοῦται. Οὐ γάρ που ἐνδεᾶ γε φήσομεν τὸν θεὸν κάλλους ἢ ἀρετῆς εἶναι. Ὀρθότατα, ἦν δ' ἐγώ, λέγεις. Καὶ οὕτως ἔχοντος, δοκεῖ ἄν τις σοι, ὦ Ἀδείμαντε,

c 11. αὐτὴν] οὐ τὴν C.G.I. et sic ni fallor mss. optimi Platonis. Alii αὐτὴν vel quod eodem redit αὖ τήν. αὐτὴν οὐ τὴν F. 12. τε καὶ] τε om. C. d 4. αὐτὸν] αὐτοῦ B. 10. ὁ θεός γε] γε ὁ θ. B.F.G. 12. ἴσχοι] ἴσχει B. ult. δῆτα] δὴ B.C.F.G.I.

p. 645. 3. τε καὶ] σε καὶ C. 4. ἀνάγκη] ἀνάγκη οὖν C.F.G. 5. χεῖρον] αἴσχιον B.C.E.F.G.I. Tum αὑτοῦ C.F. 6. φήσομεν] φήσομαι B. 7. λέγεις] λέγει F. 8. ἔχοντος] ἔχοντως C.

21 nem illam minime sentiat. Quis enim hoc neget? Animus igitur ipse, cum fortissimus idem sit ac prudentissimus, ab externa ulla vi minime perturbari mutarique poterit. Sane. Præterea, composita etiam omnia, ut vasa, ædificia, vestimenta, si modo recte confecta sint, partibusque suis omnibus absoluta, minimam similiter vel abs tempore, vel ab alia quavis

22 injuria mutationem subeunt. Ita est. Quicquid igitur vel abs natura, vel ab arte, vel ab utraque suam habet integritatem, id extrinsecæ mutationi minime obnoxium fuerit. Ita videtur. Jam vero, deus profecto, quæque dei sunt omnia, omni ex parte perfectissima sunt. Quis neget? Sequitur ergo deum multiplices aliunde formas subire non posse. Omnino sequitur. An vero per sese varias illas sui mutationes et conversiones efficiet? Effi-

23 ciet, inquit, si quando mutabitur. Utrum igitur in melius sese aliquid præstantiusque mutabit, an contra in deterius ac turpius? In deterius, inquit, necessario, si mutetur. Quippe, nunquam enim deo pulchritudinis quicquam aut virtutis deesse dixerimus. Rectissime loqueris, inquam. Sed, cum hoc ita sit, num tibi, o Adimante, deûm quisquam aut hominum,

ΠΛΑ-ΤΩ-ΝΟΣ

24 ἑκὼν αὑτὸν χείρω ποιεῖν ὁπῃοῦν ἢ θεῶν ἢ ἀνθρώπων; Ἀδύ-
νατον, ἔφη. Ἀδύνατον ἄρα, ἔφην, καὶ θεὸν ἐθέλειν αὑτὸν
ἀλλοιοῦν, ἀλλ', ὡς ἔοικε, κάλλιστος καὶ ἄριστος ὢν εἰς τὸ b
δυνατὸν ἕκαστος αὐτῶν μένει ἀεὶ ἁπλῶς ἐν τῇ αὑτοῦ μορφῇ.
Πᾶσα, ἔφη, ἀνάγκη ἔμοιγε δοκεῖ. Μηδεὶς ἄρα, ἦν δ' ἐγώ, ὦ
ἄριστε, λεγέτω ἡμῖν τῶν ποιητῶν, ὡς

θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν,
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας.

25 Μηδὲ Πρωτέως τε καὶ Θέτιδος καταψευδέσθω μηδείς, μὴ δ' ἐν
τραγῳδίαις μὴ δ' ἐν τοῖς ἄλλοις ποιήμασιν εἰσαγέτω Ἥραν
ἠλλοιωμένην, ὡς ἱέρειαν ἀγείρουσαν c

Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις.

26 Καὶ ἄλλα τοιαῦτα πολλὰ μὴ ἡμῖν ψευδέσθωσαν. Μὴ δ' αὖ
ὑπὸ τούτων ἀναπειθόμεναι αἱ μητέρες τὰ παιδία ἐκδειματούν-
των, λέγουσαι τοὺς μύθους κακῶς, ὡς ἄρα θεοί τινες περιέρ-
χονται νύκτωρ πολλοῖς ξένοις καὶ παντοδαποῖς ἰνδαλλόμενοι,
ἵνα μὴ ἅμα μὲν εἰς θεοὺς βλασφημῶσιν, ἅμα δὲ τοὺς παῖδας
27 ἀπεργάζωνται δειλοτέρους. Μὴ γάρ, ἔφη. Ἀλλ' ἄρα, ἦν

a 11. ἔφην om. B.C.F.G.I. b 3. αὑτοῦ] ἑαυτοῦ B. 6. ξείνοισιν] ξύνοισιν F.G. c. ὡς] εἰς F.G. ἀγείρουσαν] ἐγείρουσαν I. 2. βιοδώροις] βιόδωρος B.C.F.G.I. 6. κακῶν E. μύθους κακῶς I. 7. ξένοις] ζώοις B.E.F.G.I.

24 sese ullatenus deteriorem ultro facturus videtur? Fieri non potest, inquit. Nec fieri ergo potest, inquam, uti deus se ipsum mutare velit: sed potius, ut liquet, deorum quivis, cum pro se quam pulcherrimus quisque, atque optimus sit, sui semper omnino similis idemque manet. Prorsus hoc mihi necessarium videtur. Desinat ergo, vir optime, poëta quilibet, istuc nobis occinere,

Peregrino numina cultu,
Omnigenos induta habitus, nostra oppida lustrant.

25 Nec ullus in posterum de Proteo ac Thetide mendacia ista confingat: nec in tragœdiis, aut alio poëmatis genere Junonem introducat, quæ sacerdotis in speciem formamque mutata, almis illis Inachi Argivi fluvii liberis stipem corroget. Hæc aliaque id genus sexcenta nemo deinceps mentiatur.
26 Caveant præterea matres, ne hausta semel rerum istarum opinione filiolis terrorem injiciant, dum ejusmodi commenta perperam fabulantur, deos noctu nonnullos oberrare omnigenis hospitibus similes, ne simul injuriose de diis impieque loquantur, simul liberos quoque suos meticulosiores effi-
27 ciant. Cavendum id sane, inquit. Num vero, inquam, dii ut suapte

ΠΛΑΤΩΝΟΣ

δ' ἐγώ, αὐτοὶ μὲν οἱ θεοί εἰσιν οἷοι μὴ μεταβάλλειν, ἡμᾶς δὲ d ποιοῦσι δοκεῖν σφᾶς παντοδαποὺς φαίνεσθαι, ἐξαπατῶντες καὶ γοητεύοντες; Ἴσως, ἔφη. Τί δέ; Ἦν δ' ἐγώ, ψεύδεσθαι ὁ θεὸς ἐθέλοι ἂν ἢ λόγῳ ἢ ἔργῳ φαντάσματα προτείνων; Οὐκ
28 οἶδα, ἦδ' ὅς. Οὐκ οἶσθα, ἦν δ' ἐγώ, ὅτι τό γε ὡς ἀληθῶς ψεῦδος, εἰ οἷόν τε τοῦτ' εἰπεῖν, πάντες θεοί τε καὶ ἄνθρωποι μισοῦσι; Πῶς, ἔφη, λέγεις; Οἶσθά που, ἦν δ' ἐγώ, ὅτι τῷ κυριωτάτῳ ἑαυτῶν ψεύδεσθαι καὶ περὶ τὰ κυριώτατα οὐδεὶς ἑκὼν ἐθέλει, ἀλλὰ πάντων μάλιστα φοβεῖται ἐκεῖ αὐτὸ κεκτῆσθαι. Οὐδὲ
29 νῦν πω, ἦδ' ὅς, μανθάνω. Οἴει γάρ τι με, ἔφην, σεμνὸν
[379] λέγειν· ἐγὼ δὲ λέγω, ὅτι τῇ ψυχῇ περὶ τὰ ὄντα ψεύδεσθαί p. 646 τε καὶ ἐψεῦσθαι καὶ ἀμαθῆ εἶναι, καὶ ἐνταῦθα ἔχειν τε καὶ κεκτῆσθαι τὸ ψεῦδος πάντες ἥκιστ' ἂν δέξαιντο, καὶ μισοῦσι
30 μάλιστα αὐτὸ ἐν τῷ τοιούτῳ. Πολύ γ', ἔφη. Ἀλλὰ μὴν ὀρθότατά γ' ἄν, ὁ νῦν δὴ ἔλεγον, τοῦτο ὡς ἀληθῶς ψεῦδος καλοῖτο, ἡ ἐν τῇ ψυχῇ τοῦ ἐψευσμένου ἄγνοια· ἐπεὶ τό γε ἐν τοῖς λόγοις μίμημά τι τοῦ ἐν τῇ ψυχῇ ἐστὶ παθήματος

c 11. δ' ἐγὼ] δ' om. B. 12. μὴ om. B. d 2. ἐξαπατῶντες] ἐξ-απαντῶντες B. 6. ὡς ἀληθῶς] ὡς om. B.C.F.G.I. 9. Οὕτως] οἶσθά που C.E.F.G.I. οὕτως ἦν δ'—πολύ γ' ἔφη om. B. ult. ἔφη F.G.

p. 646. 4. αὐτῷ D. 6. γ' ἂν ὁ] γε ὁ B. γε ἂν ὂν ν. I. Mox ψεῦδος om. D. 9. ψυχῇ ἐστι] ἐστι om. B.

natura mutari non possint, id tamen illusionibus ac præstigiis quibusdam agunt, nobis ut omni formarum genere induti videantur? Fortean, inquit. Ego vero, Fierine possit, uti deus aut verbis, aut re ipsa, inanium figu-
28 rarum objecta specie mentiri velit? Nescio, inquit. Nescis tu, inquam, genus hoc mendacii, omnibus, ut ita loquar, diis et hominibus invisum esse? Clarius istuc obsecro. Nimirum, inquam, nemo est omnium, qui libenter, et parte sui præcipua, et præcipuis in rebus falli velit, imo qui non genus hoc mendacii præ cæteris omnibus reformidet. Ne nunc
29 quidem, inquit, satis id capio. Videlicet, inquam, mirum me aliquid dicere arbitraris. Ego vero tantum hoc dico, ita comparatos omnes esse, ut in rerum notionibus informandis, vel decipi se, vel deceptos aliquando esse, adeoque ignorantia laborare, conceptumque mendacium animo fovere, non tantum permoleste ferant, sed etiam ab eo hac in parte vehe-
30 menter abhorreant. Prorsus, inquit. Atqui, recte, inquam, omnino, quod jamjam abs me dicebatur, hoc est quæ in hominis decepti animo versatur ignorantia, mendacium appelletur; quod enim in verbis est positum, id ejus tantum, quod animum occupat, vitii imitatio quædam est,

καὶ ὕστερον γεγονὸς εἴδωλον, οὐ πάνυ ἄκρατον ψεῦδος· ἢ οὐχ
31 οὕτω; Πάνυ μὲν οὖν. Τὸ μὲν δὴ τῷ ὄντι ψεῦδος, οὐ μόνον b
ὑπὸ θεῶν, ἀλλὰ καὶ ὑπὸ ἀνθρώπων μισεῖται. Δοκεῖ μοι.
Τί δὲ δή; Τὸ ἐν τοῖς λόγοις ψεῦδος πότε καὶ ἐν τῷ χρήσι-
μον, ὥστε μὴ ἄξιον εἶναι μίσους; Ἆρ' οὐ πρός τε τοὺς
πολεμίους καὶ τῶν καλουμένων φίλων, ὅταν διὰ μανίαν ἤ τινα
ἄνοιαν κακόν τι ἐπιχειρῶσι πράττειν, τότε ἀποτροπῆς ἕνεκα,
32 ὡς φάρμακον χρήσιμον γίγνεται; Καὶ ἐν αἷς νῦν δὴ ἐλέγο-
μεν ταῖς μυθολογίαις, διὰ τὸ μὴ εἰδέναι ὅπη τἀληθὲς ἔχει
περὶ τῶν παλαιῶν, ἀφομοιοῦντες τῷ ἀληθεῖ τὸ ψεῦδος ὅτι c
μάλιστα, οὕτω χρήσιμον ποιοῦμεν; Καὶ μάλα, ἦδ' ὅς, οὕτως
ἔχει. Κατὰ τί δὴ οὖν τούτων τῷ θεῷ τὸ ψεῦδος χρήσιμον;
Πότερον διὰ τὸ μὴ εἰδέναι τὰ παλαιὰ ἀφομοιῶν ἂν ψεύδοιτο;
33 Γελοῖον μέντ' ἂν εἴη, ἔφη. Ποιητὴς μὲν ἄρα ἐν θεῷ ψευδὴς
οὐκ ἔνι; Οὔ μοι δοκεῖ. Ἀλλὰ δεδιὼς τοὺς ἐχθροὺς ἂν ψεύ-
δοιτο; Πολλοῦ γε δεῖ. Ἀλλὰ δι' οἰκείων ἄνοιαν, ἢ μανίαν;
Ἀλλ' οὐδεὶς, ἔφη, τῶν ἀνοήτων καὶ μαινομένων θεοφιλής.

ΠΛΑ-
ΤΩ-
ΝΟΣ

a 10. *ἄκρατον*] *σου κρᾶται* C. 11. *τὸ μὲν*] *τῷ μὲν* C. b. *οὐ μόνον*] *καὶ* B. Mox *ἀλλὰ* om. B. 3. *καὶ τί*] *καὶ ἐν τῷ* B.C.D.F.G.I. Tum *ἔσται* C. pro *ὥστε*. 6. *φίλων τινὰς*] *τινὰς* om. B.C.D.E.F.G.I. 9. *νῦν δὴ ἐλ.*] *δὴ ἐλ. νῦν* B. *νῦν* om. C.F.G. 10. *ὁπότ'*] *ὅπη τ'* B.C. c 3. *δή τι οὖν δὴ*] *τὶ δὴ* B.C.D.F.G. Mox *δὴ* om. B.C.F. *κατὰ τί οὖν δὴ* E.I. Tum *τὸ ψ. τῷ θ.* B. 4. *τὸ μὴ*] *μὴ* om. B. *ἀφ' ὁμ.* B.C. 5. *γελοῖον—ψεύδοιτο* om. B. 7. *θεῷ*] *τῷ* F. 8. *δεδιὼς δὲ τοὺς* D. 9. *οἰκείων*] *οἰκείαν* B.C.D.F.G.

expressumque posterius simulacrum, non autem purum omnino putumque
31 mendacium. An non ita est? Ita prorsus. Quod ergo re ipsa mendacium
est, id non dii modo, verum etiam homines exosum habent. Habent, ut
videtur. Jam vero quod in verbis inest mendacium, quando tandem, et
quod eam utilitatem habet, ut odio dignum haberi non debeat? Nonne
cum adversus hostes, tum etiam erga nonnullos eorum, quos amicos
vocamus, si quando vel acti furore, vel ignorantia lapsi, mali aliquid moli-
antur, ejus avertendi caussa, tanquam amuletum aliquod opportunum est?
32 Quinetiam in illis ipsis, de quibus paulo ante agebamus, fabulis, quod nos
rerum antiquarum veritas lateat, dum ad veri similitudinem mendacium
trahimus, nonne tum, ut aliquid ex eo fructus percipi possit, efficimus?
Certe, inquit. Quonam igitur ex illis nominibus, utile deo mendacium
esse queat? Utrum, quod rerum antiquarum ignoratione laboret, quadam
33 veri simulatione mentietur? Ridiculum, inquit, hoc fuerit. Mendax igitur
in deo poëta non est. Mihi quidem non videtur. An vero hostium metu?
Absit. An propter amicorum aut stultitiam aut furorem? At stultus,

ΠΛΑΤΩΝΟΣ

Οὐκ ἄρα ἐστὶν οὗ ἕνεκα ἂν θεὸς ψεύδοιτο; Οὐκ ἔστι.
Πάντῃ ἄρα ἀψευδὲς τὸ δαιμόνιόν τε καὶ τὸ θεῖον. Παντά- d
34 πασι μὲν οὖν, ἔφη. Κομιδῇ ἄρα ὁ θεὸς ἁπλοῦν καὶ ἀληθὲς
ἔν τ' ἔργῳ καὶ λόγῳ, καὶ οὔτε αὐτὸς μεθίσταται, οὔτε ἄλλους
ἐξαπατᾷ, οὔτε κατὰ φαντασίας, οὔτε κατὰ λόγους, οὔτε κατὰ
σημείων πομπάς, οὔθ' ὕπαρ, οὔτ' ὄναρ. Οὕτως ἔφη, ἔμοιγε
καὶ αὐτῷ φαίνεταί σου λέγοντος. Συγχωρεῖς ἄρα, ἔφη,
τοῦτον δεύτερον τύπον εἶναι, ἐν ᾧ δεῖ περὶ θεῶν καὶ λέγειν
καὶ ποιεῖν, ὡς μήτε αὐτοὺς γόητας ὄντας τῷ μεταβάλλειν
ἑαυτούς, μήθ' ἡμᾶς ψεύδεσι παράγειν ἐν λόγῳ ἢ ἐν ἔργῳ;
35 Συγχωρῶ. Πολλὰ ἄρα Ὁμήρου ἐπαινοῦντες ἄλλα, τοῦτο
οὐκ ἐπαινεσόμεθα, τὴν τοῦ ἐνυπνίου πομπὴν ὑπὸ Διὸς τῷ
Ἀγαμέμνονι· οὐδ' Αἰσχύλου, ὅταν φῇ ἡ Θέτις, τὸν Ἀ- p. 647
πόλλω ἐν τοῖς αὐτῆς γάμοις ᾄδοντα,

> Ἐνδατεῖσθαι τὰς ἐὰς εὐπαιδίας,
> νόσων τ' ἀπείρους, καὶ μακραίωνος βίου,
> ξύμπαντά τ' εἰπὼν, θεοφιλεῖς ἐμὰς τύχας

c 12. ἄρα ἐστιν ἀψευδὲς D. d. τε καὶ] τε om. B.C.F.G. 6. οὐδ' ὄναρ D.F.G. οὔθ' ante ὕπαρ om. F.G.I. 7. φαίνεται om. C.F.G. σου λέγοντος om. B.D. 8. δεῖ] δὴ C.D.F.G. 10. ἑαυτοὺς] αὐτοὺς F.G. 11. ψεύδεσι] ψεύδεσθαι B. qui om. ἐν ante ἔργῳ. 13. ἄλλα om. B.C.F.G.I.

p. 647. 2. αὐτῆς] αὐτοῦ F. 3. ἐνδαιτεῖσθαι] Dedi ἐνδατεῖσθαι ex Platone. 5. εἰπὼν] ἐπιὼν D.F.G.I. Mox παιῶνα et εὐθυμιῶν D. παίωμα F. παιῶνα ἐπευφήμισεν εὐθυμῶν G.

inquit, furiosusque nemo, amicus deo esse potest. Caussæ igitur nihil est, quamobrem mentiatur deus. Nihil. Semota ergo ab omni mendacio
34 est numinum deorumque natura. Omnino, inquit. Deus igitur quam simplicissimus est, idemque tam re, quam oratione verissimus, nec mutatur ipse, nec alios aut simulata specie, aut verbis, aut signorum ostentis, aut visis, aut somniis, in errorem inducit. Tibi plane assentior. Restat igitur, ut secundam hanc formam esse concedas, quam oratores et poëtæ, cum de diis loquuntur, intueri debeant, eos nec sese tanquam veneficos immutare, nec verbis, aut re ipsa mentiendo, nobis imponere. Concedo.
35 Itaque Homerum, ut in aliis plerisque laudemus, in eo tamen non laudabimus, quod somnium illud Agamemnoni a Jove immissum confinxerit. Nec Æschylum probabimus, cum Thetidem introducit, Apollinem, ipsum quem in suis illa nuptiis cantorem habuerat,

> Risisse sortem prolis egregiam suæ.
> Mihi nam valentes, atque longævos fore
> Dum caneret ipse liberos, nil insuper

ΠΛΑ-ΤΩ-ΝΟΣ

Παιὼν ἐπευφήμησεν, εὐθυμῶν ἐμέ.
Κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα
ἤλπιζον εἶναι, μαντικῇ βρύον τέχνῃ.
Ὁ δ' αὐτὸς ὑμνῶν, αὐτὸς ἐν θοίνῃ παρὼν,
αὐτὸς τάδ' εἰπὼν, αὐτός ἐστιν ὁ κτανὼν
τὸν παῖδα τὸν ἐμόν.

36 a Ὅταν τις τοιαῦτα λέγῃ περὶ θεῶν, χαλεπανοῦμέν τε καὶ χορὸν οὐ δώσομεν, οὐδὲ τοὺς διδασκάλους ἐάσομεν ἐπὶ παι- b δείᾳ χρῆσθαι τῶν νέων, εἰ μέλλουσιν ἡμῖν οἱ φύλακες θεοσεβεῖς τε καὶ θεῖοι γίγνεσθαι, καθόσον ἀνθρώπῳ ἐπὶ πλεῖστον οἷόν τε. Παντάπασιν, ἔφη, ἔγωγε τοὺς τύπους τούτους συγχωρῶ, καὶ ὡς νόμοις ἂν αὐτοῖς χρῴμην.

37 Ταῦτα μὲν ὁ Πλάτων. Εὕροις δ' ἂν τὴν Ἑβραίων γραφὴν οὐδαμῶς μὲν μύθους αἰσχροὺς περὶ τοῦ τῶν [380] ὅλων Θεοῦ ἀλλ' οὐδὲ περὶ τῶν ἀμφ' αὐτὸν θείων ἀγγέλων οὐδέ γε περὶ τῶν θεοφιλῶν ἀνδρῶν ὁμοίως ταῖς Ἑλληνικαῖς θεολογίαις περιέχουσαν, τὸν δὲ ὑπὸ τοῦ Πλάτωνος ἐκτεθέντα τύπον, ὅτι τε ἀγαθὸς ὢν ὁ Θεὸς c

a 10. αὐτὸς τάδ'—περιέχουσαν om. B. b. παιδίᾳ D. 3. θεῖοι] θεοὶ D.F.G.I. Mox ἀνθρώπων D. 5. ἔγωγε] γε om. C.F.G.I. 7. ἢδ' Ἑβραίων γραφή D. 9. ἀλλ' om. D. 11. μυθολογίαις] θεολογίαις F.G.I. 12. τοῦ Πλάτ.] τοῦ om. B. Supra περιέχουσαι E. c. ὢν ὁ] ὢν om. B.

Non sponte Pæon addidit, charam deis
Vocans parentem, meque lætitia efferens.
Equidem subire fraudis ac falsi nihil
Divina vatis ora crediderum sacri.
Ille ipse præco noster, ac mensæ comes,
Cuncta illa jactans, filium occidit meum.

36 Hæc similiaque de diis a quocunque dicantur, feremus graviter, nec legendi docendique chori potestatem ei faciemus, nec iis præceptores in junioribus informandis abuti patiemur; si modo reipublicæ nostræ custodes religiosos, et quantum homini licet, divinos habere cupiamus. Ego vero, inquit, formas illas vehementer probo, iisque tanquam legibus maxime uti velim.

37 Hactenus Plato. Jam in Hebræorum literis, nusquam omnino, turpes de universi moderatore Deo, ac ne de divinis quidem ipsius angelis, imo nec de hominibus etiam Deo caris fabulas, Græcis illis similes reperias. At sancitam illam a Platone formam passim inve-

τυγχάνει, καὶ τὰ πρὸς αὐτοῦ γεγονότα πάντα τοι-
38 αῦτα. Ἐφ' ἑκάστῳ δ' οὖν τῶν δημιουργημάτων ὁ θαυμάσιος Μωσῆς ἐπιλέγει, Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν· ἐπί τε πᾶσι τὸν περὶ πάντων συγκεφαλαιούμενος λόγον φησὶ, Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. Δόγμα δ' Ἑβραίων ἐστὶ καὶ τὸ μὴ εἶναι τὸν Θεὸν κακῶν αἴτιον, εἰ δὴ ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου· φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν d
39 κόσμον. Διὸ καὶ παρὰ τῷ προφήτῃ εἰσῆκται λέγων ὁ Θεὸς πρὸς τὸν ἐξ οἰκείας προαιρέσεως κακὸν γεγενημένον, Ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον, πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς τὰ ὀπίσω ἡ ἄμπελος ἡ ἀλλοτρία; Εἰ δέ που λέγοιτο κακὰ τοῖς φαύλοις ἐκ Θεοῦ συμβαίνειν, ὁμωνύμως ἀκουστέον, ὡς τῶν τιμωριῶν οὕτω κεκλημένων, ἃς ἀγαθὸς ὢν ὁ Θεὸς οὐκ ἐπὶ βλάβῃ

c 5. τὸν περὶ πάντων om. B. 7. πάντα] τὰ πάντα D. 8. δ' ἑβραίων] ἑβραικὸν B. d 3. κακὸν] καὶ B. Mox δὲ et σε om. B. δὲ om. C.F.G. 9. ἃς om. F.

nias licet, non modo bonum esse Deum, sed etiam quæcunque fecerit,
38 in bonitatis suæ communionem vocasse. Sane quidem admirabilis ille Moses, post operis cujuslibet enarrationem adjungit, *Et vidit Deus quod bonum erat:* idemque post omnium expositionem, de universis universe ita concludit, *Et vidit Deus omnia quæ fecerat, et erant valde bona.* (Gen. 1, 31.) Præterea, commune Hebræorum dogma hoc est, malorum auctorem Deum non esse. Siquidem nec mortem fecit Deus, nec viventium interitu delectatur. Ut enim essent, omnia creavit, suntque salutares ex sese mundi generationes: *Invidia autem*
39 *diaboli mors intravit in mundum.* (Sap. 2, 24.) Quamobrem a propheta Deus etiam introducitur, cum eo qui suapte voluntate malus evaserat, hunc in modum expostulans: *Ego autem plantavi te vineam fructiferam, totam veram: quomodo conversa es retro, vinea aliena?* (Jer. 2, 21.) Sicubi autem improbis divinitus evenire mala dicuntur, id accipiendum ita est, ut mala solius communione vocis pœnæ illæ nominentur, quas Deus per

τῶν τιμωρουμένων ἐπ' ὠφελείᾳ δὲ καὶ συμφέροντι λέ-
γεται ἐπάγειν· ὥσπερ ἂν καὶ ἰατρὸς ἐπὶ σωτηρίᾳ τῶν p. 648
καμνόντων κακὰ νομίζοιτο προσφέρειν τὰς ἀλγεινὰς καὶ
40 πικρὰς θεραπείας. Διὸ καὶ ἐπὶ τῆς θείας γραφῆς ἔνθα
εἴρηται κακὰ ἀνθρώποις ἐπάγεσθαι ὑπὸ τοῦ Θεοῦ, τὰ
παρὰ τῷ Πλάτωνι λεκτέον, ὡς ὁ μὲν Θεὸς δίκαιά τε καὶ
ἀγαθὰ εἰργάζετο, καὶ ὅτε τὰ σκυθρωπὰ καὶ ἀνθρώποις
κακὰ νενομισμένα τοῖς τούτων ἀξίοις ἐπῆγεν, οἱ δὲ
ὤναντο κολαζόμενοι, οὐ μόνον κατὰ τὸν φιλόσοφον ἀλλὰ
καὶ κατὰ τὴν Ἑβραίων γραφὴν λέγουσαν, Ὃν γὰρ
ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν πα- b
41 ραδέχεται. Ὡς δ' ἄθλιοι μὲν οἱ δίκην διδόντες, ἦν δ' ὁ
δρῶν ταῦτα ὁ Θεὸς, οὐκ ἐατέον λέγειν τὸν ποιητὴν,
ἀλλ' εἰ μὲν ὅτι ἐδεήθησαν κολάσεως λέγοιεν ὡς ἄθλιοι
κακοὶ, διδόντες δὲ δίκην ὠφελοῦντο ὑπὸ τοῦ Θεοῦ,
ἐατέον· κακῶν δὲ αἴτιον φάναι Θεόν τινι γίγνεσθαι,

p. 648. 5. τῷ Πλάτ.] τῷ om. B. 7. ὅτι] ὅτε B.C.D.F.G.I. 9. ὤνανται] ὤναντο B.C.D.F.G.I. ὤναντα E. b. ὡς δ' ἄθλιοι—ἐατέον κακῶν om. B. qui pergit, τὸ δὲ φάναι θεὸν αἴτιον τῶν κακῶν τινί. 4. ἐδεήθη D. 5. διδόντες δὲ] δὲ om. F.G.

sese bonus, ad eorum, quibus immittuntur, non perniciem, sed utilitatem et commodum infligere dicatur: quemadmodum medicus, qui ad laborantium salutem, molestum et grave curationis genus adhi-
40 beret, malum iis afferre putaretur. Quare in divinis etiam paginis, ubicunque a Deo mala hominibus immitti dicuntur, usurpanda sunt illa Platonis, abs Deo justa bonaque proficisci omnia, quæque hominibus tristia malaque videri solent, dignis quibusdam infligi; cæterum qui puniantur, fructum ex iis capere: quod non tantum a philosopho, sed etiam a scriptura confirmatur, dum ait, *Quem enim diligit Do-* Heb. 12, 6.
41 *minus, castigat; flagellat autem omnem filium, quem recipit.* At vero, et miseros fuisse, qui pœnas eas sustinerent, et illas tamen Deum immisisse, hoc ut poëta canat, ferendum nunquam erit. Quod si homines improbos, utpote miseros, animadversione opus habuisse dicerent, eamque dum subirent, opem sensisse divinam; hactenus id tolerari possit. Deum autem, qui per sese bonus sit, caussam ulli malorum esse, id vero ne unquam dicatur, omni ratione pugnandum

Prov. 3, 12.

42 ἀγαθὸν ὄντα, διαμαχητέον παντὶ τρόπῳ. Ἀλλὰ καὶ
περὶ τοῦ μὴ ἀλλοιοῦσθαι τὸν Θεὸν ἡ παρ᾽ Ἑβραίοις
προφητεία ὧδέ πη ἐκ προσώπου τοῦ Θεοῦ διδάσκει λέ-
γουσα, Διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐκ ἠλλοίωμαι.
Καὶ ἐν ταῖς θεολογίαις δὲ ὁ Δαβὶδ ἀναφωνεῖ λέγων, c
Πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον
ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ
43 τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Εἰ δέ πη τὸν τοῦ Θεοῦ
Λόγον εἰσάγουσιν ἐν εἴδει καὶ σχήματι ἀνθρωπείῳ παρα-
φαινόμενον, λεκτέον, ὡς οὐ κατὰ τοὺς Ἑλλήνων μύθους
ὁμοίως Πρωτεῖ καὶ Θέτιδι καὶ Ἥρᾳ, οὐδ᾽ ὡς οἱ θεοὶ οἱ
περιερχόμενοι νύκτωρ πολλοῖς ζῴοις καὶ παντοδαποῖς
ἰνδαλλόμενοι, καὶ τὸν τοῦ Θεοῦ Λόγον ἀνθρώποις πε-
φηνότα εἰσάγουσιν οἱ Ἑβραίων λόγοι, ἀλλ᾽ ὡς αὐτὸς ὁ d
Πλάτων δεῖν ποτέ φησιν ἐπὶ φίλων εὐεργεσίᾳ, ὅταν διὰ
μανίαν ἤ τινα ἄνοιαν κακόν τι ἐπιχειρῶσι πράττειν, τότε
ἀποτροπῆς ἕνεκα ὡς φάρμακον χρήσιμον γενέσθαι τὴν

b 9. προφητεία] σοφία B.D. 10. θεοῦ] θεοῦ φησί. διότι B. 11. ὑμῶν] ἡμῶν C.F.G. Supra κἀγὼ D. 12. δὲ ὁ δαβὶδ ἀναφ.] ἀναφ. ὁ δα. B. πρὸς τὸν θεὸν addunt C.F.G. post ἀναφ. c 2. εἱλίξεις I. 5. ἀνθρωπίνῳ] ἀνθρωπείῳ B.C.F.G.I. 8. οἱ θεοὶ οἱ περ.] οἱ περ. θεοὶ B.

42 erit. Præterea Deum mutari non posse docet Hebræus propheta,
Mal. 3, 6. ubi sic ejus ex persona loquitur: *Quoniam ego Dominus Deus vester,*
et non mutor. Similiter David in sua illa theologia, sic exclamat:
Ps. 102, *Omnes sicut vestimentum, veterascent, et sicut opertorium convolves*
26, 27. *illos, et mutabuntur. Tu autem idem ipse es, et anni tui non deficient.*
43 Ubi autem Dei Verbum, forma specieque humana indutum, Hebræo-
rum literæ repræsentant, dicendum enimvero, non quomodo Græ-
corum fabulæ de Proteo, Thetide, ac Junone memorant, aut quales
deos illos jamjam audiebamus noctu multis animantibus atque
omnigenis similes oberrare, divinum hoc Verbum sese hominibus
exhibens ab illis introduci: sed potius, quemadmodum Plato ipse
docet, ut opis in amicos aliquid ac beneficii conferatur, si quando vel
ob furorem, vel ob stultitiam mali quidpiam moliantur, tum ejus
amoliendi caussa, tanquam salutare quoddam amuletum, Dei apud

44 τοῦ Θεοῦ εἰς ἀνθρώπους πάροδον. Ἐπεὶ οὖν τῶν ἐπὶ γῆς ζῴων οὐδὲν ἦν θεοφιλέστερον γένος ἀνθρώπου, συγγενές τε καὶ οἰκεῖον τῷ τοῦ Θεοῦ Λόγῳ, παρ' οὗ καὶ λογικὸς τὴν τῆς ψυχῆς φύσιν ἀπείργαστο, εἰκότως, οἷα φίλου ζῴου κηδόμενον, τὸν ἐπουράνιον Λόγον ἥκειν ἐπὶ θεραπείᾳ φασὶ παντὸς τοῦ γένους, νόσον καὶ μανίαν ἔκτοπον ὑπομείναντος, ὡς μήτε τὸν Πατέρα γινώσκειν Θεὸν, μήτε τὴν οἰκείαν τῆς νοερᾶς φύσεως οὐσίαν, μήτ' p. 649
αὖ Θεοῦ πρόνοιαν, σώτειραν τῶν ὅλων, εἰς ἀλόγου δὲ
[381] 45 ζῴου σχεδὸν ὅσον παρατροπὴν ἥκοντος. Διὸ δὴ τὸν Σωτῆρα καὶ ἰατρὸν ἐπιστῆναι λέγουσιν, οὐ μὲν δὴ τῆς οἰκείας ἐκστάντα φύσεως, οὐδέ γε ψευσάμενον τοὺς ὁρῶντας, ἄμφω δὲ ἀληθῆ φυλάξαντα τό τε ἀφανὲς καὶ τὸ ὁρώμενον. Πῇ μὲν γὰρ ἀληθὴς ἄνθρωπος ἑωρᾶτο, πῇ δὲ Θεοῦ Λόγος ἦν ἀληθὴς, οὐ γοητεύων, οὐδὲ τοὺς θεωμένους ἐξαπατῶν· ἐπειδὴ τὸ θεῖον ἀψευδὲς καλῶς

ipsum esse, ita quoque ratiocinemur. Necesse est enim mori sit alterum de duobus, ut aut in nihilum mortuus intereat, ac sensus omnino mors omnes auferat; aut in alium quendam locum, ut vulgo dictitant, ex his locis morte migretur. Quamobrem sive sensus extinguitur, morsque ei somno similis est, qui nonnunquam etiam sine visis somniorum, placa-
10 tissimam quietem affert, dii boni, quid lucri est emori? Equidem sic existimo, si cui tanquam eximia seponenda nox illa fuerit, quam sine molestia somniorum ulla traduxerit, licet cum ea dies vitæ noctesque universas conferendo, quam multas toto illo spatio jucundius ac suavius egerit, aperiat, has, ab eo quidem, ut rex potentissimus fuerit, nedum ut privatus quispiam, præ aliarum multitudine, facile admodum numeratum
11 iri. Itaque si mors ejusmodi aliquid est, mortem in lucro pono: cum ei nocti similis futura sit perpetuitas omnis consequentis temporis. Sin aliqua veluti migratio est in alias quasdam oras, veraque sunt ea quæ

ΠΛΑ-ΤΩ-ΝΟΣ

καὶ ἀληθῆ ἐστὶ τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσὶν ἅπαντες οἱ
τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικα-
σταί; Εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τούτων
τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικα-
στάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδά-
μανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος, καὶ ἄλλοι ὅσοι τῶν b
ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν
12 εἴη ἡ ἀποδημία; Ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ
καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ᾽ ἂν ὑμῶν;
Ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι, εἴπερ ταῦτά ἐστιν
ἀληθῆ, ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ
αὐτόθι, ὁπότε ἐντύχοιμι Παλαμήδει καὶ Αἴαντι τῷ Τελα-
μῶνος καὶ εἴ τις ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄδικον τέθνη- c
κεν· ἀντιπαραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων,
ὡς ἐγῷμαι, οὐκ ἂν ἀηδὲς εἴη. Καὶ δὴ καὶ τὸ μέγιστον, τοὺς
ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα ὥσπερ τοὺς ἐνταῦθα διάγειν,
τίς αὐτῶν σοφός ἐστι, καὶ τίς οἴεται μέν, ἔστι δ᾽ οὔ.

13 Καὶ παρ᾽ ἡμῖν, Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον, ἢ ἀνθρώ-

a 7. τί μεῖζον] τὸ μ. C. Mox τούτῳ B. ἂν om. D. 11. καὶ λέγονται] κελεύονται B.D. b 3. ἡ ἀποδημία] ἡ om. C.F.G. 6. δέξαιτ᾽ ἂν] δέξαιτο B. om. D. καὶ πολλάκις] καὶ om. C.F.G. 8. ἂν εἴη ἡ διατριβὴ αὐτόθι] ἐστιν ἡ ἐκεῖσε διατριβὴ B.D. ἐστιν ἡ δ. αὐτόθι C.F.G. 9. Παλαμήδει] Παλαμήδῃ F.G. c 3. εἴη] εἶναι B.D.F.G.I. 7. θεῷ μᾶλλον] μᾶλλον θεῷ C.F.G.

dicuntur, qui e vita excesserunt, illas universos incolere: quid jam eo beatius est, judices, te cum ab iis, qui se judicum numero haberi volunt, evaseris, ad eos devenire, qui vere judices appellentur, Minoem, Rhadamanthum, Æacum, Triptolemum, convenireque heroes illos, qui juste et cum fide vixerint? Hæc peregrinatio vilisne vobis et contemnenda videri potest?
12 Ut vero colloqui cum Orpheo, Musæo, Hesiodo, Homero liceat, quanti tandem æstimatis? Equidem sæpe mori vellem, ut ea quæ dico mihi liceret invenire. Quanta porro delectatione afficerer, cum Palamedem, cum Ajacem olim illum Telamonis filium, cum veteres alios judicio iniquorum circumventos atque damnatos convenirem? Quidni enim jucundum mihi foret, meam cum eorum casibus fortunam componere? Illud vero, quanti fieri debeat eos etiam qui illic versentur, perinde ut qui hac in vita degunt, tentare scrutarique posse, quis ex omnibus vere sapiat, quis tantum opinione tenus?

13 Hæc ille. Quibus nostra hæc gemina, *Obedire oportet Deo magis,* Act. 5, 29.

ποις, εἴρηται. Καὶ, Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν οὐ δυναμένων ἀποκτεῖναι. Εἰδέναι τε, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς· ὅτι τε ἐκδημοῦντες ἀπὸ τοῦ σώματος, ἐνδη- d μοῦμεν τῷ Κυρίῳ, ὃς καὶ πᾶσι τοῖς εἰς αὐτὸν ἠλπικόσιν ἐπήγγελται εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἀναπαύσεσθαι, μετά τε τῶν ἄλλων παρ' Ἑβραίοις θεοφιλῶν προφητῶν τε καὶ δικαίων ἐν μακαρίᾳ ζωῇ τὸν μακρὸν αἰῶνα διάξειν.

11 Τῶν δὲ δὴ ἀποθανόντων ἐπὶ στρατείας ὃς ἂν εὐδοκιμήσας p. 663

ΠΛΑΤΩΝΟΣ [388] τελευτήσῃ, ἆρ' οὐ πρῶτον μὲν φήσομεν τοῦ χρυσοῦ γένους εἶναι; Πᾶν γε μάλιστα. Ἀλλ' οὐ πεισόμεθα Ἡσιόδῳ, ἐπειδάν τινες τοῦ τοιούτου γένους τελευτήσωσιν, ὡς ἄρα

Οἱ μὲν δαίμονες ἁγνοὶ ἐπιχθόνιοι τελέθουσιν,
ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες μερόπων ἀνθρώπων;

Πεισόμεθα μὲν οὖν. Διαπυθόμενοι ἄρα τοῦ θεοῦ πῶς χρὴ

c 8. τὸ σῶμα] τὰ σώματα C. Supra ἀποκτενόντων D.F.G.I. 9. οὐ] μὴ B. d 2. ὃς καὶ πᾶσι etc. om. B. usque ad fin. cap.

p. 663. δὲ δὴ] δὴ om. B. 2. τελευτήσῃ] τελευτῆσαι B. ἆρ' οὐ] ἆρ' οὖν D. 4. Πᾶν] πάντων Plat. et sic Theodoret. p. 118, 36. πάνυ F.G. 8. ἀλεξίκακοι] ἀνεξίκακοι F. 10. διαπυθόμενοι] διαπειθόμενοι D.

Mat. 10, 28. 2 Cor. 5, 1, 8. *quam hominibus. Nolite timere eos, qui occidunt corpus, animam autem non possunt occidere. Scire etiam, quod si terrestris domus nostra hujus habitationis dissolvatur, ædificationem ex Deo habemus, domum non manu factam, æternam in cœlis. Et peregrinantes a corpore, versamur cum Domino;* qui etiam omnibus, qui in eum speraverint, suavem in Abrahæ, Isaaci, et Jacobi sinu quietem, atque in cæterorum prophetarum justorumque consortio, qui Hebræos inter Deo cari fuerint, sempiternæ vitæ felicitatem pollicetur.

11 Plato Rep. 5. p. 468. extr. Jam vero, inquit Plato, qui post egregia virtutis exempla, honestam in bello mortem occubuerint, numquid eos in primis ex aureo illo genere fuisse dicemus? Maxime vero. Num etiam Hesiodum audiemus, dum ex eo genere qui vivendi finem fecerint, de illis ita pronuntiat,

Sunt alii Heroes casti, terrasque frequentant,
Atque ultro mala depellunt, hominesque tuentur?

Sane audiemus. Consulto itaque numine, quonam heroes illos ac semi-

ΠΛΑ-ΤΩ-ΝΟΣ

τοὺς δαιμονίους τε καὶ θείους τιθέναι καὶ τίνι διαφόρῳ, οὕτω b καὶ ταύτῃ θήσομεν ᾗ ἂν ἐξηγῆται; Τί δ' οὐ μέλλομεν; Καὶ τὸν λοιπὸν δὴ χρόνον ὡς δαίμονας γεγονότας οὕτω θεραπεύσομέν τε καὶ προσκυνήσομεν αὐτῶν τὰς θήκας· τὰ αὐτὰ δὲ ταῦτα νομιοῦμεν, ὅταν τις γήρᾳ ἤ τινι ἄλλῳ τρόπῳ τελευτήσῃ, τῶν ὅσοι ἂν διαφερόντως ἐν τῷ βίῳ ἀγαθοὶ κριθῶσι.

2 Καὶ ταῦτα δὲ ἁρμόζει ἐπὶ τῇ τῶν θεοφιλῶν τελευτῇ, οὓς στρατιώτας τῆς ἀληθοῦς εὐσεβείας οὐκ ἂν ἁμάρτοις εἰπὼν, παραλαμβάνεσθαι. Ὅθεν καὶ ἐπὶ τὰς θήκας αὐτῶν ἔθος ἡμῖν παριέναι, καὶ τὰς εὐχὰς παρὰ ταύταις ποιεῖσθαι, τιμᾶν τε τὰς μακαρίας αὐτῶν ψυχὰς, ὡς c
3 εὐλόγως καὶ τούτων ὑφ' ἡμῶν γιγνομένων. Ἀλλὰ γὰρ ἡμεῖς μὲν ταῦτα ἐκ τῶν Πλάτωνος ἀνελεξάμεθα· φιλόκαλος δέ τις ἄλλος καὶ τούτων ἔτι πλείω ἂν εὕροι παρὰ τῷ αὐτῷ σύμφωνα τοῖς ἡμετέροις δόγμασι, τάχα δὲ καὶ

a 11. θείους] θεοὺς F. b. καί τινι] ἤ τινι G. καὶ ταύτην] οὖν B. καὶ ταύτῃ ed. Viger. Secus mss. 2. καὶ τὸν λοιπὸν δὴ] καὶ et δὴ om. B.C.F.G. καὶ om. D.I. 6. ὅσοι ἂν] ἂν om. B. 7. διαφερόντως τῶν θεοφιλῶν ἐν τῷ D. 10. οὐκ ἂν—ὅθεν καὶ] δέον εἰπεῖν B. ἁμάρτης pro -οις D. 11. θήκας] θήκας δὲ B. ἔθος ἡμῖν παριέναι] ἴσομεν B. 12. ποιεῖσθαι τιμᾶν τε] ποιῶμεν τιμῶμεν B. Supra ταύτας D. c. ὡς εὐλόγως—ἡμεῖς om. B. qui pergit καὶ ταῦτα μὲν et om. ἀνελεξάμεθα—ἑτέροις, qui pro seqq. habet, ἐπεὶ δὲ καὶ ἄλλοι προλαβόντες τῆς αὐτῆς ἐφήψαντο ὑποθέσεως, θετέον καὶ τὰ τούτων. πρῶτον δὲ Ἀριστ. 5. εὕροι ἂν F.G.

deos ritu, quove discrimine consecrari oporteat, religiose omnino quicquid responderit, observabimus. Enimvero faciendum id erit. Tum illos deinceps tanquam heroas venerabimur, eorumque sepulcra sanctiore cultu prosequemur. Eadem porro statuimus, ubi quis post vitam cum excellentis probitatis opinione traductam, supremum aut senio, aut alio quovis modo diem obierit.

2 Hæc Plato. Quæ quidem in hominum deo carissimorum obitus egregie conveniunt, quos veræ pietatis milites jure appellaris. Nam et eorum sepulcra celebrare, et preces ibi votaque nuncupare, et beatas illorum animas venerari consuevimus, idque a nobis merito
3 fieri statuimus. Atque ex Platonis operibus hæc a nobis selecta sunt: plura studiosus quilibet, nec apud ipsum modo, sed etiam fortassis apud alios, cum nostræ doctrinæ rationibus convenientia repe-

Martyrum cultus.

παρ' ἑτέροις. Ἐπεὶ δὲ τῆς αὐτῆς ἡμῖν ὑποθέσεως προλαβόντες ἐφήψαντο καὶ ἄλλοι, εὖ μοι δοκεῖ ἐπισκέψασθαι δεῖν καὶ τὰ τούτοις πεπονημένα. Παραθήσω δὲ πρώτου Ἀριστοβούλου, τοῦ ἐξ Ἑβραίων φιλοσόφου, τὰς οὕτως ἐχούσας φωνάς· d

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

12 Φανερὸν ὅτι κατηκολούθησεν ὁ Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ, καὶ φανερός ἐστι περιειργασμένος ἕκαστα τῶν ἐν p. 664 αὐτῇ. Διηρμήνευται γὰρ πρὸ Δημητρίου τοῦ Φαληρέως δι' ἑτέρων, πρὸ τῆς Ἀλεξάνδρου καὶ Περσῶν ἐπικρατήσεως, τά τε κατὰ τὴν ἐξαγωγὴν τὴν ἐξ Αἰγύπτου τῶν Ἑβραίων ἡμετέρων δὲ πολιτῶν, καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια, καὶ κράτησις τῆς χώρας, καὶ τῆς ὅλης νομοθεσίας ἐπεξήγησις, ὡς εὔδηλον εἶναι τὸν προειρημένον φιλόσοφον εἰληφέναι πολλά· γέγονε γὰρ πολυμαθής, καθὼς καὶ Πυθαγόρας πολλὰ τῶν παρ' ἡμῖν μετενέγκας εἰς τὴν ἑαυτοῦ b
2 δογματοποιίαν κατεχώρησεν. Ἡ δ' ὅλη ἑρμηνεία τῶν διὰ τοῦ νόμου πάντων ἐπὶ τοῦ προσαγορευθέντος Φιλαδέλφου

c 7. δὲ] δὴ D. d. φωνὰς] φωνὰς θετέον B.
p. 664. 2. πρὸ Δημητρίου—δι' ἑτέρων insititia putat Valckenærius Diatr. de Aristob. p. 49. 3. πρὸ] πρὸς B. 4. τὴν ἐξ. τὴν ἐξ Αἰγ.] τὴν ἐξ Αἰγ. ἐξ. B. 7. κράτησις] κατάσχεσις B. 8. ἐπεξήγησις] ἐξήγησις B. 9. προειρημένον φιλόσοφον] Πλάτωνα B. qui om. γέγονε γὰρ πολυμαθής. b. κατεχώρισεν] κατεχώρησεν C.F. ut Valckenær. Diatr. de Aristob. p. 66.

riat. Et quoniam hoc ipsum argumentum ante nos alii quoque nonnulli occuparunt, operæ pretium videtur, huc etiam ex eorum scriptis aliqua transferre. Primus esto Aristobulus, Hebræus philosophus, cujus verba hæc sunt ipsissima.

12 Satis constat, inquit, legum nostrarum instituta sequutum esse Platonem, et singula earum capita diligenter ac studiose perlegisse. Nam etiam ante Demetrium illum Phalereum, adeoque ante Alexandri ac Persarum imperium, ea jam omnia Græce ab aliis conversa fuerant, quibus illa Hebræorum popularium nostrorum ex Ægypto migratio, tum eorum series, quæ cœlitus ipsis evenere, promissæ regionis occupatio, et universæ legis expositio continetur: nemini ut dubium esse possit, quin suos in libros laudatus inde philosophus pleraque derivarit. Fuit enim is lectionis plurimæ, quemadmodum et Pythagoras, qui e nostris selecta quoque per-
2 multa suis illis decretis inseruit. Post, regis Ptolemæi cognomento Philadelphi, avi tui tempore, qui omnes hoc in genere studio et magnificentia

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

βασιλέως, σοῦ δὲ προγόνου, προσενεγκαμένου μείζονα φιλοτιμίαν, Δημητρίου τοῦ Φαληρέως πραγματευσαμένου τὰ περὶ τούτων.

3 Εἶτα μεταξύ τινα εἰπὼν, ἐπιφέρει λέγων,

Δεῖ γὰρ λαμβάνειν τὴν θείαν φωνὴν οὐ ῥητὸν λόγον, ἀλλ' ἔργων κατασκευὰς, καθὼς καὶ διὰ τῆς νομοθεσίας ἡμῖν ὅλην τὴν γένεσιν τοῦ κόσμου Θεοῦ λόγους εἴρηκεν ὁ Μωσῆς. Συνεχῶς γάρ φησιν ἐφ' ἑκάστου, Καὶ εἶπεν ὁ Θεὸς, καὶ ἐγέ-
4 νετο. Δοκοῦσι δέ μοι περιειργασμένοι πάντα κατηκολουθη- c κέναι τούτῳ Πυθαγόρας τε καὶ Σωκράτης καὶ Πλάτων, λέγοντες ἀκούειν φωνῆς Θεοῦ, τὴν κατασκευὴν τῶν ὅλων συνθεωροῦντες ἀκριβῶς ὑπὸ Θεοῦ γεγονυῖαν καὶ συνεχομένην ἀδιαλείπτως. Ἔτι δὲ καὶ Ὀρφεὺς ἐν ποιήμασι τῶν κατὰ τὸν Ἱερὸν Λόγον αὐτῷ λεγομένων οὕτως ἐκτίθεται περὶ τοῦ διακρατεῖσθαι θείᾳ δυνάμει τὰ πάντα, καὶ γενητὰ ὑπάρχειν, καὶ ἐπὶ πάντων εἶναι τὸν Θεόν. Λέγει δ' οὕτως,

5 *Φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας δ' ἐπίθεσθε βέβηλοι,* d

b 4. προσενεγκάμενον] προσενεγκαμένου D.F.G. ed. Steph. et rell. præter Vigerum. 7. τινα εἰπὼν ἐπιφέρει λέγων] ἐπιλέ B. 12. ἐφ' ἑκάστου om. B. qui mox om. καὶ ἐγένετο. c. δέ μοι] τε μοι D. 4. -θεωροῦντες] -θεωροῦντα B. 7. ἐν ποιήμασι—λεγομένων om. B. 9. θείᾳ δυνάμει] δυνάμει θείᾳ B. d. βεβήλοις Vossii margo.

superavit, integram eorum, quæ nostras ad leges pertinebant, omnium interpretationem, præcipua Demetrii Phalerei totum negotium moderantis opera elaborarunt.

3 Tum quibusdam interjectis, ita prosequitur.

Divinam quippe vocem accipere nos sic oportet, non ut sermonem aliquem conceptis inclusum expressumque verbis, sed ut operum ipsorum molitionem, quo plane sensu creationem mundi universam legislator ille Moses Dei vocem appellavit. Nam de singulis operibus ita pronuntiat,
4 *Dixitque Deus, et factum est.* Id quod ego, Pythagoram, Socratem, ac Platonem cum nostra omnia curiose rimati essent, omnino sequutos existimo, cum sese Dei vocem exaudire dicerent, in illa universi molitionis, quæ tam accurate a Deo perfecta, sui semper similis integraque persisteret, contemplatione defixos. Quin etiam Orpheus in iis carminibus, quæ ad Sacri Sermonis formam rationemque conscripsit, divina vi omnia contineri, eademque ortum habuisse, et cunctis Deum præesse, hunc in modum cecinit:

5 Fas quibus est narrabo: fores claudunto profani,

[389] ΑΡΙΣΤΟΒΟΥΛΟΥ

φεύγοντες δικαίων θεσμοὺς, θείοιο τεθέντος
πᾶσι νόμου· σὺ δ' ἄκουε, φαεσφόρου ἔκγονε Μήνης
Μουσαῖ'· ἐξερέω γὰρ ἀληθέα· μηδέ σε τὰ πρὶν
ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ,
εἰς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος· εὖ δ' ἐπίβαινε
ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο τυπωτὴν
ἀθάνατον. Παλαιὸς δὲ λόγος περὶ τοῦδε φαείνει, p. 665
εἷς ἔστ' αὐτοτελής, αὐτοῦ δ' ὕπο πάντα τελεῖται,
ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται, οὐδέ τις αὐτὸν
εἰσοράᾳ ψυχῶν θνητῶν, νῷ δ' εἰσοράαται.
Αὐτὸς δ' ἐξ ἀγαθῶν θνητοῖς κακὸν οὐκ ἐπιτέλλει
ἀνθρώποις· αὐτῷ δὲ χάρις καὶ μῖσος ὀπηδεῖ,
καὶ πόλεμος καὶ λοιμὸς ἴδ' ἄλγεα δακρυόεντα,
οὐδέ τις ἔσθ' ἕτερος· σὺ δέ κεν ῥέα πάντ' ἐσορήσαις, b
αἴ κεν ἴδῃς αὐτόν· πρὶν δή ποτε δεῦρ' ἐπὶ γαῖαν,

d 3. τεθέντος] τιθέντος B.C.F.G.I. τιθέντος (ε supra) D. Supra δικέων Scaliger. pro δικαίων. 5. πᾶσιν ὁμοῦ G.I. Vossii margo. 6. ἔγγονε] ἔκγονε B. 7. ἐξερέω] ἐξεννέπω B.E. ἐξενέπω C.D.F.G. ἐξερέω D. marg. ἐξενέπω γὰρ μουσαῖς I. 9. ἐν στήθ.] ἐν om. I. φίλης (οι supra) D. 12. κραδίης] κραδίας C. 13. τυπωτὴν] τυπωγὴν C.

p. 665. παλαιὸς—δείξω σοι om. B. 5. περινίσσεται] περινίπτεται C. περινίσεται F.G. 7. ψυχῶν] ψυχὴν I. νῷ] νόῳ C.F. νόω (νῷ supra) D. 10. χάρις] χάριν C.F.G. v. seq. πόλεμον καὶ λοιμὸν οὐδ' (ἠδ' F. ἴδ' G.) ἄ. δ. C.F.G. πόλεμον ... λοιμὸν (ς supra) D. πόλεμον—λοιμὸν I. b 2. ἐσορήσαις] ἐσόρησο C.D.E.F.G.I.

Queis sanctæ leges odio, quas omnibus auctor
Ipse tulit posuitque Deus. Tu vero, micantis
O lunæ Musæe nepos, hæc auribus hauri.
Namque ego vera canam. Tibi ne modo pristinus error
Æternæ invideat felicia sæcula vitæ.
Sed fixa potius divina oracula mente
Excipiens, casto penitus sub pectore condas.
Ergo age, carpe viam, solum interituque carentem
Suspiciens genitorem orbis. Quem talibus ecce
Prisca virûm nobis olim monimenta loquuntur.
Unus, et ex sese Deus est, idem omnia condit,
Ac mundi late partes se fundit in omnes.
Mortales fugit ille oculos, animoque videtur.
Fonsque boni cum sit, nulli mala sævior unquam
Ipse creat, licet hunc vitali gratia passu,
Cumque odio, bellumque, luesque, dolorque sequantur.
Hunc alius præter nemo est. Quem cernere terris

τέκνον ἐμὸν, δείξω σοι, ὁπηνίκα δέρκομαι αὐτοῦ ΑΡΙΣΤΟΒΟΥΛΟΥ
ἴχνια καὶ χεῖρα στιβαρὴν κρατεροῖο θεοῖο.
Αὐτὸν δ' οὐχ ὁρόω· περὶ γὰρ νέφος ἐστήρικται
λοιπὸν ἐμοί· στᾶσιν δὲ δέκα πτυχαὶ ἀνθρώποισιν· c
οὐ γὰρ κέν τις ἴδοι θνητῶν μερόπων κραίνοντα,
εἰ μὴ μουνογενής τις ἀπορρὼξ φύλου ἄνωθεν
Χαλδαίων· ἴδρις γὰρ ἔην ἄστροιο πορείης,
καὶ σφαίρης κίνημ' ἀμφὶ χθόνα ὡς περιτέλλει,
κυκλοτερές γ' ἐν ἴσῳ, κατὰ δὲ σφέτερον κνώδακα·
πνεύματα δ' ἡνιοχεῖ περί τ' ἠέρα καὶ περὶ χεῦμα d
νάματος· ἐκφαίνει δὲ πυρὸς σέλας ἰφιγενήτου.
Αὐτὸς δὴ μέγαν αὖθις ἐπ' οὐρανὸν ἐστήρικται
χρυσέῳ εἰνὶ θρόνῳ· γαίη δ' ὑπὸ ποσσὶ βέβηκε·
χεῖρα δὲ δεξιτερὴν ἐπὶ τέρμασιν ὠκεανοῖο
ἐκτέτακεν· ὀρέων δὲ τρέμει βάσις ἔνδοθι θυμῷ,
οὐδὲ φέρειν δύναται κρατερὸν μένος. Ἔστι δὲ πάντως
αὐτὸς ἐπουράνιος, καὶ ἐπὶ χθονὶ πάντα τελευτᾷ, p. 666

b 5. ἐμὸν] ἐμὴν C.F.G. Mox ὁπηνίκα τὰ D.F.G.I. 7. κρατεροῖο] κραταιοῖο C.D.E.F.G.I. c. δέκα πτυχαὶ] δεκάπτυχον B.C.D.E.F.G.I. πᾶσιν pro στᾶσιν conj. Hermannus. 3. θνητῶν] θνητὸν B. 11. κυκλοτερὲς] κυκλοτέρης C. qui om. γ' cum F.G.I. Tum ἐ. εἴσῳ B. d. περὶ χεῦμα] περὶ om. F.G. 2. σέλας ἰφιγενήτου] ἔλατα δὲ ἴφι γεννηθῇ B. σέλας τάδ' ἰφιγενήθη C.F.G. τάδ' ἴφι γεννηθῇ D. ἰφιγενηθῇ E. τάδε ἰφιγενήτου I. 6. χρυσέῳ] χρυσίῳ C. infra ποσὶ B.C. 10. ὀρέων δὲ] ὀρέων τε C.F.G.I. δ' ὀρέων D. ult. πάντως] πάντων B.C.D.F.G. πάντη Theodoret.

Si prius extantem poteris, facile omnia cernes.
Per me, si qua ejus sese vestigia forsan
Obtulerint, molesve manus, tu, nate, videbis.
Namque ipsum per se haud video, quod densa tuentem
Impediat nubes, ac dena volumina tardent.
Unus eum imperio mortalia fata regentem,
Nosse aliquis potuit Chaldæo a sanguine cretus:
Norat enim, qua magnus iter sol flectat in orbem,
Æquatosque habilis circumque immania terræ
Pondera, sed proprio gyros convertat in axe:
Et volucres effusus equos per cærula mundi
Verset agens, aurasque obeat, pelagusque profundum,
Et vivos rutili succendat luminis ignes.
Ille igitur magni supra laquearia cœli,
Immotus, solioque micat sublimis in aureo.
Olli planta humiles subter premit ardua terras,
Oceani extremos attingit dextera fines:
Cujus inexhaustum quassi ab radicibus imis
Ferre negant robur nutanti vertice montes.
Ergo ut siderea nunquam discedat ab arce,
Cuncta tamen nostris præsens molitur in oris,

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

ἀρχὴν αὐτὸς ἔχων, καὶ μέσσην, ἠδὲ τελευτήν,
ὡς λόγος ἀρχαίων, ὡς ὑλογενὴς διέταξεν,
ἐκ θεόθεν γνώμαισι λαβὼν κατὰ δίπλακα θεσμόν.
Ἄλλως οὐ θεμιτὸν δὲ λέγειν· τρομέω δέ γε γυῖα,
ἐν νόῳ. Ἐξ ὑπάτου κραίνει περὶ πάντ' ἐνὶ τάξει.
Ὦ τέκνον, σὺ δὲ τοῖσι νόοισι πελάζεο, γλώσσην b
εὖ μάλ' ἐπικρατέων· στέρνοισι δὲ ἔνθεο φήμην.

6 καὶ Ἄρατος δὲ περὶ τῶν αὐτῶν φησὶν οὕτως,

[390] Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶσιν
ἄρρητον· μεσταὶ δὲ θεοῦ πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα,
καὶ λιμένες, πάντη δὲ θεοῦ κεχρήμεθα πάντες.
Τοῦ γὰρ καὶ γένος ἐσμέν· ὁ δ' ἤπιος ἀνθρώποισι c
δεξιὰ σημαίνει, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει,
μιμνήσκων βιότοιο· λέγει δ' ὅτε βῶλος ἀρίστη
βουσί τε καὶ μακέλῃσι, λέγει δ' ὅτε δεξιαὶ ὧραι
καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθαι.

p. 666. 3. μέσσον] μέσον B. μέσην C.F.G. μέσσην Theodoret. 5. ὑλογενὴς] ὁλογενὴς C.F.G. ὑδογενὴς Scaliger. 6. γνώμαισι] γνώμῃσι B.C.F.G. γνώμοσι I. Tum ἄλλως—φήμην om. B. b. πελάζεο γλώσσην] πελάζευ μὴ δ' ἀπόγε C.D.F.G.I. 5. ἐκ διὸς] ἐκ θεοῦ δὲ B. ἐκ θεοῦ (διὸς) F. ἐκ θεοῦ G.I. Tum ἀρχόμεσθα B.C. ἀρχώμεσθα D. ἀρχόμεθα F. Infra ἑῶσιν B.C.D.E.F.G.I. c 3. ἀγείρει] ἐγείρει B. qui om. λέγει δ' ὅτε—ἡμᾶς αἵρεσις. In I. ἔργα ἐγείρει μιμνήσκον β. λ. δ' ὅτε καὶ β. ἀ. 7. τε καὶ] τε om. I. καὶ μακέλῃσι—ὧραι om. D. 9. ὑγρῶσαι] γυρῶσαι C.F.G.I. καὶ φ. ὑ. om. D.

Principium in sese, ac medium, finemque coercens.
Hæc prisci retulere viri, terraque creatus
Mortalis docuit, divino abs numine postquam
Hauserat, ac gemino tulerat viventia saxo.
Illa secus vulgare nefas: membrisque solutis,
Mecum animo volvens trepido, quippe ordine cuncta
Desuper ipse regit. Tu mentem advertito, fili,
Frænatæque potens linguæ, rem pectore serva.

6 Quibus etiam hunc in modum Aratus accinit,

Ab Jove principium, nullo qui tempore nobis
Prætereundus erit: cujus late omnia numen
Compita, et omne forum, pontique profunda tumentis,
Atque omnes portus implet, nemoque potenti
Auxilio caruisse queat. Genus omnis ab illo
Quippe trahit: qui blanda homines pietate fovendo,
Læta ollis dat signa manu, populosque frequentes
Ultro operi accingit, vitæ dulcedine captos.
Ille bobus glebæ ingenium duroque ligoni
Utilis ante docet, necnon quo sidere tutum,
Et plantas scrobibus, semenque abscondere terra.

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

7 Σαφῶς οἶμαι δεδεῖχθαι, ὅτι διὰ πάντων ἐστὶν ἡ δύναμις τοῦ d
Θεοῦ. Καθὼς δὲ δεῖ σεσημάγκαμεν περιαιροῦντες τὸν διὰ
τῶν ποιημάτων Δία καὶ Ζῆνα· τὸ γὰρ τῆς διανοίας αὐτῶν
ἐπὶ Θεὸν ἀναπέμπεται· διόπερ οὕτως ἡμῖν εἴρηται. Οὐκ
ἀπεοικότως οὖν τοῖς ἐπιζητουμένοις προενηνέγμεθα ταῦτα.
8 Πᾶσι γὰρ τοῖς φιλοσόφοις ὁμολογεῖται, ὅτι δεῖ περὶ Θεοῦ
διαλήψεις ὁσίας ἔχειν, ὃ μάλιστα παρακελεύεται καλῶς ἡ καθ'
ἡμᾶς αἵρεσις. Ἡ δὲ τοῦ νόμου κατασκευὴ πᾶσα τοῦ καθ'
ἡμᾶς περὶ εὐσεβείας τέτακται καὶ δικαιοσύνης καὶ ἐγκρατείας p. 667
καὶ τῶν λοιπῶν ἀγαθῶν τῶν κατὰ ἀλήθειαν.

9 Τούτοις ἑξῆς μεθ' ἕτερα ἐπιλέγει,

Ἐχομένως δ' ἐστὶν ὡς ὁ Θεὸς τὸν ὅλον κόσμον κατεσκεύακε, καὶ δέδωκεν ἀνάπαυσιν ἡμῖν διὰ τὸ κακόπαθον εἶναι πᾶσι τὴν βιοτὴν τὴν ἑβδόμην ἡμέραν, ἣ δὴ καὶ πρώτη φυσικῶς ἂν λέγοιτο φωτὸς γένεσις, ἐν ᾧ τὰ πάντα συνθεωρεῖται.

d. ὅτι] διότι C.D.F.G.I. Mox δεῖ pro δὴ C.D.E.F.G.I. et sic Vigeri margo. 2. Sensum hujus loci aperit Valckenær. D. de Aristob. p. 87. 3. τὸν διὰ] τὸν om. F. 6. ἐπιζητημένοις F.G. 8. ὅτι] διότι C.F. G.I. 10. ἡ δὲ τοῦ νόμου κατασκευὴ πᾶσα τοῦ] ὁ δὲ νόμος ὁ B.

p. 667. δικαιοσύνης—ἐγκρατείας] ἐγκρατείας—δικαιοσύνης B. qui mox om. τούτοις—ἐπιλέγει. 4. δ' ἐστὶν] γάρ ἐστιν B. Mox ὁ θεὸς ὃς Valcken. de Aristob. p. 88. ὅλον κόσμον] κόσμον ὅλον C. 5. κατεσκεύακε] κατεσκεύασε F.G. δέδωκεν εἰς] δέδωκα B. εἰς om. C.D. F.G.I. Vid. Clem. Alex. Str. VI. p. 810, 4. 6. κακόπαθον] κακοπαθὲς B. qui om. εἶναι πᾶσι. 7. τὴν βιοτὴν ἑβδόμην ἡμέραν] τῆς βιοτῆς τὴν ἑβδόμην B. βιωτὴν I.

7 Hæc illi, quibus vim divinam omnia permeare, clare, opinor, satis ac perspicue significant. Nam Jovem illum quidem, poëtarum versibus celebratum, pure, uti decet, ac restricte accepimus, quod mens eorum ac sententia Deum spectet unum atque designet. Quæ nos caussa ratioque permovit, nobis ut hanc in disputationem, istuc orationis ac testimoniorum
8 genus inferre merito posse videremur. In eo quippe philosophi omnes conveniunt, ut castas de Deo sanctasque notiones animo informandas esse præcipiant. Id quod præclare in primis instituti nostri vis ratioque docet. Imo ad religionis, justitiæ, temperantiæ, ac cæterorum id genus verorum bonorum possessionem et officia, lex apud nos tota revocatur.

9 Quibus idem post interjecta nonnulla subjungit,

Tum illud sane, consentaneum, inquit, ut qui hoc universum procrearat Deus, idem, quod ærumnis pluribus omnium vita conflictetur, diem nobis septimum ad requietem ultro concesserit. Quem sane diem, si naturam spectaveris, primum quendam lucis ortum, in qua cernantur universa,

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

10 Μεταφέροιτο δ' ἂν τὸ αὐτὸ καὶ ἐπὶ τῆς σοφίας· τὸ γὰρ
πᾶν φῶς ἐστιν ἐξ αὐτῆς. Καί τινες εἰρήκασι τῶν ἐκ τῆς b
αἱρέσεως ὄντες τῆς ἐκ τοῦ Περιπάτου λαμπτῆρος αὐτὴν ἔχειν
τάξιν· ἀκολουθοῦντες γὰρ αὐτῇ συνεχῶς ἀτάραχοι κατα-
11 στήσονται δι' ὅλου τοῦ βίου. Σαφέστερον δὲ καὶ κάλλιον
τῶν ἡμετέρων προγόνων τις εἶπε Σολομῶν αὐτὴν πρὸ οὐρα-
νοῦ καὶ γῆς ὑπάρχειν. Τὸ δὴ σύμφωνόν ἐστι τῷ προειρημένῳ.
Τὸ δὲ διασαφούμενον διὰ τῆς νομοθεσίας ἀποπεπαυκέναι τὸν
Θεὸν ἐν αὐτῇ, τοῦτο οὐχ, ὥς τινες ὑπολαμβάνουσι, μηκέτι
ποιεῖν τι τὸν Θεὸν καθέστηκεν, ἀλλ' ἐπὶ τῷ καταπεπαυκέναι c
τὴν τάξιν αὐτῶν, οὕτως εἰς πάντα τὸν χρόνον τεταχέναι.
12 Σημαίνει γὰρ ὡς ἐν ἓξ ἡμέραις ἐποίησε τόν τε οὐρανὸν καὶ τὴν
γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, ἵνα τοὺς χρόνους δηλώσῃ, καὶ
τὴν τάξιν προείπῃ τί τίνος προτερεῖ. Τάξας γάρ, οὕτως
αὐτὰ συνέχει καὶ [οὐ] μεταποιεῖ. Διασεσάφηκε δ' ἡμῖν
αὐτὴν ἔννομον, ἕνεκεν σημείου τοῦ περὶ ἡμᾶς ἑβδόμου λόγου
καθεστῶτος, ἐν ᾧ γνῶσιν ἔχομεν ἀνθρωπίνων καὶ θείων πραγ-

b. *ἐκ τῆς αἱρ. ὄντες τῆς* om. B. *τῆς* ult. om. C.E.G.I. 2. *λαμπτῆ-ρος*] Vid. Valcken. de Aristob. p. 68. *αὐτὴν*] *αὐτὸν* C.F.G. 3. *αὐ-τῇ*] *αὐτὴν* B. 4. *σαφέστερον—σημαίνει γὰρ ὡς* om. B. 7. *τὸ δὴ*] *τὸ δὲ* G. 11. *ποιεῖν τι*] *ποιεῖν τε* C. c 2. *οὕτως τε*] *τε* om. C. F.G.I. 3. *ἐν ἓξ—ἐν αὐτοῖς*] *εἴρηκε γὰρ Σολομῶν ἐν ἓξ ἡμέραις φησὶ πεποίηκε τὰ πάντα ὁ θεὸς* B. 4. *τὸν οὐρ.*] *τόν τε οὐρ.* C.F.G.I. 7. *οὐ μεταπ.*] *οὐ* om. B.C.D.E.F.G.I. Mox *διασεσάφηκε—πραγμάτων* om. B. 8. *ταύτην*] *αὐτὴν* C.G.I. 9. *λόγου* om. C.F.G.

10 jure appellaris. Quod ipsum ad sapientiam quoque transferri possit, cum ex sapientia lux omnis oriatur. Ac nonnulli quidem Peripatetici, splendoris ei rationem vimque tribuere, quem qui constanter ac perpetuo sequuti fuerint,
11 vitam illi totam sine ulla perturbatione traducent. Eandem vero Salomon, e majoribus nostris unus, cœlo terraque priorem extitisse, non clarius modo, sed etiam melius statuit. Id quod admodum etiam cum superiore illo consentiat. Cæterum quod in eadem habetur lege, eo die acquievisse Deum, id non, quomodo a plerisque, accipiendum est, quasi deinceps nihil omnino Deus efficiat; sed quod rerum omnium gradus et ordines absolverit, qui sui semper similes cum omni sæculorum perpetuitate pro-
12 pagentur. Sex enim dierum spatio, cœlum terramque ab eo, quæque utriusque ambitu continentur, creata esse omnia significat, ut suum cujusque tempus et ordinem, quo aliud quodque antecedit, aperiat. Quæ suo semel constituta loco, servat deinde semper, nec ulla ratione commutat. Quem eundem fixum nobis diem ac solennem esse voluit, quo rationis illius septenariæ quoddam quasi signum tolleretur, per quem in rerum

13 ματων. Δι' ἑβδομάδων δὲ καὶ πᾶς ὁ κόσμος κυκλεῖται τῶν d ΑΡΙΣΤΟΒΟΥΛΟΥ ζῳογονουμένων καὶ τῶν φυομένων ἁπάντων· τὸ δὲ σάββατον αὐτὴν προσαγορεύεσθαι διερμηνεύεται ἀνάπαυσις οὖσα. Διασαφεῖ δὲ καὶ Ὅμηρος καὶ Ἡσίοδος, μετειληφότες ἐκ τῶν ἡμετέρων βιβλίων, ἱερὰν εἶναι. Ἡσίοδος μὲν οὕτως,

Πρῶτον ἔνη, τετράς τε, καὶ ἑβδόμη ἱερὸν ἦμαρ.

καὶ πάλιν λέγει,

Ἑβδομάτη δ' αὖτις, λαμπρὸν φάος ἠελίοιο.

14 Ὅμηρος δὲ οὕτως λέγει,

Ἑβδομάτη δ' ἤπειτα κατήλυθεν, ἱερὸν ἦμαρ.

καὶ πάλιν, p. 668

Ἕβδομον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα.

καί,

Ἑβδομάτῃ δ' ἠοῖ λίπομεν ῥόον ἐξ Ἀχέροντος.

15 Τοῦτο δὴ σημαίνων, ὡς ἀπὸ τῆς κατὰ ψυχὴν λήθης καὶ κα-
[391] κίας ἐν τῷ κατὰ ἀλήθειαν ἑβδόμῳ λόγῳ καταλιμπάνεται τὰ

d 2. φυομένων ἁπάντων. τῷ δὲ] φυομένων τὸ B. φ. τὸ δὲ C. τὸ δὲ D.E.I. Valckenærius de Aristob. p. 106. Scripseratne fortasse, τῷ δὴ σάββατον αὐτὴν προσαγορεύεσθαι, ὃ διερμηνεύεται ἀνάπαυσις. 4. δὲ καὶ] δ' B. 5. μετειληφότες—βιβλίων om. B. 6. εἶναι] εἶναι ταύτην B. 8. ἔνη] ἔνι B.C. 10. λέγει om. B. 11. αὖθις] αὖτις C.I. αὔτης D. 13. Ὅμηρος δὲ οὕτω λέγει] καὶ Ὅμηρος B.

p. 668. 4. καὶ ἑβδομάτῃ—προείρηται om. B. 5. δὴ οἱ] δ' ἠοῖ C. et sic infra, ubi δὴ om. B. 7. ψυχὴν] τὴν ψ. C.F.G.

13 humanarum divinarumque notitiam devenimus. Hebdomadarum enim orbe, ipsa quoque tam animantium, quam plantarum omnium universitas volvitur. Illum autem sabbatum, hoc est requietem appellamus. Quem Hesiodus etiam atque Homerus, cum id nostris hausissent ex literis, sacrum esse palam cecinerunt. Hesiodus quidem his versibus,

Lunæ extrema dies, tum quarta et septima sacra est.

Itemque,

Septima jamque dies, læti lux candida solis.

14 Homerus autem sequentibus,

Septima sacra dies reserato illuxerat orbi.

Atque iterum,

Septima lux aderat, qua cuncta exacta fuere.

Et,

Septima ubi orta dies, Acherontis liquimus undas.

15 Quo quidem versu id significat, illa vere septenaria ratione, quæ animæ oblivionem vitiumque consequitur, repudiatis quæ ante placuerant, veri-

ΑΡΙΣΤΟΒΟΥΛΟΥ

προειρημένα, καὶ γνῶσιν ἀληθείας λαμβάνομεν, καθὼς προεί-
16 ρηται. Λῖνος δέ φησιν οὕτως,

Ἑβδομάτῃ δ' ἠοῖ τετελεσμένα πάντα τέτυκται. b

καὶ πάλιν,

Ἑβδόμη εἰν ἀγαθοῖς, καὶ ἑβδόμη ἐστὶ γενέθλη.

καὶ,

Ἑβδόμη ἐν πρώτοισι, καὶ ἑβδόμη ἐστὶ τελείη.

καὶ,

Ἑπτὰ δὲ πάντα τέτυκται ἐν οὐρανῷ ἀστερόεντι,
ἐν κύκλοισι φανέντ' ἐπιτελλομένοις ἐνιαυτοῖς.

Τὰ μὲν οὖν Ἀριστοβούλου τοιαῦτα. Ὁποῖα δὲ καὶ c Κλήμεντι περὶ τῆς αὐτῆς εἴρηται ὑποθέσεως, γνοίης ἂν διὰ τούτων·

ΚΛΗΜΕΝΤΟΣ

13 Τὰ δ' ἑξῆς προσαποδοτέον, καὶ τὴν ἐκ τῆς βαρβάρου d φιλοσοφίας Ἑλληνικὴν κλοπὴν σαφέστερον ἤδη παραστατέον. Φασὶ γὰρ σῶμα εἶναι τὸν Θεὸν οἱ Στωϊκοὶ, καὶ πνεῦμα κατ' οὐσίαν, ὥσπερ ἀμέλει καὶ τὴν ψυχήν. Πάντα ταῦτα ἄντικρυς εὑρήσεις ἐν ταῖς γραφαῖς. Μὴ γάρ μοι τὰς ἀλλη-

a 9. προειρημένα] ἴσ. προηρημένα Vigeri margo. 11. δή φησιν] δ' ἔφησιν C. b 3. καὶ ἑβδ.] καὶ om. B. 5. Ἑβδόμη] καὶ Ἑβδ. C.D.F.G. Hunc versum om. B. 10. ἐπιτελλομένοις] ἐπιτελουμένοις B. c. τὰ μὲν] τὰ μὲν οὖν C.F.G. τὰ μὲν οὖν περὶ I. usque ad τοιαῦτα om. B. δὲ καὶ] δὴ καὶ B.F.G. 2. κλήμεντι—εἴρηται] κλήμης—εἴρηκεν B. qui pro γνοίης—τούτων habet ἴδωμεν. d. τὸ δ' ἑξῆς ἀποδοτέον Clem. 7. τὰς ἀλληγ.] τῆς ἀλληγ. C. τὰς om. F.

16 tatis, uti jam dictum est, cognitionem haurimus. Quibus hæc Lini affinia sunt;

Septima jamque dies, qua cuncta exacta, rubebat.

Itemque,

Omine læta dies est septima, septima rerum
Ortus, et eximias inter perfecta coruscat.

Et,

Omnia sidereo septena videntur in orbe,
Motibus et propriis certos volvuntur in annos.

Hæc Aristobulus. Quo eodem in genere, quæ Clementis nostri sententia fuerit, ex sequentibus intelliges.

Lib. 5. c. 14. p. 699, 9.

13 Verum quæ sequuntur, inquit, pertexamus, quæque Græci barbara ex philosophia suffurati sint, in medium proferamus. Ac primum quidem Stoici Deum ipsum, perinde ut animum, corpore ac spiritu suapte natura constare definiunt. Quod utrumque in scripturis expressum reperies. Nec enim mihi nunc sensus earum cogites allegoricos, cujusmodi ab eru-

γορίας αὐτῶν ἐννοήσης τανῦν ὡς ἡ γνωστικὴ παραδίδωσιν ἀλήθεια, εἰ ἄλλο τι δεικνύουσαι, καθάπερ οἱ σοφοὶ παλαισταὶ, ἄλλο μηνύουσιν. Ἀλλ' οἱ μὲν διήκειν διὰ πάσης τῆς οὐσίας τὸν Θεόν φασιν, ἡμεῖς δὲ ποιητὴν μόνον αὐτὸν καλοῦ- KΛΗΜΕΝΤΟΣ
2 μεν καὶ λόγῳ ποιητήν. Παρήγαγε δ' αὐτοὺς τὸ ἐν τῇ Σοφίᾳ p. 669
εἰρημένον, Διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαρότητα· ἐπεὶ μὴ συνῆκαν λέγεσθαι ταῦτα ἐπὶ τῆς σοφίας τῆς πρωτοκτίστου τῷ Θεῷ. Ναί, φασίν· ἀλλὰ ὕλην ὑποτίθενται οἱ φιλόσοφοι ἐν ταῖς ἀρχαῖς, οἵ τε Στωϊκοὶ καὶ Πλάτων καὶ Πυθαγόρας ἀλλὰ καὶ Ἀριστοτέλης ὁ Περιπατητικὸς, οὐχὶ
3 δὲ μίαν ἀρχήν. Ἴστωσαν οὖν τὴν καλουμένην ὕλην ἄποιον καὶ ἀσχημάτιστον λεγομένην πρὸς αὐτῶν, τὸ [μὴ τόδε, ἢ] μὴ ὂν πρὸς τοῦ Πλάτωνος εἰρῆσθαι, καὶ μή τι μυστικώτατα b
μίαν τὴν ὄντως οὖσαν ἀρχὴν εἰδὼς, ἐν τῷ Τιμαίῳ αὐταῖς φησὶ λέξεσι,

Νῦν δὴ οὖν τό γε παρ' ἡμῶν ὧδε ἐχέτω· τὴν μὲν περὶ ἁπάντων,

d 7. ἐννοήσῃς] ἐννοήσεις B.D. 8. ὡς γν.—ἀλήθεια om. B. ἡ γνωστικὴ] οἱ γνωστικοὶ F. ἡ om. G. 9. δεικνύουσι] δεικνύουσαι B.C.F. G.I. δεικνύουσα D. ult. μόνον] μὲν D.

p. 669. 4. ταῦτα ἐπὶ] τὰ ἐπὶ B.C.D.F.G.I. ταῦτα ἐπὶ Clem. 6. ὑποτίθενται] ἀποτίθενται F.G. φιλόσοφοι] σόφοι C.F. 8. ἀλλὰ καὶ] ἀλλὰ om. B. 10. δὲ τὴν] αὐτὴν B. οὖν τὴν C.D.F.G. 11. λεγομένην] ἄκουσον δὲ πλάτωνος ἐν τῷ τιμαίῳ οὕτω φησί· νῦν δὴ οὖν τόγε B. μὴ τόδε ἢ om. C. τολμηρὸν δὲ μὴ ὂν F.G. τολμηρὸν δὲ εἰ μὴ ὂν D.I. In quibus latere videntur Clementina τολμηρότερον ἤδη μὴ ὄν. b. γὰρ τὴν] γὰρ om. C.F.G.I. 4. τὴν μὲν] τὴν μὲν γὰρ F. τὸν μὲν γὰρ G.

dita illa et sapienti veritate traduntur, si forte, (ut a peritis in luctatione fieri solet) aliud ostendant, aliud re ipsa exhibeant. At Deum illi naturam omnem permeare volunt, quem nos effectorem solum, et quidem verbo
2 effectorem esse dicimus. Quibus illud Sapientiæ imposuit, *Pervadit autem ac subit per omnia propter suam munditiam:* cum id de illa, quam Deus omnium principem creavit, sapientia, dictum esse non intelligerent. Esto, inquiunt: sed tamen philosophi, nec Stoici tantum, aut Plato, atque Pythagoras, sed etiam Aristoteles Peripateticus, materiam inter principia nume- Sap. 7, 24.
3 rant, non principium unum statuunt. Atqui sciant isti velim, materiam illam, quam omni et qualitate et figura carere dicunt, a Platone quoque non certum quid, sive id quod non est, appellatam esse, adeoque non aliquid: quod quidem mysticum valde ac reconditum censeri debet. Nam qui verum illud unum principium agnosceret, in Timæo hæc habet ipsissima. Plato Tim. p. 48.

Nostra vero, inquit, ejusmodi ratio est. De universi seu principio seu princi-

ΚΛΗΜΕΝΤΟΣ

εἴτε ἀρχὴν εἴτε ἀρχὰς, εἴτε ὅπῃ δοκεῖ τούτων πέρι, τὸ νῦν οὐ ῥητέον, δι' ἄλλο μὲν οὐδὲν, διὰ δὲ τὸ χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα.

4 Ἄλλως τε ἡ λέξις ἡ προφητικὴ ἐκείνη, Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, ἀφορμὰς αὐτοῖς ὑλικῆς οὐσίας παρέσχη- c ται. Ναὶ μὴν Ἐπικούρῳ μὲν ἡ τοῦ αὐτομάτου παρείσδυσις οὐ παρακολουθήσαντι τῷ ῥητῷ γέγονεν ἐντεῦθεν, Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης· Ἀριστοτέλει δὲ μέχρι σελήνης ἐπῆλθε καταγαγεῖν τὴν πρόνοιαν ἐκ τοῦδε τοῦ ψαλμοῦ, Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν. Οὐδέπω γὰρ ἀπεκαλύπτετο ἡ τῶν προφητικῶν δήλωσις μυ-
5 στηρίων πρὸ τῆς τοῦ Κυρίου παρουσίας. Τάς τε αὖ μετὰ θάνατον κολάσεις καὶ τὴν διὰ πυρὸς τιμωρίαν ἀπὸ τῆς βαρβάρου φιλοσοφίας ἥ τε ποιητικὴ πᾶσα μοῦσα, ἀλλὰ καὶ ἡ d Ἑλληνικὴ φιλοσοφία ὑφείλετο. Πλάτων γοῦν ἐν τῷ τελευταίῳ τῆς Πολιτείας αὐταῖς φησὶ ταῖς λέξεσιν·

Ἐνταῦθα δὴ ἄνδρες ἄγριοι διάπυροι ἰδεῖν παρεστῶτες καὶ κατα-

b 5. *ταν ῦν*] *τὸ νῦν* B.C.D.G. *τὸ νοῦν* F. *τὸν νῦν* I. 6. *δι' ἄλλο μὲν οὐδὲν* om. B. et mox om. *δέ*. 8. *δηλῶσαι*] *δηλώσει* B. 10. *αὐτοῖς*] *αὐτῶν* B. c. *παρέσχηται*] *παρέσχε* B. *παρέχηται καὶ μὴν* F.G. *ἐπικούρῳ* etc.] *ἐπίκουρος τὸ αὐτόματον παρεισῆξεν οὐ παρακολουθήσας τῷ ῥητῷ τῷ φάσκοντι* B. *ῥητῷ τῷ φάσκοντι* item D. 3. *ἐντεῦθεν*] *ἐνταῦθα* F.G. 5. *Ἀριστοτέλει*] *Ἀριστοτέλη* C.F.G. 8. *οὐδέ πω—ὑφείλετο* om. B. 9. *ἀποκεκάλυπτο* Clem. d 3. *αὐταῖς* et mox *ταῖς λέξεσι* om. B. et mox om. *διάπυροι*. *αὐτὸς φησὶ* F. 5. *καὶ καταμ.*] *καὶ* om. B.C.F.G.I.

piis, quidve de iis sentiamus, in præsentia dicere omittendum, nec alia de caussa, quam quod difficile sit, ea quam sequimur disputandi via, quæ nobis hoc in genere videantur exponere.

Gen. 1, 1.

4 Cæterum, propheticum illud, *Terra autem erat invisibilis et indigesta,* fingendæ hujus materiæ occasionem iis dedit. Et Epicurus sane, ut casu ac fortuito omnia fieri diceret, in animum induxit, quod illius dicti vim non caperet, *Vanitas vanitatum, omnia vanitas:* quemadmodum Aristoteles, ut lunari orbe providentiam definiret, ex illo psalmo hausit, *Domine in cœlo misericordia tua, et veritas tua usque ad nubes.* Neque enim ante Domini

Eccles. 1, 2.

Ps. 36, 5.

5 adventum, propheticorum adhuc mysteriorum aperiebatur sententia. Jam luenda quoque post obitum supplicia, et illos ignium cruciatus, cum poëtæ passim omnes, tum Græci etiam philosophi a barbara philosophia compilarunt. Plato quidem in ultimo de Republica disertis conceptisque verbis,

Plato Rep. 10. p. 616.

Tum enimvero, inquit, feri homines, et aspectu ignei, audito mugitu, præsto

μανθάνοντες τὸ φθέγμα, τοὺς μὲν ἰδίᾳ παραλαβόντες ἦγον, τὸν δὲ Ἀριδαῖον καὶ τοὺς ἄλλους συμποδίσαντες χεῖράς τε καὶ πόδας, καὶ κεφαλὴν καταβαλόντες, καὶ ἐκδείραντες, εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάπτοντες. ΚΛΗΜΕΝΤΟΣ

[392] Οἱ μὲν γὰρ ἄνδρες οἱ διάπυροι ἀγγέλους αὐτῷ βούλονται δηλοῦν, οἱ παραλαβόντες τοὺς ἀδίκους κολάζουσιν. Ὁ ποιῶν, φησὶ, τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς πῦρ φλέγον. p. 670

6 Ἕπεται δὲ τούτοις τὴν ψυχὴν εἶναι ἀθάνατον. Τὸ γὰρ κολαζόμενον ἢ παιδευόμενον ἐν αἰσθήσει ὂν ζῇ, κἂν πάσχειν λέγηται. Τί δέ; Οὐχὶ οἶδεν ὁ Πλάτων καὶ πυρὸς ποταμοὺς, καὶ τῆς γῆς τὸ βάθος, τὴν πρὸς τῶν βαρβάρων γέενναν καλουμένην, Τάρταρον ποιητικῶς ὀνομάζων, Κωκυτόν τε καὶ Ἀχέροντα καὶ Πυριφλεγέθοντα καὶ τοιαῦτά τινα εἰς τὴν παίδευσιν σωφρονίζοντα παρεισάγων κολαστήρια; Τῶν σμικρῶν δὲ κατὰ τὴν γραφὴν, καὶ ἐλαχίστων τοὺς ἀγγέλους τοὺς

d 7. συμποδ.] παρασυμποδ. F.G. 8. καταβαλόντες] καταλαβόντες C. Tum καὶ ἐκδείραντες om. B. et infra om. ἐπ' ἀσπ. κάμπτ. 10. κάμπτοντες] κνάμπτοντες I. Ms. apud Viger. cum Clem. κνάπτοντες. Nihil ex E. h. l. enotavit collator meus. 11. ἄνδρες οἱ διάπυροι ἀγγέλους αὐτῷ βούλονται δηλοῦν] διάπυροι ἄγγελον δηλοῦσιν οἱ B. ult. ποιῶν] ποιῶν γὰρ B. λειτουργοὺς] λειτουργοὺς αὐτοῦ B.F.G.

p. 670. 2. ἢ παιδευόμενον om. B.C. 3. βούληται] λέγεται B. λέγηται C.F.G. Clem. Tum τί δέ; οὐχὶ om. B. 4. καὶ ποταμοὺς] ποταμὸν B. qui mox om. τῆς et τό. καὶ ante ποτ. om. C. 5. πρὸς τῶν] πρὸς τὸν B. 7. κωκυτόν] καὶ κ. C.F.G. 8. καὶ τὰ τοι.] τὰ om. C.F.G.I. καὶ τὰ om. D. Hinc usque ad ἠνίσσετο om. B. 10. σμικρῶν] μικρῶν F.G.

aderant, aliisque seorsum abductis, Aridæum ac cæteros, manibus simul ac pedibus cervicibusque constrictis, humi afflictos, et cute detracta, foris secus viam per medias raptabant aspalathos.

Nam isti quidem homines ignei, angelos apud eum significant, qui arreptos sceleratos puniunt: juxta illud, *Qui facit angelos suos spiritus, et ministros ignem urentem.* Ps. 104,4.

6 Ex quibus immortalem animum esse consequitur. Quod enim aut punitur, aut eruditur, id cum sensu præditum sit, vivat necesse est, etiam si pati dicatur. Quid porro? Nunquid etiam Plato, et ignis fluvios, et illam terræ altitudinem agnovit, quæ a barbaris geenna dicitur, quem ipse Tartarum poetice nominavit; Cocytum præterea, Acherontem, Pyriphlegethontem, et similia pœnarum loca generaque, quibus hominum mores castigentur, invexit. Idem, quos ex scriptura habemus parvulorum ac minimorum angelos, qui Deum ipsum videant, et diligentem illam vigi- v. Mat. 18, 10.

ΚΛΗ-
ΜΕΝ-
ΤΟΣ

ὁρῶντας τὸν Θεόν, πρὸς δὲ καὶ τὴν εἰς ἡμᾶς δι' ἀγγέλων τῶν b ἐφεστώτων ἤκουσαν ἐπισκοπὴν ἐμφαίνων οὐκ ὀκνεῖ γράφειν·

Ἐπειδὴ πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθαι, ὥσπερ ἔλαχον, ἐν τάξει προσιέναι πρὸς τὴν Λάχεσιν, ἐκείνην δὲ ἑκάστῳ, ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα τοῦ βίου συμπέμπειν, καὶ ἀποπληρωτὴν τῶν αἱρεθέντων.

Τάχα δὲ καὶ τῷ Σωκράτει τὸ δαιμόνιον τοιοῦτόν τι ᾐνίσσετο.

7 Ναὶ μὴν γεννητὸν εἶναι τὸν κόσμον ἐκ Μωσέως παραλαβόντες ἐδογμάτισαν οἱ φιλόσοφοι. Καὶ ὅγε Πλάτων ἄντικρυς εἴρηκε,

Πότερον ἦν ἀρχὴν ἔχων γενέσεως οὐδεμίαν, ἢ γέγονεν ἀπ' ἀρχῆς τινὸς ἀρξάμενος; Ὁρατός τε γάρ, ἁπτός τε, καὶ σῶμα ἔχει. c

Αὖθίς τε ὁπόταν εἴπῃ, Τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, οὐ μόνον γεννητὸν ἔδειξε τὸν κόσμον, ἀλλὰ καὶ ἐξ αὐτοῦ γεγονέναι σημαίνει, ὡς ἂν ἐκ μόνου γενο-
8 μένου, καὶ ἐκ μὴ ὄντος ὑποστάντος. Γενητὸν δὲ καὶ οἱ Στωϊκοὶ τίθενται τὸν κόσμον. Τόν τε ὑπὸ τῆς βαρβάρου

b. ἤκουσαν] ἄκουσον F. b 3. Ἐπειδὴ δ' οὖν] δ' οὖν om. C.D.F.G.I. 4. προσιέναι εἰς] προϊέναι πρὸς C.F.G. προϊέναι εἰς I. προεῖναι πρὸς Clem. 5. ἐκείνην] κινεῖν C.F.G.I. 7. καὶ ἀποπ.] κοινὸν ἀποπ. C.F.G. 8. τὸ δαιμόνιον om. I. τοιοῦτον] τοιοῦτο C.F.G.I. c. ὁρατός τε γὰρ ὤν, ἁπτός ἐστιν· ἁπτός τε ὤν, καὶ σῶμα ἔχει Clem. ἔχει] ἔχων F.G. 2. τε ὁπόταν] θ' ὅταν B. qui mox om. οὖν. 8. βαρβάρου] βαρβάρων B.

lemque curam, quæ a præsidibus ac tutelaribus angelis in nos derivatur, aperiens, ita scribere non dubitat.

Plato Rep. p. 620.

Ubi autem, inquit, suum quæque vitæ genus, prout cuique sors obtigerat, animæ omnes delegerint, tum easdem Lachesim convenire; hanc una cum singulis, quem ipsimet dæmonem optaverint, eum vitæ custodem futurum emittere, cujus etiam opera, quæ statuerint omnia, perficiantur.

Quod ipsum fortasse, attributum illud Socrati dæmonium innuebat.

7 Præterea, quem a Moyse acceperant, mundi ortum philosophi tradidere. Quos inter Plato diserte,

Tim. p. 28.

Semperne fuerit, inquit, nullo generatus ortu, an ortus sit sub aliquo temporis principatu, quandoquidem cernitur, et tangitur, et est undique corporatus.

Itemque cum ait, Atque illum quidem effectorem ac parentem hujus universitatis, invenire difficile; non modo generatum esse mundum ostendit, sed etiam ab ipso deo generatum esse declarat, quippe quem ab illo uno
8 satum, atque ex nihilo creatum esse velit. In qua de mundi ortu opinione Stoici quoque versantur. Diabolum præterea, quem in barbara philo-

φιλοσοφίας θρυλούμενον διάβολον, τὸν τῶν δαιμόνων ἄρχοντα, κακοεργὸν εἶναι ψυχὴν ἐν τῷ δεκάτῳ τῶν Νόμων ὁ Πλάτων λέγει ταῖσδε ταῖς λέξεσι, ΚΛΗΜΕΝΤΟΣ

Ψυχὴν διοικοῦσαν καὶ ἐνοικοῦσαν τοῖς πάντη κινουμένοις, μῶν οὐ d καὶ τὸν οὐρανὸν ἀνάγκη διοικεῖν φάναι;

Τί μήν;

Μίαν, ἢ πλείους; Πλείους, ἐγὼ ὑπὲρ σφῶν ἀποκρινοῦμαι. Δυοῖν μέν που ἔλαττον μηδὲν τιθῶμεν, τῆς τε εὐεργέτιδος, καὶ τῆς τἀναντία δυναμένης ἐξεργάζεσθαι.

9 Ὁμοίως δὲ κἂν τῷ Φαίδρῳ τάδε γράφει,

Ἔστι μὲν δὴ καὶ ἄλλα κακὰ, ἀλλά τις δαίμων ἔμιξε τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδονήν.

Ἀλλὰ κἂν τῷ δεκάτῳ τῶν Νόμων, ἄντικρυς τὸ ἀποστολικὸν δείκνυσιν ἐκεῖνο, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῶν ἐν οὐρανοῖς, ὧδέ πως γράφων,

10 Ἐπειδὴ γὰρ συνεχωρήσαμεν ἡμῖν αὐτοῖς εἶναι μὲν τὸν οὐρανὸν p. 671 πολλῶν μεστὸν ἀγαθῶν, εἶναι δὲ καὶ τῶν ἐναντίων, πλειόνων δὲ τῶν μή· μάχη, φαμὲν, ἀθάνατός ἐσθ' ἡ τοιαύτη, καὶ φυλακῆς θαυμαστῆς δεομένη.

c 10. ψυχικὸν D. qui v. seq. διηκοῦσαν. 11. ταῖσδε ταῖς λέξεσι om. B. ταῖς λ. C. d. οὐ καὶ τὸν] καὶ om. C.F.G. Tum ἀνάγκη διοικεῖν B.C.F.G. διοικ. ἀν. edd. φάναι] φαίνεται D. 2. πλείους sec. om. B.C.D.F.G.I. 5. ὁμοίως δὲ—φίλους λέγει om. B. Supra ἐξεργάσασθαι Clem. et v. seq. ταῦτα pro τάδε.

p. 671. 3. μάχη δὴ] δὴ om. C.D.F.G.I. neque agnoscunt Clementis ms. et ed. pr. 4. καὶ φυλακῆς] ὡς φ. C.F.G.

sophia toties appellari audis, dæmonum principem, maleficum animum Plato vocat Legum decimo, his verbis:

Nunquid necesse est, animum, qui rebus omnibus quæ quoquo versum moventur, et moderetur, et insit, ipsum quoque cœlum per sese moderari? Plato Legg. p. 896.

Omnino.

Unumne autem, an plures? Plures certe, nam pro vobis respondere juvat. Nec pauciores duobus recte posuerimus, beneficum alterum, alterum maleficum.

9 Idem in Phædro hæc habet:

Alia quoque mala sunt, at plerisque dæmon aliquis præsentem voluptatem admiscuit. id. Phæd. p. 240.

Quin et Legum decimo, apostolicum illud plane repræsentat, *Non est nobis colluctatio adversus carnem et sanguinem, sed adversus principes et potestates, contra spiritualia eorum qui in cœlis versantur*, dum ita scribit, Ephes. 6, 12.

10 Cum enim jam inter nos ita convenerit, ut cœlum multis bonis, eorumque contrariis, et his quidem pluribus refertum esse fateamur; immortalis profecto pugna hæc sit oportet, et incredibili quadam cautione indigeat. Legg. 906.

ΚΛΗΜΕΝΤΟΣ

11 Κόσμον τε αὖθις τὸν μὲν νοητὸν οἶδεν ἡ βάρβαρος φιλο-
σοφία, τὸν δὲ αἰσθητόν· καὶ τὸν μὲν ἀρχέτυπον, τὸν δὲ
εἰκόνα τοῦ καλοῦ παραδείγματος· καὶ τὸν μὲν ἀνατίθησι
μονάδι, ὡς ἂν νοητόν, τὸν δὲ αἰσθητὸν ἑξάδι· γάμος γὰρ
παρὰ τοῖς Πυθαγορείοις, ὡς ἂν γόνιμος ἀριθμός, ἡ ἑξὰς b
καλεῖται. Καὶ ἐν μὲν τῇ μονάδι συνίστησιν οὐρανὸν ἀόρατον
καὶ γῆν ἁγίαν καὶ φῶς νοητόν· Ἐν ἀρχῇ γάρ, φησίν, ἐποίησεν
12 ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος. Εἶτ' ἐπι-
φέρει, Καὶ εἶπεν ὁ Θεός, γενέσθω φῶς, καὶ ἐγένετο φῶς. Ἐν
δὲ τῇ κοσμογονίᾳ τῇ αἰσθητῇ στερεὸν οὐρανὸν ἐδημιούργει,
τὸ δὲ στερεὸν αἰσθητόν, γῆν τε ὁρατὴν καὶ φῶς βλεπόμενον.
Ἆρ' οὐ δοκεῖ σοι ἐντεῦθεν ὁ Πλάτων ζώων ἰδέας ἐν τῷ νοητῷ
ἀπολείπειν κόσμῳ, καὶ τὰ εἴδη τὰ αἰσθητὰ κατὰ τὰ γένη
13 δημιουργεῖν τὰ νοητά; Εἰκότως ἄρα ἐκ γῆς μὲν τὸ σῶμα c
[393] διαπλάττεσθαι λέγει Μωσῆς, ὃ γήϊνόν φησιν ὁ Πλάτων
σκῆνος, ψυχὴν δὲ τὴν λογικὴν ἄνωθεν ἐμπνευσθῆναι ὑπὸ Θεοῦ
εἰς πρόσωπον. Ἐνταῦθα γὰρ τὸ ἡγεμονικὸν ἱδρῦσθαι λέ-
γουσι, τὴν διὰ τῶν αἰσθητηρίων ἐπεισόδιον τῆς ψυχῆς ἐπὶ τοῦ
πρωτοπλάστου εἴσοδον ἑρμηνεύοντες, διὸ καὶ κατ' εἰκόνα καὶ

a 7. καὶ τὸν μὲν] καὶ om. C.D.F.G.I. 8. καλοῦ] καλουμένου Clem. 9. ἀντιτίθησι F. b. συνέστησεν D. 5. γενέσθω] γενηθήτω Clem. 7. δημιουργεῖ Clem. 11. τὰ γένη] τὰ om. C.G. καὶ τὰ γ. Clem. κατὰ γένους F.

11 Similiter mundum agnoscit barbara philosophia duplicem, alterum in-
telligentia, alterum sensu perceptum: e quibus archetypus ille sit, hic vero
præclari exemplaris imago. Ac priorem quidem illum, quod mente perci-
piatur, unitati, hunc vero qui sensus movet, senario attribuit. Nam et
apud Pythagoreos, senarius tanquam genitalis numerus, conjugium vo-
catur. Ergo in unitate cœlum illud, quod in oculos non cadit, terramque
sanctam, et lucem mente perceptam constituit, In principio enim, inquit,
12 fecit Deus cœlum et terram: terra autem erat invisibilis. Quibus deinde
subjungit, Et dixit Deus, fiat lux, et facta est lux. At in ea mundi pro-
creatione, quam sensus attingit, solidum cœlum condidit; (quicquid autem
est solidum, idem quoque sensus movet,) terramque simul ac lucem, quæ
oculis cernerentur. Num tibi hoc Plato sequutus videtur, dum animan-
tium ideis in eo mundo, quem sola mens capit, relictis, formas illas, quæ
13 in sensum cadunt, pro spiritalium generum varietate molitur? Jure ergo
Moses concretum ex terra corpus esse docet, quod terrenum a Platone
tabernaculum vocatur: animum ratione præditum cœlitus a Deo *in faciem
inspiratum*. Hîc enim principis illius facultatis sedem esse volunt, adven-
titium illum animi primum in parentem per sensus ingressum interpretati.

ΚΛΗ-ΜΕΝ-ΤΟΣ

14 καθ' ὁμοίωσιν [Θεοῦ] τὸν ἄνθρωπον γεγονέναι. Εἰκὼν μὲν γὰρ Θεοῦ λόγος ὁ θεῖος καὶ βασιλικὸς, ἄνθρωπος ἀπαθής· εἰκὼν δ' εἰκόνος ἀνθρώπινος νοῦς. Ἑτέρῳ δ' εἰ βούλει παραλαβεῖν ὀνόματι τὴν ἐξομοίωσιν, εὕροις ἂν παρὰ τῷ Μωσῇ ἀκολουθίαν d ὀνομαζομένην θείαν. Φησὶ γὰρ, Ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθε, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξατε. Ἀκόλουθοι δ', οἶμαι, καὶ θεραπευταὶ Θεοῦ πάντες οἱ ἐνάρετοι.

15 Ἐντεῦθεν δ' οἱ μὲν Στωϊκοὶ τὸ τέλος τῆς φιλοσοφίας τὸ ἀκολούθως τῇ φύσει ζῆν εἰρήκασι, ὁ Πλάτων δὲ ὁμοίωσιν Θεῷ, ὡς ἐν τῷ δευτέρῳ παρεστήσαμεν Στρωματεῖ, Ζήνων τε ὁ Στωϊκὸς παρὰ Πλάτωνος λαβὼν, ὁ δὲ ἀπὸ τῆς βαρβάρου φιλοσοφίας, τοὺς ἀγαθοὺς πάντας ἀλλήλων εἶναι φίλους λέγει. Φησὶ γὰρ ἐν τῷ Φαίδρῳ Σωκράτης,

Ὡς οὐχ εἵμαρται κακὸν κακῷ φίλον εἶναι, οὐδ' ἀγαθὸν ἀγαθῷ p. 672 μὴ φίλον.

16 Ὅπερ κἂν τῷ Λύσιδι ἀπέδειξεν ἱκανῶς, ὡς ἐν ἀδικίᾳ καὶ

c 8. θεοῦ om. C.F.G.I. cum Clem. 9. ὁ θεῖος] ὁ om. Clem. 10. ἀνθρωπίνης] ἀνθρώπινος C.D.F.G. Clem. d. Μωσεῖ G. ἀκολ.] τὴν ἀκολ. Clem. 2. ἡμῶν πορεύσεσθε D. qui mox φυλάξασθε. 3. πορεύσεσθε F.G. 9. τε ὁ] δὲ ὁ Clem. 10. ἀπὸ τῆς] τῆς om. F. 12. φησὶ γὰρ—σωκράτης] ἀλλὰ καὶ Σωκράτης φησὶν ἐν τῷ φαίδρῳ B. ult. κακὸν κακῷ] κακῷ κακὸν C.F.G. Supra ἥμαρται D.

p. 672. ὅπερ] ὥσπερ D. 2. Λύσιδι ἀπέδειξεν] λυσία διαπέδειξεν D. Λυσίᾳ item Clemens. λυσίῳ I.

Quocirca hominem etiam, *ad imaginem et similitudinem Dei factum esse.*
14 Imago enim Dei, ratio divina et regia, homo non patibilis: humanæ autem imaginis imago, mens. Quam similitudinem si alio vocabulo expressam cupis, divinam quandam assectationem a Mose appellatam reperies; ait enim? *Post Dominum Deum vestrum ambulate, et mandata ejus custodite.* f. Deut. 13, 4. Assectatores autem, opinor, cultoresque Dei sunt, quicunque virtute præstant.

15 Atque hinc Stoici philosophiæ finem esse dixerunt, congruenter naturæ convenienterque vivere, Plato vero ipsammet cum Deo similitudinem, ut Stromate secundo jam ostendimus. Quin et Zeno Platonem, et barbaram philosophiam sequutus Plato, bonos omnes inter sese amicos esse dixerunt. Socrates enim in Phædro nefas esse ait, ut vel malo malus amicus sit, aut Plato Phædr. p. 255.
16 bonus bono non amicus. Quod ipsum in Lyside, fuse admodum ostendit, id. Lys. p. 214. ubi amicitiam cum injustitia et improbitate coli nullo modo posse con-

ΚΛΗΜΕΝΤΟΣ

πονηρίᾳ οὐκ ἄν ποτε σωθείη φιλία. Καὶ ὁ Ἀθηναῖος ξένος ὁμοίως φησὶ,

Πρᾶξιν εἶναι φίλην καὶ ἀκόλουθον Θεῷ καὶ ἕνα λόγον ἔχουσαν ἀρχαῖον, ὅταν τὸ μὲν ὅμοιον τῷ ὁμοίῳ μετρίῳ ὄντι φίλον ᾖ, τὰ δὲ ἄμετρα οὔτε τοῖς ἀμέτροις, οὔτε τοῖς ἐμμέτροις· ὁ δὲ Θεὸς ἡμῖν πάντων χρημάτων μέτρον ἂν εἴη.

17 Εἶτα ὑποβὰς ἐπάγει Πλάτων,

Πᾶς γὰρ δὴ ἀγαθὸς ἀγαθῷ ὅμοιος, κατὰ τοῦτο δὲ καὶ Θεῷ ἐοικὼς b ἀγαθῷ τε παντὶ φίλος ὑπάρχει καὶ Θεῷ.

Ἐνταῦθα γενόμενος, κἀκείνου ἀνεμνήσθην· ἐπὶ τέλει γὰρ τοῦ Τιμαίου λέγει,

Τῷ κατανοουμένῳ τὸ κατανοοῦν ἐξομοιῶσαι δεῖν κατὰ τὴν ἀρχαίαν φύσιν ὁμοιώσαντα δὲ τέλος ἔχειν τοῦ προτεθέντος ἀνθρώποις ὑπὸ θεῶν ἀρίστου βίου πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον.

18 Καὶ μετὰ βραχέα ἐπιλέγει·

Ἀδελφοὺς δ' εἶναι ἡμᾶς, ὡς ἂν τοῦ ἑνὸς Θεοῦ ὄντας καὶ ἑνὸς διδασκάλου, φαίνεταί που καὶ Πλάτων καλῶς ὧδέ πως,

Ἐστὲ μὲν γὰρ πάντες οἱ ἐν τῇ πόλει ἀδελφοὶ, ὡς φήσομεν πρὸς

a 5. φίλην] φίλον D. καὶ ἀ. θεῷ] καὶ om. C.F.G. Tum θεοῦ B. 6. ὅταν τὸ μὲν—ἔπειτα χρόνον om. B. 8. ἐμμέτροις] τοῖς ἐμ. C.F.G. Clem. 10. Πλάτων] πάλιν C.D.F.G. b. φίλος] φίλῳ I. 4. κατανοοῦν] κατανοούμενον C.F.G. 11. Πλάτων] ὁ Πλ. B. 12. καλῶς] καλῶν Clem. μὲν γὰρ] γὰρ om. F.G.

firmat. Similiter hospes ille Atheniensis.

Plat. Legg. p. 716.

Rem Deo perjucundam esse docet, eique congruentem, cujus una quædam sit ac pervetusta ratio; ut simili quidem, si modo erit modicum, simile amicum sit; immodica vero nec inter sese, nec modicis amica esse possint: Deus ipse denique rerum nobis omnium mensura statuatur.

17 Quibus hæc deinceps Plato subjungit,

Bonus enim omnis bono similis est; qua re uti ad Deum etiam accedit, ita non boni tantum omnis, sed ipsius quoque Dei amicus est.

Tim. p. 90 d.

Qui mihi locus alterum illum sub Timæi finem in memoriam revocat, ubi docet,

Hoc cuivis agendum esse, ut intelligentiæ, vim rei perceptæ, quatenus pristinæ naturæ ratio postulet, similem efficiat: quod ubi perfecerit, tum eum vitæ optimæ hominibus a diis propositæ, finem obtinere, qui non præsens modo tempus, sed etiam futurum complectatur.

18 Hæc Clemens. Qui paucis interjectis addit quæ sequuntur:

p. 705, 25.

Quin etiam fratres esse nos, tanquam unius Dei filios, ac discipulos præceptoris unius, Plato satis declarare visus est, hunc in modum:

Rep. 3. p. 415.

Quotquot, inquit, in civitate versamini, (sic enim hanc iis fabulam pertexemus,)

ΚΛΗΜΕΝΤΟΣ

αὐτοὺς μυθολογοῦντες. Ἀλλ᾽ ὁ θεὸς πλάττων, ὅσοι μὲν ὑμῶν c ἱκανοὶ ἄρχειν, χρυσὸν ἐν τῇ γενέσει συνέμιξεν αὐτοῖς, διὸ τιμιώτατοί εἰσιν· ὅσοι δὲ ἐπίκουροι, ἄργυρον· σίδηρον δὲ καὶ χαλκὸν τοῖς γεωργοῖς καὶ τοῖς ἄλλοις δημιουργοῖς.

19 Ὅθεν ἀνάγκη φησὶ γεγονέναι, ἀσπάζεσθαί τε καὶ φιλεῖν τούτους μὲν ταῦτα ἐφ᾽ οἷς γνῶσις, ἐκείνους δὲ ἐφ᾽ οἷς δόξα. Ἴσως γὰρ τὴν ἐκλεκτὴν ταύτην φύσιν γνώσεως ἐφιεμένην μαντεύεται· εἰ μή τι τρεῖς τινὰς ὑποτιθέμενος φύσεις, τρεῖς d πολιτείας, ὡς ὑπέλαβόν τινες, διαγράφει, καὶ Ἰουδαίων μὲν ἀργυρᾶν, Ἑλλήνων δὲ τὴν τρίτην, Χριστιανῶν δέ, οἷς ὁ
20 χρυσὸς ὁ βασιλικὸς ἐγκαταμέμικται, τὸ ἅγιον Πνεῦμα. Τόν τε Χριστιανῶν βίον ἐμφαίνων κατὰ λέξιν γράφει ἐν τῷ Θεαιτήτῳ·

Λέγωμεν δὴ περὶ τῶν κορυφαίων· τί γὰρ ἄν τις τούς γε φαύλως διατρίβοντας ἐν φιλοσοφίᾳ λέγοι; Οὗτοι δέ που οὔτε εἰς ἀγορὰν ἴσασι τὴν ὁδόν, οὔτε ὅπου δικαστήριον ἢ βουλευτήριον ἤ τι κοινὸν ἄλλο τῆς πόλεως συνέδριον, νόμους δὲ καὶ ψηφίσματα λεγόμενα ἢ

c 2. ὅσοι καὶ ὑμῶν D. 6. δημιουργοῖς om. B. qui mox om. γεγονέναι. Tum ἀνάγκην F. 9. ἡ δόξα] ἡ om. B.C.F.G.I. Mox γὰρ om. Clem. 11. μή τις] μή τι B.C.D.F.G. Clem. ὑποτιθέμενος] ὑποθέμενος C. d 3. Χριστιανῶν] Χριστιανὴν B.C.D.F. Χριστιανοὶ I. ἴσ. add. τὴν χρυσῆν inquit Vigerus in marg. infra Χριστιανὸν B.C. Clem. 4. ὁ χρυσὸς] ὁ om. Clem. 7. τῶν κορ.] τῶν om. F. 8. τούς γε] τούς τε D. τούσδε I. τούτους B. qui mox ἐν φιλ. διατρ. 9. δέ που] δή που B. που om. C.F.G. 12. λεγόμενα om. D. λεγόμ. ἢ γεγραμ. om. E. λεγόμενα ἢ om. F.G. Clem.

fratres estis omnes. Verum fictor ille deus, qui ex vobis ad imperandum apti essent, aurum iis dum procrearentur, admiscuit, ex quo plurimum dignitatis consequuti sunt. Qui vero ad operam aliis navandam idonei forent, his argentum aspersit: agricolis denique ac cæteris opificibus ferrum atque æs infudit.

19 Ex quo id necessario consequens esse ait, ut alii quæ ad cognitionem pertinent, quæ sunt opinionis alii complectantur ac diligant. Forte enim naturam illam eximiam et cognitionis avidam præsentit: nisi potius triplici hoc naturarum discrimine, tria rerumpublicarum genera, ut nonnulli opinantur, informat: ut Judæorum quidem argenteam, Græcorum tertiam, Christianorum, quibus aurum illud plane regium, Sanctus, inquam,
20 Spiritus infusus est, auream appellarit. Sane quidem Christianorum ipse vitam his in Theæteto verbis expressit:

Plato Theæt. p. 173.

Dicamus igitur, inquit, de summis illis philosophandi principibus: quid enim eos moremur, qui philosophiæ studio perperam abutuntur? Viam illi quæ in forum ducat ignorant: ubi vel exerceantur judicia, vel senatus, vel publicum aliud civitatis concilium habeatur nesciunt: leges ac plebiscita, neque dum pro-

ΚΛΗΜΕΝΤΟΣ

γεγραμμένα οὔτε ὁρῶσιν οὔτε ἀκούουσι. Σπουδαὶ δὲ ἑταιρειῶν καὶ p. 673
σύνοδοι (ἐπ' ἀρχὰς) καὶ σὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς. Εὖ δὲ ἢ κακῶς τί γέγονεν ἐν πόλει, ἤ τί τῳ κακόν ἐστι γεγονὸς ἐκ προγόνων, μᾶλλον αὐτοὺς λέληθεν ἢ οἱ τῆς θαλάσσης λεγόμενοι χόες. Καὶ ταῦτα οὐδ' ὅτι οὐκ οἶδεν, οἶδεν·
[394] ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ, αὐτὸς δὲ πέταται, κατὰ Πίνδαρον, τά γᾶς ὑπένερθεν, οὐρανοῦ τε ὕπερ ἀστρονομῶν, καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνώμενος. b

21 Πάλιν αὖ τῷ τοῦ Κυρίου ῥητῷ τῷ, Ἔστω ὑμῶν τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ, ἐκεῖνα ἀπεικαστέον, Ἀλλά μοι ψεῦδός τε συγχωρῆσαι, καὶ ἀλήθειαν ἀφανίσαι οὐδαμῶς θέμις. Τῇ τε περὶ τοῦ ὀμόσαι ἀπαγορεύσει συνᾴδει ἥδε ἡ ἐν τῷ δεκάτῳ τῶν Νόμων λέξις, Ἔπαινός τε ὅρκος τε περὶ παντὸς ἀπέστω. Καὶ τὸ σύνολον Πυθαγόρας καὶ Σωκράτης καὶ Πλάτων λέγοντες ἀκούειν φωνῆς Θεοῦ, τὴν κατασκευὴν τῶν ὅλων θεωροῦντες ἀκριβῶς ὑπὸ Θεοῦ γεγονυῖαν καὶ συνεχομένην ἀδιαλείπτως, ἀκηκόασι c

p. 673. σπουδαὶ δὲ ἑταιρικῶν] ἑταιριῶν δὲ σπουδαὶ B. qui mox καὶ pro ἢ. ἑταιρειῶν F.G. ἑταιριῶν I. ἐπ' ἀρχὰς om. Steph. mss. cum Clem. 2. ἢ σὺν D.F.G. 3. προΐσταται] ἐπίστανται B. προσίσταται Clem. et Euseb. supra p. 602 d 5. αὐτοῖς—τὸ σύνολον om. B. κακῶς] καλῶς D. 4. τι pr.] τις C.F.G.I. 6. ἢ οἱ] οἱ om. C.F.G. 7. οἶδεν οἶδεν] οἶδεν οὐδὲν C.F.G. 8. μόνον ἐν τῇ πόλει om. D.E.F.G. Mox om. D. αὐτοῦ καί. 9. αὐτὸς δέ] δὲ om. C. qui mox τὰ γῆς cum F.G. τὰ γᾶς D. Vulg. om. τά. τὸν γᾶς I. 10. ὕπερ] καὶ ὑπὲρ F. ἀστρονομῶν] ἄστρων νομῶν D. b 2. ὑμῶν] ὑμῖν C.F.G. ἐκεῖνα] ἐκεῖνο F.G.I. Clem. 3. συγχωρῆσαι] τε χωρῆσαι D. τε συγχ. F.G.I. Clem. 4. ἀληθὲς Clem. τῇ τε] τε om. F.G. 8. Πυθαγόρας] Πυθαγόρας τε καὶ B. Π. καὶ Clem. 11. ἀδιαλείπτως om. B. Tum ἀκηκόασι γὰρ Clem.

mulgantur, audiunt; neque perscripta cum fuerint, omnino vident: sodalitiorum ad magistratus creandos factiones, conventus, et comessationes cum tibicinis; horum ipsis quicquam factitare, ne per somnium quidem in mentem venit. Rectene, an secus factum in civitate quid fuerit: num cuipiam mali a majoribus aliquid obvenerit, magis ipsos latet, quam numerus, quod aiunt, arenarum. Atque hæc ille omnia sic ignorat, ut eadem abs sese ignorari nesciat: sed re vera solum ejus corpus in civitate versatur et habitat; ipse quidem interea, (ut cecinit Pindarus) supra terram evolat, rerumque cœlestium rationes astronomiæ vi enucleat, naturamque adeo totam penitus investigat.

21 Jam vero cum hoc Domini dicto, *Sit sermo vester, est, est; non, non,* alterum illud conferri possit, At mihi nec falsum concedere, nec verum perimere ullo modo fas est. Et cum interdicto nobis jurejurando, congruit illud decimi Legum, *In omni re laus et juramentum abesto.* Et Pythagoras quidem, Socrates, atque Plato, qui Dei se vocem exaudire confirmant, dum fabricam hujus universi, quam divina manus et perfecte elabo-

Plato Legg. p. 917 c.

ΚΛΗΜΕΝΤΟΣ

τοῦ Μωσέως λέγοντος, Εἶπε καὶ ἐγένετο, τὸν λόγον τοῦ Θεοῦ
22 ἔργον εἶναι διαγράφοντος. Ἐπί τε τῆς τοῦ ἀνθρώπου ἐκ χοὸς διαπλάσεως ἱστάμενοι, γήϊνον μὲν οἱ φιλόσοφοι παρ' ἕκαστα τὸ σῶμα ἀναγορεύουσιν, Ὅμηρος δὲ οὐκ ὀκνεῖ ἐν κατάρας μέρει τίθεσθαι, τὸ,

Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

Καθάπερ Ἠσαΐας, Καὶ καταπατήσατε αὐτοὺς, λέγων, ὡς πη-
23 λόν. Καλλίμαχος δὲ διαρρήδην γράφει, d

Ἦν κεῖνος οὑνιαυτὸς, ᾧ ποτὲ πτηνὸν
καὶ τοὺν θαλάσσῃ καὶ τὸ τετράπουν οὕτως
ἐφθέγγεθ', ὡς ὁ πηλὸς ὁ Προμηθέως.

Πάλιν τε ὁ αὐτὸς,

——— Εἴ σε,
ἔφη, Προμηθεὺς
ἔπλασε, καὶ πηλοῦ μὴ ἐξ ἑτέρου γέγονας.

Ἡσίοδός τε ἐπὶ τῆς Πανδώρας λέγει,

Ἥφαιστον δὲ κέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν,
καὶ νόον.

c 5. οἱ φιλ. παρ' ἑκ. om. B. οἱ om. F. 6. οὐκ ὀκνεῖ om. B. qui mox τίθεται. 7. τίθεσθαι] θέσθαι Clem. d 2. ἦν ἐκεῖνος ἐνιαυτὸς D. ἐκεῖνος F.G. 3. καὶ τὸ] τὸ om. D.F.G. 4. ὁ om. D. 9. δὲ] τε D.F.G.I. Clem. 10. δὲ κελ.] δ' ἐκέλ. C.D. 12. ὕδει] ἔδει B. qui om. ἐν δ'—νόον. φύσιν I. pro φύρειν.

ravit, et conservat perpetuo, contemplantur; illud omnino Mosis audiere,
22 *Dixit, et factum est,* quo Dei vocem opus ipsum esse declarat. Dum autem in illa hominis ex pulvere molitione versantur, terrenum passim philosophi corpus appellant: Homerus vero id etiam imprecationis loco ponere non dubitat,

At vos in terram cuncti redeatis, et undam.

23 Quemadmodum Isaias dum ait, *Et conculcate ipsos quasi lutum.* Et Callimachus diserte,

Erat annus ille, quo volantium cœtus,
Et qui sub undis, atque quadrupes, vocem
Sic proferebat, ut lutum Promethei.

Idemque rursus,

si te ipse Prometheus,
Finxit, et ex alio non dedit esse luto.

Hesiodus autem de Pandora,

Vulcanumque jubet terram perfundere lympha
Protinus, atque hominis cum voce infundere mentem.

ΚΛΗΜΕΝΤΟΣ

24 Πῦρ μὲν οὖν τεχνικὸν, ὁδῷ βαδίζον εἰς γένεσιν, τὴν φύσιν p. 674 ὁρίζονται οἱ Στωϊκοί· πῦρ δὲ καὶ φῶς ἀλληγορεῖται ὁ Θεὸς, καὶ ὁ Λόγος αὐτοῦ πρὸς τῆς γραφῆς. Τί δέ; Οὐχὶ καὶ Ὅμηρος παραφράζων τὸν χωρισμὸν τοῦ ὕδατος ἀπὸ τῆς γῆς καὶ τὴν ἀποκάλυψιν τὴν ἐμφανῆ τῆς ξηρᾶς ἐπὶ τῆς Τηθύος καὶ τοῦ Ὠκεανοῦ λέγει,

> Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
> εὐνῆς καὶ φιλότητος;

25 Πάλιν τὸ δυνατὸν ἐν πᾶσι προσάπτουσι καὶ οἱ παρ' Ἕλλησι λογιώτατοι τῷ Θεῷ. Ὁ μὲν Ἐπίχαρμος, Πυθαγόρειος δὲ ἦν, λέγων,

> Οὐδὲν ἐκφεύγει τὸ θεῖον, τοῦτο γινώσκειν σε δεῖ· b
> αὐτός ἐστ' ἁμῶν ἐπόπτης, ἀδυνατεῖ δ' οὐδὲν Θεός.

Ὁ μελοποιὸς δὲ,

> Θεῷ δυνατὸν ἐκ μελαίνας
> νυκτὸς ἀμίαντον ὄρσαι φάος,
> κελαινεφεῖ δὲ σκότει καλύψαι
> καθαρὸν ἁμέρας σέλας.

Ὁ μόνος ἡμέρας ἐνεστώσης νύκτα ποιῆσαι δυνάμενος, φησὶ,

p. 674. 2. ἢ ὁ λ.] καὶ ὁ λ. B.C.F.G. Clem. ὃ ὁ λ. E.I. 5. τὴν ἐμφανῆ om. B. 6. ἐπί τε Clem. 7. χρόνον δηρὸν D.I. 9. πάλιν τὸ—δυνάμενος φησὶ om. B. b 3. ἔστ' ἁμῶν ἐπόπτης] ἔσθ' ἅμων ἐπέπτης B. ἔσθ' ἡμῶν D. ἔσθ' ἁμῶν I. 6. μελαίνας] μελαίνης C.

24 Jam artificiosum ignem, qui certa ratione ac via feratur in generationem, Stoici naturam esse definiunt: ignis autem ac lucis nomine, Deum aut ejus Verbum allegorice scriptura significat. Quid autem? Non ipsemet Homerus, aquam abs terra separatam, planeque retectam aridam paraphrasi quadam explicat? dum ait de Tethyos Oceanique dissidio,

> Namque ambos dudum tristis discordia lecto
> Complexuque arcet.

25 Deo præterea summam rebus in omnibus potestatem Græcorum eruditissimi tribuunt. Epicharmus quidem (Pythagoreus autem is fuit) his versibus,

> Nil potest Deum latere: fac ut id mente imbibas:
> Ille nos per se intuetur: nec nihil solus potest.

Lyricus vero, sic,

> Deus potis est ex profunda
> Nocte revocare purum diem:
> Nigris dein tenebris
> Diei nitidum condere hoc jubar.

26 Qui solus, inquit, illucescente die, noctem efficere potest, Deus is est. Et

26 Θεὸς οὗτός ἐστιν. Ἔν τε τοῖς Φαινομένοις ἐπιγραφομένοις ὁ Ἄρατος, ΚΛΗΜΕΝΤΟΣ

Ἐκ Διὸς ἀρχώμεσθα, c

εἰπὼν, τὸν οὐδέποτ᾽ ἄνδρες ἐῶμεν
ἄρρητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ,
πᾶσαι δ᾽ ἀνθρώπων ἀγοραὶ, μεστὴ δὲ θάλασσα.
καὶ λιμένες, πάντη δὲ Διὸς κεχρήμεθα πάντες.

ἐπιφέρει,

Τοῦ γὰρ καὶ γένος ἐσμὲν,

οἷον δημιουργίᾳ.

...ὁ δ᾽ ἤπιος ἀνθρώποισι
δεξιὰ σημαίνει· d
Αὐτὸς γὰρ τάγε σήματ᾽ ἐν οὐρανῷ ἐστήριξεν,
ἄστρα διακρίνας· ἐσκέψατο δ᾽ εἰς ἐνιαυτὸν
ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
ἀνδράσιν ὡράων, ὄφρ᾽ ἔμπεδα πάντα φύηται·
καί μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται.
Χαῖρε, Πάτερ, μέγα θαῦμα, μέγ᾽ ἀνθρώποισιν ὄνειαρ.

b 11. οὗτος] πάλιν B. τοῖς] ταῖς I. 12. ἐπιγραφομένοις] ἀπογραφόμενος C.F.G. Tum ἀόρατος B.C.G.I. ὁ om. D. c. ἐκ διὸς—ὄνειαρ om. B. 3. Διὸς] δύο D. d 2. τάγε] τάδε Clem. et mox ἐστέψατο. σήματ᾽] σώματ᾽ I. 3. ἄστρα] ἄκρα D.I. Mox om. δ᾽ D. 5. τετυγμένα] τεταγμένα C.F.G. 7. ἀνδράσιν] ἄνδρεσιν C.F.G. 9. ἱλάσκωνται] ἱλάσκονται C.I.

Aratus in Phænomenis, hæc habet,

Abs Jove principium, nullo qui tempore nobis
Prætereundus erit. Cujus late omnia numen
Compita, et omne forum, pontique profunda tumentis,
Atque omnes portus implet: nemoque potenti
Auxilio caruisse queat.

Et rationem subjungit,

genus omnis ab illo
Quippe trahit,

Creatione videlicet,

qui blanda homines pietate fovendo,
Læta ollis dat signa manu, populosque frequentes
Ultro operi accingit: certo namque ordine cœlum
Sideribus sparsit variis, annique coronam
Texuit, apta suis ut munera quæque notarent
Temporibus, lætoque genus sobolescere fœtu
Quodque darent. Huic prima omnes, huic ultima semper
Vota ferunt. Salve, o Genitor, quem suspicit orbis,
Atque boni auctorem sentit.

ΚΛΗ-ΜΕΝ-ΤΟΣ [395] Καὶ πρὸ τούτου δὲ Ὅμηρος ἐπὶ τῆς Ἡφαιστοτεύκτου ἀσπίδος κοσμοποιῶν κατὰ Μωσέα,

> Ἐν μὲν γαῖαν ἔτευξ᾽, ἐν δ᾽ οὐρανὸν, ἐν δὲ θάλασσαν, p. 675

φησὶν,

> ἐν δὲ τὰ τείρεα πάντα, τά τ᾽ οὐρανὸς ἐστεφάνωται.

Ὁ γὰρ διὰ τῶν ποιημάτων καὶ [τῶν] καταλογάδην συγγραμμάτων ᾀδόμενος Ζεὺς τὴν ἔννοιαν ἐπὶ τὸν Θεὸν ἀναφέρει.

27 Ἤδη δὲ, ὡς εἰπεῖν, ὑπ᾽ αὐγὰς ὁ Δημόκριτος εἶναί τινας ὀλίγους γράφει τῶν ἀνθρώπων, οἳ δὴ ἀνατείναντες τὰς χεῖρας ἐνταῦθα, οὗ νῦν ἡ ἑτέρα καλέομεν οἱ Ἕλληνες, πάντα Ζεὺς μυθεῖται, καὶ πάντα οὗτος οἶδε, καὶ διδοῖ, καὶ ἀφαιρεῖται, καὶ βασιλεὺς οὗτος τῶν πάντων. Μυστικώτερον δὲ ὁ μὲν Βοιώτιος Πίνδαρος, ἅτε Πυθαγόρειος ὢν, b

> Ἓν ἀνδρῶν, ἓν θεῶν γένος,
> ἐκ μιᾶς δὲ ματρὸς πνέομεν ἄμφω,

τῆς ὕλης, παραδίδωσι· καὶ ἕνα τὸν τούτων δημιουργὸν, τὸν

pen. πρὸ τούτου δὲ Ὅμ.] Ὅμηρος δὲ B.
p. 675. 3. τείρεα] τείρια B. Tum πάντα om. C.F.G. δὲ τὰ om. D. 5. καὶ τῶν] τῶν om. B.C.F.G.I. καὶ τῶν om. D. qui mox om. συγγραμμάτων. Non agnoscit τῶν Clem. 7. ἤδη δὲ—τῶν πάντων om. B. qui pergit, μυστικώτερος δὲ ὁ βοιώτιος Πυθαγόρας ἅτε Πυθαγόρειος. 10. οὗ νῦν ἡ ἑτέρα] ὃν νῦν ἠέρα Clem. οὗ νῦν ἠέρα C.F.G. 11. οὗτος] ὁ οὗτος G. b. πίνδαρος] πυθαγόρας F.G. Mox πυθαγόριος F. 3. πνέομεν om. B.C. πνέωμεν D. Mox ἀριστοτέχνην B.

Et ante Aratum Homerus, in clypeo illo, quem Vulcanus elaborarat, mundi procreationem e Mosis exemplari describens, ait,

> Fecerat hic terras, cœlumque, salumque profundum,
> Astraque purpurea cœlum quæ luce coronant.

Qui enim et poëtarum et oratorum vocibus Jupiter celebratur, is omnino Deum significat.

27 Jam Democritus, ut id quoque dicam, paucos admodum homines lucem intueri ait, qui manus ad eum tollant, quem nos Græci aërem nunc vocamus. Quippe fatur omnia Jupiter, omnia novit, dat idem aufertque omnia, omniumque rex est. At Bœotius Pindarus, altiore quodam mysterio, Pythagoreus enim is erat,

> Virum,

inquit,

> unum est ac deûm genus.
> Matre spiritum ambo hausimus ab una.

Matris nomine materiam intelligit, unumque præterea horum molitorem

ΚΛΗ-ΜΕΝ-ΤΟΣ

ἀριστοτέχναν πατέρα λέγει, τὸν καὶ τὰς προκοπὰς κατ᾽ ἀξίαν
28 εἰς θειότητα παρεσχημένον. Σιωπῶ γὰρ Πλάτωνα, ἃ ἄντικρυς οὗτος ἐν τῇ πρὸς Ἔραστον καὶ Κορίσκον ἐπιστολῇ φαίνεται Πατέρα καὶ Υἱὸν οὐκ οἶδ᾽ ὅπως ἐκ τῶν Ἑβραϊκῶν γραφῶν ἐμφαίνων, παρακελευόμενος κατὰ λέξιν, ἐπομνύντας σπουδῇ τε ἅμα μὴ ἀμούσῳ καὶ τῇ τῆς σπουδῆς ἀδελφῇ παιδείᾳ c τὸν πάντων Θεὸν αἴτιον, καὶ τοῦ ἡγεμόνος καὶ αἰτίου πατέρα κύριον ἐπομνύντας, ὃν ἐὰν ὀρθῶς φιλοσοφῆτε, εἴσεσθε. Ἥ τε ἐν Τιμαίῳ δημηγορία πατέρα λέγει τὸν δημιουργὸν, λέγουσα ὧδέ
29 πως, Θεοὶ Θεῶν, ὧν ἐγὼ πατὴρ δημιουργός τε ἔργων. Ὥστε καὶ ἐπ᾽ ἂν εἴπῃ, Περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶ, κἀκείνου ἕνεκα τὰ πάντα, κἀκεῖνο αἴτιον τῶν καλῶν, δεύτερον δὲ περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα, οὐκ ἄλλως ἔγωγε ἐξακούω, ἢ τὴν ἁγίαν Τριάδα μηνύεσθαι. Τρίτον μὲν γὰρ εἶναι τὸ ἅγιον d Πνεῦμα, τὸν Υἱὸν δὲ δεύτερον, δι᾽ οὗ πάντα ἐγένετο κατὰ
30 βούλησιν τοῦ Πατρός. Ὁ δὲ αὐτὸς ἐν τῷ δεκάτῳ τῆς Πολιτείας Ἠρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου, μέμνηται,

b 7. ἃ ἄντικρυς] ἃ om. Clem. 9. φαίνεται] φησὶ B. 10. ἑβραϊκῶν etc.] γραφικῶν τῶν ἑβραίων ἐμφαίνων λέγων σπουδῇ τε ἅμα καὶ τῇ τῆς σπ. B. γραφῶν C.D.F.G. pro φωνῶν. In D.F.I. item ἐμφαίνων cum Clem. pro ἐκφ. 12. ἅμα om. D. c. τὸν πάντων] τῶν π. C. 4. δημιουργίᾳ D. 5. λέγουσα—θεῶν] οὕτως θεοὶ θεῶν B. καλεῖ pro λέγει Clem. 8. ἕνεκε F.G.I. 10. περὶ] ἐπὶ I. d. δὲ υἱὸν] υἱὸν δὲ B.C.F.I. 4. ἰρὸς] ἱερὸς C.F.G. πρὸς B. ἱερὸς τοῦ D. Ἠρὸς Viger.

omnium constituit, quem ipse parentem ἀριστοτέχναν, hoc est, optimum ac sapientissimum artificem nominat, qui pro sua quemque dignitate, ad
28 ipsam quoque divinitatem provehat. Platonem enim prætereo, qui palam ac perspicue, in ea quam ad Erastum et Coriscum scribit epistola, Patrem ac Filium, nescio quo pacto, ex Hebraicis literis palam ac manifeste aperit, ubi sic eos hortatur, dum juratis, inquit, studio non illiberali, ac studii sorore doctrina mutuo conjuncti, per Deum ipsum rerum omnium sive præsentium, sive futurarum præsidem, necnon præsidis etiam principiique parentem dominum juretis, quem quidem si modo recte philosophabimini, cognoscetis. Idem ea quam in Timæo habet concione, artificem illum patrem appellat, his verbis: Vos qui deorum satu orti estis, attendite.
29 Quorum operum ego parens effectorque sum. Quare cum idem ita loquitur, Circa universorum regem omnia sunt, ac propter ipsum omnia: idem bonorum omnium principium est. At circa secundum ea quæ secundo, circa tertium ea quæ tertio ordine continentur, cuncta versantur: equidem ista non nisi de sancta Triade accipio, et tertii quidem nomine Spiritum sanctum, secundi vero, Filium intelligo, per quem ex Patris
30 voluntate facta sunt omnia. Præterea Reipublicæ decimo, Eris cujusdam Armenii filii meminit, genere Pamphyli, qui quidem est Zoroastres.

Plato Ep. p. 323.

Plato Tim. p. 41.

Rep. p. 614.

ΚΛΗΜΕΝΤΟΣ

ὅς ἐστι Ζωρόαστρις. Αὐτὸς γοῦν ὁ Ζωρόαστρις γράφει, Τάδε συνέγραψε Ζωρόαστρις ὁ Ἀρμενίου, τὸ γένος Πάμφυλος, ἐν πολέμῳ τελευτήσας, ὅσα ἐν Ἅιδῃ γενόμενος ἐδάην παρὰ Θεῶν. Τὸν δὴ Ζωρόαστριν τοῦτον ὁ Πλάτων δωδεκαταῖον ἐπὶ τῇ πυρᾷ κείμενον ἀναβιῶναι λέγει. Τάχα μὲν οὐ τὴν ἀνάστα- p. 676 σιν, ἀλλ' ἐκεῖνα αἰνίσσεται, ὡς διὰ τῶν δώδεκα ζῳδίων ἡ ὁδὸς ταῖς ψυχαῖς γίνεται εἰς τὴν ἀνάληψιν, αὐτὸς δὲ καὶ εἰς τὴν γένεσίν φησι τὴν αὐτὴν γίνεσθαι κάθοδον. Ταῦτα ὑποληπτέον καὶ τὰ τοῦ Ἡρακλέος ἆθλα λέγεσθαι ιβ', μεθ' ἃ τῆς ἀπαλλαγῆς παντὸς τοῦ κόσμου τοῦδε τυγχάνει ἡ ψυχή. Οὐ παραπέμπομαι καὶ τὸν Ἐμπεδοκλέα. Ὁ φυσικὸς οὗτος τῆς τῶν πάντων ἀναλήψεως μέμνηται, ὡς ἐσομένης ποτὲ εἰς τὴν τοῦ πυρὸς οὐσίαν μεταβολῆς.

31 Σαφέστατα δ' Ἡράκλειτος ὁ Ἐφέσιος ταύτης ἐστὶ τῆς b δόξης, τὸν μέν τινα κόσμον ἀΐδιον εἶναι δοκιμάσας, τὸν δέ τινα φθειρόμενον, τὸν κατὰ τὴν διακόσμησιν, εἰδὼς οὐχ ἕτερον ὄντα ἐκείνου πως ἔχοντος. Ἀλλ' ὅτι μὲν ἀΐδιον τὸν ἐξ ἁπάσης τῆς οὐσίας ἀϊδίως ποιὸν κόσμον ἤδη, φανερὸν ποιεῖ

d 5. αὐτὸς γοῦν ὁ ζωρόαστρις] ὃς B. 8. ὅσα—ζωρόαστριν om. B. 10. δωδεκαταῖον] δεκταῖον B.

p. 676. τάχα μὲν οὖν τὴν ἀνάστ., τάχα δὲ ἐκεῖνα Clem. 4. γίνεσθαι κάθοδον] καθ. γίν. C.F.G. 8. παραπέμπομαι etc.] ὁ δ' Ἐμπεδοκλῆς τῆς τῶν πάντων ἀναλ. B. οὐ om. F.G. ὁ φυσικὸς οὗτος] ὃς φυσικῶς οὕτως Clem. 11. οὐσίαν μεταβολῆς] μεταβολὴν B. b 3. εἰδὼς—ἔχοντος om. B.

Certe Zoroastres ipse ita de se scribit. Hæc, inquit, scriptis mandavit Zoroastres Armenii filius, Pamphylus genere: cum in bello cecidissem, apud inferos abs Diis hæc didici. Hunc ergo Zoroastrem Plato, die ab interitu duodecimo, jam rogo impositum revixisse memorat. Quibus forte non resurrectionem, sed alterum illud subobscure significat, animos cum recipiuntur in cœlum, per signa zodiaci duodecim viam inire, per quæ similiter, eosdem ait, cum hîc generatio fit, descendere solitos. Nec aliter accipiendum est, duodecim Herculem certamina confecisse, quibus exhaustis, ab universi hujus mundi angustiis animus liberetur. Nec mihi prætereundus Empedocles. Physicus enim ille sic rerum omnium instaurationis meminit, ut ignis in naturam cuncta olim mutatum iri pronuntiet.

31 Qua in eadem opinione Heraclitus Ephesius manifeste versatur. Is enim mundum unum quendam sempiternum esse statuit, caducum alterum ac pereuntem agnoscit, at externa specie tenus, quique alius non sit a priore, certa quadam et propria ratione spectato. Nam quod sempiternum illum agnosceret, qui ex universa rerum natura constans, sibi perpetuo

ΚΛΗ-ΜΕΝ-ΤΟΣ

λέγων οὕτως· Κόσμον τὸν αὐτὸν πάντων, οὔτε τις θεῶν, οὔτε ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, πῦρ ἀείζωον, ἁπτόμενον μέτρα, καὶ ἀποσβεννύμενον μέτρα. Ὅτι δὲ καὶ γεννητὸν, καὶ φθαρτὸν αὐτὸν εἶναι ἐδογμάτιζε, μηνύει τὰ ἐπι- c φερόμενα· Πυρὸς τροπαὶ, πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστήρ. Δυνάμει γὰρ λέγει, ὅτι τὸ πῦρ ὑπὸ τοῦ διοικοῦντος Λόγου καὶ Θεοῦ τὰ σύμπαντα δι' ἀέρος τρέπεται εἰς ὑγρὸν, τὸ ὡς σπέρμα τῆς διακοσμήσεως, ὃ καλεῖ θάλασσαν· ἐκ δὲ τούτου αὖθις γίνεται οὐρανὸς καὶ γῆ [396] καὶ τὰ ἐμπεριεχόμενα. Ὅπως δὲ πάλιν ἀναλαμβάνεται καὶ ἐκπυροῦται σαφῶς διὰ τούτων δηλοῖ, Θάλασσα διαχέεται, καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον, ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι. d Ὁμοίως καὶ περὶ τῶν ἄλλων στοιχείων τὰ αὐτά.

32 Παραπλήσια τούτῳ καὶ οἱ ἐλλογιμώτατοι τῶν Στωϊκῶν δογματίζουσι περί τε ἐκπυρώσεως διαλαμβάνοντες καὶ κόσμου διοικήσεως καὶ τοῦ ἰδίως ποιοῦ κόσμου τε καὶ ἀνθρώπου καὶ τῆς τῶν ἡμετέρων ψυχῶν ἐπιδιαμονῆς. Πάλιν τε αὖ ὁ Πλά-

b 8. ἀεὶ] αἰεὶ B.C. 9. μέτρῳ] μέτρα C.D.F.G.I. et sic infra B.C. D.F.I. cum Clem. μέτρῳ nescio cujus conjectura est a Stephano edita. 10. ὅτι δὲ καὶ—ἐπιδιαμονῆς om. B. c 2. πῦρ τροπὰς D. πυρὸς τροπὰς F.G. 3. θαλάσσης] θάλασσα F. 5. καὶ θεοῦ om. C. 7. τὸ om. D. qui v. seq. γῆ καὶ οὐρανός. 11. διαχέεται] διαχεῖται C.E.F.G.I. δηλοῖ σαφέστερον ... διαχεῖται D. d. πρόσθεν] πρῶτον Clem. qui addit γῆ post γενέσθαι. 6. κόσμου κινήσεως F.G. 8. τε αὖ om. B.D.

similis maneat, diserte profitetur his verbis, Mundum eundem, inquit, rerum universitatem complexum, deorum hominumve nemo condidit: sed fuit idem, est, eritque semper, ignis quidam perpetuo vivens, quique vicissim et accenditur modice, et modice restinguitur. Quod autem illum ipsum et genitum, et corruptioni obnoxium esse tradiderit, ex sequentibus intelligas. Sunt enim, inquit, ignis conversiones istæ, ut primum ex igni fiat mare, tum pars maris dimidia in terram, dimidia in vaporem igneum abeat. Nam quod eas conversiones potestate fieri vult, ab eo cujus vi cuncta reguntur Verbo atque Deo, ignem per aërem in humidum converti significat, quod ab eo mare vocatur, exterioris hujus ornatus quoddam quasi semen, ex quo deinde cœlum ac terra, quæque amborum sinu continentur, existant. Quemadmodum vero idem sibi reddatur, ac rursus ignescat, plane aperit, dum ita subjungit, Mare, inquit, eodem prorsus modo, eodemque mensionis genere diffunditur, quo priusquam terra fieret. Quod ipsum de aliis similiter elementis intellige.

32 Huic affinia docentur a Stoicorum eruditissimis, cum ab iis, de conflagratione, de gubernatione mundi, de eo, qui talis proprie sit, mundo et homine, deque animorum nostrorum permansione disputatur. Rursus

ΚΛΗΜΕΝΤΟΣ

των ἐν μὲν τῷ ἑβδόμῳ τῆς Πολιτείας τὴν ἐνταῦθα ἡμέραν
νυκτερινὴν ἡμέραν κέκληκεν διὰ τοὺς κοσμοκράτορας, οἶμαι,
τοῦ σκότους τούτου· ὕπνον δὲ καὶ θάνατον τὴν εἰς σῶμα ὁδὸν
τῆς ψυχῆς κατὰ ταὐτὰ τῷ Ἡρακλείτῳ. Καὶ μή τι τοῦτο
ἐπὶ τοῦ Σωτῆρος προεθέσπιζε τὸ Πνεῦμα, διὰ τοῦ Δαβὶδ
λέγον, Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντι- p. 677
λήψεταί μου· οὐ γὰρ τὴν ἀνάστασιν μόνον τοῦ [Σωτῆρος]
Χριστοῦ ἐξ ὕπνου ἔγερσιν, ἀλλὰ καὶ τὴν εἰς σάρκα κάθοδον
33 τοῦ Κυρίου ὕπνον ἀλληγορεῖ. Αὐτίκα ὁ αὐτὸς Σωτὴρ πα-
ρεγγυᾷ, γρηγορεῖτε· οἷον, μελετᾶτε ζῆν, καὶ χωρίζειν τὴν ψυχὴν τοῦ σώματος πειρᾶσθε. Τήν τε κυριακὴν ἡμέραν ἐν τῷ δεκάτῳ τῆς Πολιτείας ὁ Πλάτων διὰ τούτων καταμαντεύεται,

Ἐπειδὴ δὲ τοῖς ἐν τῷ λειμῶνι ἑκάστοις ἑπτὰ ἡμέραι γένοιντο,
ἀναστάντας ἐντεῦθεν δεῖ τῇ ὀγδόῃ πορεύεσθαι καὶ ἀφικνεῖσθαι τε- b
ταρταίους.

Λειμῶνα μὲν οὖν ἀκουστέον τὴν ἀπλανῆ σφαῖραν, ὡς ἥμερον χωρίον καὶ προσηνὲς καὶ τῶν ὁσίων χῶρον· ἑπτὰ δὲ ἡμέρας

d 10. ἡμέραν] ἡμετέραν C.F.G. 11. κέκληκεν] καλεῖ B.D. κέκλη C. 13. εἰς σῶμα] εἰς om. F. ὁδὸν] κάθοδον Clem. 14. κατὰ ταυτὰ] ὁμοίως B.D. καὶ ταῦτα F. Mox om. ἐπὶ τοῦ σωτῆρος B. 15. τοῦτο] τοῦτο τὸ D. ult. λέγον] λέγων C.

p. 677. 3. σωτῆρος om. C.F.G.I. Clem. 5. αὐτὸς om. B. σωτὴρ om. D. 11. ἀναστάντας] ἀναστάντες C.F.G. Mox δεῖ om. B.C.F.G.
ευ εν
ἐνταυθα D. qui statim om. δεῖ.

Plato Rep. p. 521. Ephes. 6, 12. Ps. 3, 5.

Plato ipse Reipublicæ septimo, nostrum hunc diem, nocturnum, ob *mundi principes*, opinor, *tenebrarum harum:* somnum vero atque mortem, animi descensum in corpus vocavit, Heraclitum sequutus. An non id Spiritus de Servatore nostro Davidis ore prædixit, his verbis, *Ego dormivi, et soporatus sum; exsurrexi, quoniam Dominus suscipiet me.* Nec enim solam Christi Servatoris resurrectionem, a somno excitationem, sed etiam Domini
33 in carnem descensum allegorice somnum appellat. Atque adeo Servator ipse nos ut vigilemus admonet, hoc est, ut de vita recte instituenda serio cogitemus, animumque nostrum a corporis complexu abstrahere conemur. Porro diem etiam dominicum, Reipublicæ decimo, his verbis vaticinatur Plato,

Plato Rep. p. 616.

Postquam eo in prato singuli dies septem constiterint, octavo demum inde proficisci oportet, eoque quatridui itinere pervenire.

Equidem pratum illud, sphæram stabilem et immotam accipio, qui locus est suavis admodum et placidus, sanctorumque sedes: at illo dierum sep-

ἑκάστην κίνησιν τῶν ἑπτὰ, καὶ πᾶσαν τὴν ἐργαστικὴν τέχνην εἰς τέλος ἀναπαύσεως σπεύδουσαν· ἡ δὲ μετὰ τοὺς πλανωμένους πορεία ἐπὶ τὸν οὐρανὸν ἄγει, τουτέστι τὴν ὀγδόην κίνησίν τε καὶ ἡμέραν· τεταρταίους δὲ τὰς ψυχὰς ἀπιέναι λέγει, δηλῶν τὴν διὰ τῶν τεσσάρων στοιχείων πορείαν. ΚΛΗΜΕΝΤΟΣ

34 Ἀλλὰ καὶ τὴν ἑβδόμην ἱερὰν οὐ μόνον οἱ Ἑβραῖοι, ἀλλὰ c
καὶ οἱ Ἕλληνες ἴσασι, καθ' ἣν ὁ πᾶς κόσμος κυκλεῖται τῶν ζῳογονουμένων καὶ φυομένων ἁπάντων. Ἡσίοδος μὲν οὖν οὕτω περὶ αὐτῆς λέγει,

> Πρῶτον ἔνη, τετράς τε, καὶ ἑβδόμη ἱερὸν ἦμαρ.

καὶ πάλιν,

> Ἑβδομάτη δ' αὖθις λαμπρὸν φάος ἠελίοιο.

Ὅμηρος δὲ,

> Ἑβδομάτη δ' ἤπειτα κατήλυθεν ἱερὸν ἦμαρ.

καὶ,

> Ἑβδόμη ἦν ἱερή. d

καὶ πάλιν,

b 5. ἐργατικὴν F.G.I. 11. Ἀλλὰ καὶ τὴν ἑβδόμην] De seqq. legatur Valckenærius Diss. de Aristob. p. 9. et 117. c 3. ἁπάντων] Pergit B. ἱερὰν σὺν τοῖς ἑβραίοις καὶ ἕλληνες ἴσασι omissis Ἡσίοδος usque ad ἀφαιρεῖται. p 678 c. καὶ φυομένων om. I. 5. ἔνι D. 6. καὶ τὰ λοιπὰ ὅσα πρὸ ὀλίγου περὶ τούτου προγέγραπται. ἀλλὰ καὶ αἱ Σόλωνος omissis mediis D. 10. καὶ ὅμηρος] ὅμηρος δὲ C.F.G.I.

tenario, singulos septem planetarum motus, atque omnem efficiendi artem intelligo, quæ ad requietis finem contendit ac properat. Quod autem post errantes illos orbes iter suscipitur, recta perducit in cœlum, is enim octavus est motus atque dies. Denique animos quatriduo proficisci dum ait, iter illud, quod per quatuor elementa conficitur, declarat.

34 Septimum quoque diem sacrum esse, non Hebræi modo, verum etiam Græci agnoscunt, cujus conversione animantium omnium atque plantarum universitas continetur. Quo de Hesiodus ita cecinit,

> Lunæ prima dies, tum quarta, et septima sacra est.

Itemque,

> Septima jamque dies, læti lux candida solis.

Et Homerus,

> Septima sacra dies reserato illuxerat orbi.

Et,

> Septima sacra fuit.

Et rursus,

ΚΛΗΜΕΝΤΟΣ

Ἕβδομον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα.

καὶ αὖθις,

Ἑβδομάτῃ δ' ἠοῖ λίπομεν ῥόον ἐξ Ἀχέροντος.

Ναὶ μὴν καὶ Καλλίμαχος ὁ ποιητὴς γράφει,

Ἑβδομάτῃ δ' ἠοῖ, καί οἱ ἐτέτυκτο ἅπαντα.

καὶ πάλιν,

Ἑβδόμη εἰν ἀγαθοῖς, καὶ ἑβδόμη ἐστὶ γενέθλη.

καὶ, p. 678

Ἑβδόμη ἐν πρώτοισι, καὶ ἑβδόμη ἐστὶ τελεία.

καὶ,

Ἑπτὰ δὲ πάντα τέτυκτο ἐν οὐρανῷ ἀστερόεντι,
Ἐν κύκλοισι φανέντ' ἐπιτελλομένοις ἐνιαυτοῖς.

35 Ἀλλὰ καὶ αἱ Σόλωνος ἐλεγεῖαι σφόδρα τὴν ἑβδομάδα ἐκθειάζουσι.

Τὰ δὲ οὐχὶ παραπλήσια τῇ λεγούσῃ γραφῇ, Ἄρωμεν ἀφ' ἡμῶν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν, ὁ Πλάτων μονον- b

d 3. *Ἕβδομον ἦμαρ*] Versus ex Hom. Od. ε'. 262. adumbratus. 6. *λίπομεν*] *λείπομεν* C.G. *δόονα* I. pro *δήοι*. 8. *ὁ Καλλίμαχος* F. 9. *δὲ ἔην*] *δ' ἦν* C.F.G.I. *δ' ἠοῖ* Clem. quæ lectio latet in *δ' ἦν*. *τετύκοντο* Clem. pen. *ἀγαθοῖς*] *ἀγαθοῖσι* Clem. *καὶ ἑβδόμη*] *ἑβδόμην* C.F.

p. 678. 2. *τελεία*] *τελείη* Clem. 7. *ἐπιτελλομένοις*] *ἐπιτελουμ.* C. 10. *τὰ δὲ*] *τί δέ;* Clem.

Septima lux aderat, qua cuncta exacta fuere.

Atque iterum,

Septima ubi orta dies, Acherontis liquimus undas.

Quibus accinit Callimachus poëta,

Septima jamque dies, qua cuncta exacta, rubebat.

Itemque,

Omine læta dies est septima, septima rerum

Et,

Ortus, et eximias inter perfecta coruscat.

Et,

Omnia sidereo septena videntur in orbe,
Motibus et propriis certos volvuntur in annos.

35 Quam diem, uti sanctiorem, ipsæ quoque Solonis elegiæ mirum in modum prædicant.

Sap. 2, 12. Quid præterea? nonne sacris literis congruenter, ubi hæc improborum vox est, *Tollamus justum a nobis, quoniam molestus nobis est;* Plato salu-

οὐχὶ προφητεύων τὴν σωτήριον οἰκονομίαν ἐν τῷ δευτέρῳ τῆς Πολιτείας οὕτω φησὶν, ΚΛΗΜΕΝΤΟΣ

Οὕτω δὲ διακείμενος ὁ δίκαιος μαστιγώσεται, δεδήσεται, ἐκκοπήσεται τὼ ὀφθαλμὼ, τελευτῶν πάντα κακὰ παθὼν, ἀνασκινδυλευθήσεται.

[397] Ὅ τε Σωκρατικὸς Ἀντισθένης παραφράζων τὴν προφητικὴν ἐκείνην γραφὴν, Τίνι με ὡμοιώσατε; Λέγει Κύριος, Θεὸν οὐδενὶ ἐοικέναι φησί, διόπερ αὐτὸν οὐδεὶς ἐκμαθεῖν ἐξ εἰκόνος δύναται. Τὰ δὲ ὅμοια καὶ Ξενοφῶν ὁ Ἀθηναῖος c
κατὰ λέξιν λέγει, Ὁ γοῦν πάντα σείων καὶ ἀτρεμίζων, ὡς μὲν μέγας τις καὶ δυνατὸς, φανερός· ὁποῖος δ' ἐστὶ μορφὴν, ἀφανής. Οὐδὲ μὴν ὁ παμφαὴς δοκῶν εἶναι ἥλιος, οὐδ' οὗτος ἔοικεν ὁρᾶν αὐτὸν ἐπιτρέπειν· ἀλλ' ἤν τις ἀναιδῶς αὐτὸν θεάσηται, τὴν ὄψιν ἀφαιρεῖται.

Τίς γὰρ σὰρξ δύναται τὸν ἐπουράνιον καὶ ἀληθῆ
ὀφθαλμοῖσιν ἰδεῖν Θεὸν ἄμβροτον, ὃς πόλον οἰκεῖ;
Ἀλλ' οὐδ' ἀκτίνων κατ' ἐναντίον ἠελίοιο, d
ἄνθρωποι στῆναι δυνατοὶ, θνητοὶ γεγαῶτες·

b 2. προφητεύων] προφητεύειν C.F.G. 4. δίκαιος] ὁ δίκ. C.D.F.G. 6. κακὰ παθὼν] κακοπαθῶν C.F.G. 9. γραφὴν] φωνὴν Clem. 10. θεὸν om. Clem. c 3. καὶ φανερὸς D. 5. παμφαὴς] παμφανὴς Stobæus quomodo reponit Davisius ad Ciceron. N. D. I. 12. 7. αὐτὸν ἀναιδῶς] ἀναιδῶς αὐτὸν C.F.G.I. 8. τὴν ὄψιν om. D. 9. τίς γὰρ] καὶ πάλιν Ξενοφῶν ὁ ἀθηναῖος κατὰ λέξιν λέγει. τίς γὰρ δύναται B. 12. πόλον] πόλιν B.C. Tum οἰκεῖν D. d 2. γεγαῶτες] γεγονῶτες B.

tarem Christi dispensationem tantum non prænuntians, ita loquitur secundo de Republica, Plato Rep. p. 362 a.

Justo, inquit, illi, qui sic animo comparatus erit, verbera imponentur, injicientur vincula, oculi eruentur. Idem postremo hæc omnia perpessus, agetur in crucem.

Socraticus etiam Antisthenes illam prophetæ vocem, *Cui me assimilavistis? dicit Dominus,* paraphrasi quadam explicans, Deum nemini similem esse ait, quod ejus in cognitionem ullius ex imaginis specie venire nemo possit. Quibus affinia Xenophon Atheniensis hæc habet ad verbum, Qui omnia concutiat, idemque tranquillet, eum et magnum et potentem esse constat; qua vero specie sit, non liquet. Ac ne sol ipse quidem, ut lucem quoquo versum diffundere videatur, impune tamen sese videri patitur: quisquis enim in eum impudenter intueri conetur, visum amittit. v. Mem. IV. 3, 13. c. n. Schneideri. Protrept. c. VI. 71. Stob. Ecl. II. 1. 19. c. n. Heeren. p. 19.

Quæ caro verum oculis, immortalemque videret,
Cœlestemque Deum, cujus super æthera sedes?
Quippe, nec adversi radiantia spicula solis
Mortales subeant defixo lumine visus.

ΚΛΗΜΕΝΤΟΣ

προεῖπεν ἡ Σιβύλλα.

36 Εὖ γοῦν καὶ Ξενοφάνης ὁ Κολοφώνιος διδάσκων ὅτι εἷς καὶ ἀσώματος ὁ Θεὸς, ἐπιφέρει,

Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
Οὔ τι δέμας θνητοῖσιν ὁμοίιος, οὐδὲ νόημα.

καὶ πάλιν,

—— ἀλλ' οἱ βροτοὶ δοκοῦσι γεννᾶσθαι θεοὺς
τὴν σφετέρην δ' ἐσθῆτα ἔχειν, φωνήν τε, δέμας τε. p. 679

καὶ πάλιν,

—— ἀλλ' εἰ χεῖρας ἔχον βόες, ἠὲ λέοντες,
ἢ γράψαι χείρεσσι, καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὅμοιοι,
καί κε θεῶν ἰδέας ἔγραφον, καὶ σώματ' ἐποίουν
τοιαῦθ', οἷόν περ καὐτοὶ δέμας εἶχον ὅμοιον. b

37 Ἀκούσωμεν οὖν πάλιν Βακχυλίδου μὲν τοῦ μελοποιοῦ, περὶ τοῦ θείου λέγοντος,

d 4. προεῖπεν] προσεῖπεν F. εὖ γοῦν καὶ ξενοφ.] καὶ ξενοφ. γοῦν B. 9. ὅμοιός τ'] τ' om. B.C.I. cum Steph. concordat D. 11. ἀλλὰ] ἀλλ' οἱ B.C.D.F.G.I. δοκέουσι θεοὺς γεννᾶσθαι] δοκοῦσι γεν. θεοὺς C. F.G.I. δοκοῦσι item B.E. γεννᾶσθαι om. B. In D. γεννᾶσθαι θεούς.
p. 679. σφετέραν] σφετέρην B.C.F.G. Mox nescio an ex Theodoreto sumendum αἴσθησιν pro ἐσθῆτα. φωνὴν—εἴκελοι om. B. δ' om. D. 4. εἰ] εἰς D. 6. καὶ γράψεαι F.G. 10. καί κε] κε om. C.E.F.G.I. καί κε om. D. σώματ'] δώματ' D.E.F.G. Mox ἐποιοῦντο αὐθ' οἷον F.G. b. τοιαῦθ'] ἀνθ' C.

ut jam olim Sibylla cecinit.

36 Jure igitur ac merito Xenophanes ille Colophonius, Deum unum, et corporis expertem esse docens, ita cecinit,

Maximus idem hominum ac superûm deus unicus ille est,
Quem mortalis homo non mente aut corpore reddat.

Atque iterum,

ast homines generari numina credunt,
Illaque voce sibi, cultuque et corpore prorsus,
Assimilant.

Itemque,

si manus apta bovi, manus apta leoni,
Pingeret, atque hominum tractare assuesceret artes:
Illa bovi similes superos, similesque leoni
Fingeret; acer equus specie formaret equina.
Quisque suo proprium vestiret corpore numen.

37 Rursus et Bacchylidem lyricum ita de divino numine loquentem audiamus,

ΚΛΗΜΕΝΤΟΣ

Οἱ μὲν ἀδμῆτες ἀεικελίων νούσων εἰσὶ καὶ ἀναίτιοι, οὐδὲν ἀνθρώποις εἴκελοι.

Κλεάνθους τε τοῦ Στωϊκοῦ ἔν τινι ποιήματι περὶ τοῦ θεοῦ ταῦτα γεγραφότος ἄκουε,

Τἀγαθὸν ἐρωτᾷς μ' οἷόν ἐστ'; Ἄκουε δή.
Τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβὲς, c
κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλὸν, δέον,
αὐστηρὸν, αὐθέκαστον, ἀεισύμφορον,
ἄφοβον, ἄλυπον, λυσιτελὲς, ἀνώδυνον,
ὠφέλιμον, εὐάρεστον, ἀσφαλὲς, φίλον,
ἔντιμον, ὁμολογούμενον,
εὐκλεὲς, ἄτυφον, ἐπιμελὲς, πρᾷον, σφοδρὸν,
χρονιζόμενον, ἄμεμπτον, ἀεὶ διαμένον.

38 Ὁ δὲ αὐτὸς κατὰ τὸ σιωπώμενον τὴν τῶν πολλῶν διαβάλ- d
λων εἰδωλολατρείαν ἐπιφέρει,

Ἀνελεύθερος πᾶς, ὅστις εἰς δόξαν βλέπει,
ὡς δὴ παρ' ἐκείνης τευξόμενός τινος καλοῦ.

Οὔκουν ἔτι κατὰ τὴν τῶν πολλῶν δόξαν περὶ τοῦ θείου ὑποληπτέον·

b 5. ἀεικελίων] ἀεὶ καὶ λίαν Clem. 7. Κλεάνθους δὲ τοῦ στωϊκοῦ] Κλεάνθης δέ θ' ὁ στωϊκὸς B. τε C.D.F.G.I. pro δέ. 8. τοῦ θεοῦ] τοῦ om. B. qui mox γράφει pro γεγραφότος ἄκουε. ἄκουε om. F.G. c 2. καλὸν δέον om. B. 3. ἀεισύμφορον] ἀεὶ συμφέρον B.F.I. 6. εὐάρεστον B. C.D.F.G. ante ἀσφαλὲς non post ἔντιμον. Utrobique I. 10. χρονιζόμενον] χρονίζον B. qui om. ἄμεμπτον. d 2. ἐπιφέρει] λέγει B. 5. ἐκείνης] ἐκείνοις E.I. 7. τῶν πολλῶν] τῶν om. C.F.G.

Hi fœdis semper gravibusque morbis indomiti:
Innocentes, nec ulla in re mortalibus similes.

Et Cleanthem Stoicum, cujus in quodam poëmate sunt, quæ sequuntur,

Quidnam bonum sit me rogas? Jamjam accipe.
Quod ordinatum est, integrum, sanctum, pium,
Suique compos, utile, decens, commodum,
Grave, ac severum, quodque semper conferat.
Metu ac dolore majus, et molestia:
Salubre, jucundum, et sibi consentiens.
Clarum, ac modestum, sedulum, lene, ac potens,
Perenne, labis nescium, ac semper manens.

38 Tum idem vulgi tacite idololatriam carpens, ista subdit,

Opinionem qui sequitur, haud liber est.
Frustra inde quicquam stultus expectet boni.

Non igitur amplius de Deo est, ex vulgi opinione sentiendum,

ΚΛΗΜΕΝΤΟΣ

—— Οὐδὲ γὰρ λάθρα δοκῶ,
φωτὸς κακούργου σχῆματ' ἐκμιμούμενον,
σοὶ τήνδ' ἐς εὐνὴν, ὥσπερ ἄνθρωπον, μολεῖν.

Ἀμφίων λέγει τῇ Ἀντιόπῃ. Ὁ Σοφοκλῆς δὲ εὐθυρημόνως p. 680 γράφει,

Τὴν τοῦδε γάρ τοι Ζεὺς ἔγημε μητέρα,
οὐ χρυσόμορφος, οὐδ' ἐπημφιεσμένος
πτίλον κύκνειον, ὡς κόρην Πλευρωνίαν
ὑπημβρύωσεν, ἀλλ' ὁλοσχερὴς ἀνήρ.

Εἶτα ὑπελθὼν καὶ δὴ ἐπήγαγε,

Ταχὺς δὲ βαθμοῖς νυμφικοῖς ἐπεστάτει
ὁ μοιχός.

Ἐφ' οἷς ἔτι φανερώτερον τὴν ἀκρασίαν τοῦ μυθοποιουμένου Διὸς ὧδέ πως ἐκδιηγεῖται,

[398] Ὁ δ' οὔτε δαιτὸς, οὔτε χέρνιβος θιγὼν b
πρὸς λέκτρον ᾔει καρδίαν ὠδαγμένος,
ὅλην δ' ἐκείνην εὐφρόνην ἐθόρνυτο.

39 Ταυτὶ μὲν οὖν παρείσθω ταῖς τῶν θεάτρων ἀνοίαις. Ἀντι-

ult. σ' ἐς εὐνὴν] σοι τήνδ' ἐς εὐνὴν B.C.E.F.G. σε τὴν δὲ σεμνὴν D. σε τὴν δ' ἐς I. σοι Ζῆν' ἐς εὐνὴν Valckenær. Diatr. Eurip. p. 63.
p. 680. ἐν τῇ] ἐν om. B.C.I. 2. εὐθυρρημ.] εὐθυρημ. B.C.F. 3. γάρ τοι] τοι om. C.F.G. 4. ἐπημφιεσμένος] ἠμφιεσμένος B. 5. πτίλον] πτίλου C. πίλον I. Mox κύκνιον B. κείκνειον F. 7. εἶτα—ἀγένητον om. B. 8. μοιχικοῖς ἐπεστάθη] μυθικοῖς ἐπεστάτει C.F.G. νυμφικοῖς ἐπεσχάλη Clem. b. ᾔει] εἴη C. 3. οὖν om. D. qui v. seq. om. δέ.

haud enim numen reor,
Hominis scelesti clanculum speciem induens,
Tuum hoc cubile petere, prout homines solent.

Inquit Amphion Antiopæ. Sophocles vero plane ac diserte,

Ejus parenti namque nupsit Juppiter,
Non flavus auro, non olor pluma nitens,
Qualis puellæ junctus est Pleuroniæ,
Matremque fecit : ast homo plane integer.

Quibus deinceps hæc attexit,

Notis volucrem postibus gressum intulit
Adulter.

Tum adhuc apertius impotentem fabulosi Jovis libidinem exponens, ita prosequitur,

Non dextra lympham, non cibum lingua attigit :
At pectus acri saucius morsu, torum
Init, atque veneri nocte se tota dedit.

39 Verum ista theatrorum insaniæ reserventur. Heraclitus quidem perspicue,

κρυς δὲ ὁ μὲν Ἡράκλειτος, τοῦ λόγου τοῦ δέοντος ἀεὶ, φησὶν, ἀξύνετοι γίγνονται ἄνθρωποι, καὶ πρόσθεν ἢ ἀκοῦσαι, καὶ ἀκούσαντες τὸ πρῶτον. Ὁ μελοποιὸς δὲ Μελανιππίδης ᾄδων φησὶ, ΚΛΗΜΕΝΤΟΣ

Κλῦθί μοι, ὦ πάτερ, θαῦμα βροτῶν,
τᾶς ἀειζώου ψυχᾶς μεδέων.

Παρμενίδης τε ὁ μέγας, ὥς φησιν ἐν Σοφιστῇ Πλάτων, ὧδέ c πως περὶ τοῦ θείου γράφει,

Πολλὰ μάλ' ὡς ἀγένητον ἐὸν καὶ ἀνώλεθρόν ἐστι,
οὖλον, μουνογενὲς δὲ, καὶ ἀτρεμὲς, ἠδ' ἀγένητον.

Ἀλλὰ καὶ ὁ Ἡσίοδος,

Αὐτὸς γὰρ πάντων,
φησὶ, βασιλεὺς καὶ κοίρανός ἐστιν
ἀθανάτων, σέο δ' οὔ τις ἐρήρισται κράτος ἄλλος.

40 Ναὶ μὴν καὶ ἡ τραγῳδία ἀπὸ τῶν εἰδώλων ἀποσπῶσα, εἰς d τὸν οὐρανὸν ἀναβλέπειν διδάσκει. Ὁ μὲν γὰρ Σοφοκλῆς, ὥς φησιν Ἑκαταῖος ὁ τὰς ἱστορίας συνταξάμενος ἐν τῷ κατὰ Ἄβραμον καὶ τοὺς Αἰγυπτίους, ἄντικρυς ἐπὶ τῆς σκηνῆς ἐκβοᾷ,

b 4. τοῦ λόγου] Vide Aristot. Rhet. III. 5, 6. 7. καὶ ἀκούσ.] καὶ om. C.F.G. 10. ἀειζώου] ἀειζώους C.F. τὰς ἀειζώω μεδέων ψυχὰς D. μεδέων ψυχὰς F. c. τοῦ θείου] τοῦ om. F. 4. μοῦνον] οὖλον C. F.G. et sic Clem. 6. ἀλλὰ καὶ ὁ Ἡ.] καὶ ὁ Ἡ. φησὶν B. ὁ om. C.F. 7. ἐστὶ φησὶ I. φησὶ om. B. Mox ἐστιν B.C.F.G.I. pro ἐσσί. d 2. ὥς φησιν—Αἰγυπτίους om. B.

homines ait, seu prius, seu postquam audierint, in commodæ rationis semper ignoratione versari. Et lyricus Melanippides ita cecinit,

Audi me, o pater, stupor mortalium,
Qui semper viventem animum regis.

Et magnus ille Parmenides, ut ait Plato in Sophista, de deo hunc in modum scribit, Plat. Soph. p. 237 A.

Nec satus est unquam, nec morti obnoxius ulli;
Integer, unigena, inconcussus, nescius ortus.

Imo etiam Hesiodus,

Te regem ac dominum immortalis turba fatetur,
Non alius tecum imperio contendere possit.

40 Quin et ipsa quoque tragœdia, ab idolorum cultu abducens, in cœlum oculos tollere nos decet. Sophocles enim, ut refert Hecatæus historicus, in eo quem de Abramo et Ægyptiis conscripsit libro, hæc palam vociferatur e scena,

ΚΛΗ-ΜΕΝ-ΤΟΣ

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν Θεὸς,
ὃς οὐρανόν τ᾽ ἔτευξε, καὶ γαῖαν μακρὴν,
πόντου τε χαροπὸν οἶδμα, κἀνέμων βίας.
Θνητοὶ δὲ πολλοὶ καρδίαν πλανώμενοι,
ἱδρυσάμεσθα πημάτων παραψυχὴν,
θεῶν ἀγάλματ᾽ ἐκ λίθων, ἢ χαλκέων,
ἢ χρυσοτεύκτων, ἢ ἐλεφαντίνων τύπους.
θυσίας τε τούτοις καὶ καλὰς πανηγύρεις
στέφοντες, οὕτως εὐσεβεῖν νομίζομεν. p. 681

41 Εὐριπίδης δὲ ἐπὶ τῆς αὐτῆς σκηνῆς τραγῳδῶν,

Ὁρᾷς, (φησὶ), τὸν ὑψοῦ τόνδ᾽ ἄπειρον αἰθέρα,
καὶ γῆν πέριξ ἔχονθ᾽ ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα, τόνδ᾽ ἡγοῦ θεόν.

Ἔν τε τῷ Πειρίθῳ δράματι ὁ αὐτὸς καὶ τάδε τραγῳδεῖ,

Σὲ τὸν αὐτοφυῆ, τὸν ἐν αἰθερίῳ
ῥόμβῳ πάντων φύσιν ἐμπλέξανθ᾽, b
ὃν πέρι μὲν φῶς, πέρι δ᾽ ὀρφναία
νὺξ αἰολόχρως, ἄκριτός τ᾽ ἄστρων
ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει.

d 7. τέτευχε] τ᾽ ἔτευξε C.F.G.I. Clem. ὃς οὐρανὸν—νομίζομεν om. B. οὐρανὸν ἔταξε D. 9. βίας] βίαν Clem. 13. τύπους] πύθους D. ult. καλὰς] κακὰς C.D.F.G.

p. 681. εὐσεβεῖν] εὐσεβῆ D. 4. ὁρᾷς] ἡρᾶς C. 6. ἀγκάλαις] ἀγκύλαις B. ἐν om. C. ἐν ὑγ. ἀγ. F.G. 11. σὲ τὸν] σὲ om. B.C.I. τὸν ἐν D.F.G. b 3. αἰολόχρως] αἰολόχρεως B. αἰυλόχρως C.

Unus profecto est, unus hic tantum Deus,
Qui cœlum et amplas condidit terræ plagas,
Cærulea ponti terga, et infrænes notos.
At nos miselli, pectore errantes vago,
Calamitatum finximus solatia,
Formas deorum saxeas, aut æreas,
Aurove ductas fusili, aut eburneas.
His dum immolamus, dum stato augustos die
Reddimus honores, esse nos remur pios.

41 Quo eodem ex loco Euripides,

Vides sublime fusum immoderatum æthera,
Qui tenero terram circumjectu amplectitur?
Hunc summum habeto divum, hunc perhibeto Jovem.

Idem in dramate, quem Pirithoum inscribit,

Te, qui te ipso es: quique ætherio
Rerum omne genus turbine versas:
Quem clara dies, quem turbida nox,
Et multicolor; quemque astrorum
Vis, non uno lumine fulgens,
Circum assiduo volvitur orbe.

Ἐνταῦθα γὰρ τὸν μὲν αὐτοφυῆ τὸν δημιουργὸν νοῦν εἴρηκε, τὰ δ' ἑξῆς ἐπὶ τοῦ κόσμου τάσσεται, ἐν ᾧ καὶ [αἱ] ἐναντιότητες φωτός τε καὶ σκότους. Ὅ τε Εὐφορίωνος Αἰσχύλος ἐπὶ τοῦ Θεοῦ σεμνῶς σφόδρα φησὶ, ΚΛΗΜΕΝΤΟΣ

> Ζεύς ἐστιν αἰθὴρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανὸς,
> Ζεύς τοι τὰ πάντα, χὤτι τῶνδ' ὑπέρτερον. c

42 Οἶδα ἐγὼ καὶ Πλάτωνα προσμαρτυροῦντα Ἡρακλείτῳ γράφοντι, Ἓν τὸ σοφὸν, μοῦνον λέγεσθαι οὐκ ἐθέλει, καὶ ἐθέλει Ζηνὸς οὔνομα. Καὶ πάλιν, Νόμος καὶ βουλῇ πείθεσθαι ἑνός. [399] Κἂν τὸ ῥητὸν ἐκεῖνο ἀναγαγεῖν ἐθέλῃς, Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω, εὕροις ἂν ὧδε ἐμφαινόμενον πρὸς τοῦ Ἐφεσίου, Ἀξύνετοι ἀκούσαντες κωφοῖσιν ἐοίκασι· φάτις αὐτοῖσι μαρτυρεῖ παρεόντας ἀπεῖναι. Ἀλλ' ἄντικρυς μίαν ἀρχὴν καὶ παρ' Ἑλλήνων ἀκοῦσαι ποθεῖς; Τίμαιος ὁ Λοκρὸς ἐν τῷ φυσικῷ συγ- d γράμματι κατὰ λέξιν ὧδέ μοι μαρτυρήσει, Μία ἀρχὰ πάντων ἐστὶν ἀγέννητος· εἰ γὰρ ἐγένετο, οὐκ ἂν ἦν ἔτι ἀρχὰ, ἀλλ' ἐκείνα, ἐξ ἇς ἁ ἀρχὰ ἐγένετο. Ἐρρύη γὰρ ἐκεῖθεν ἡ δόξα ἡ ἀληθινὴ,

b 5. ἐνταῦθα—εἴρηκε om. B. et mox om. ἐν ᾧ καὶ—γῆν δρακί p. 686 b. 7. καὶ αἱ] αἱ om. D. cum Clem. 9. σεμνῶς om. C. σεμνὸς D. c. χωρεῖ τῶνδ'] χωρεῖ τῶδ' D.F.I. Dedi χὤτι cum Clem. 3. Πλάτωνα] ὁ Πλ. C. τὸν Πλάτωνα F. 5. ὄνομα] οὔνομα D. 7. τὸ ῥητὸν] τῷ ῥητῷ D. 12. μίαν ἀρ. καὶ παρ' Ἑ.] καὶ παρ' Ἑ. μίαν ἀ. C.F.G. d 2. ἀγένητος D. supra μοι om. D. 4. ἧς] ἇς C.F.G. ἐρρύει] ἐρρύη D.F.G. 5. ἡ ἀληθ.] ἡ om. F.

Hic enim ex sese ortum, artificem intellectum vocavit. Quæ sequuntur, ad mundum pertinent, in quo lucis etiam est tenebrarumque conflictus. Similiter Æschylus Euphorionis filius, ita de Deo, sane quam graviter.

> Æther, solumque est, atque cœlum Juppiter,
> Cuncta simul idem est, majus et si quid super.

42 Platonem quoque novi sentire cum Heraclito, hunc in modum scribente; Quod unum sapiens est, solum tamen dici non vult, idemque Jovis nomen amat. Atque iterum, Lex est, inquit, hujus unius parere consilio. Quod si altiore sensu dictum illud accipere volueris, *Qui habet aures audiendi, audiat,* sic ab Ephesio illustratum invenies, Qui quod audiunt, intelligentia non assequuntur, surdis illi similes sunt: in quos tritum illud conveniat, præsentes abesse. Num vero Græcorum etiam ex ore principium unum audire gestis? Testem dabo Timæum Locrum, qui libro de natura sic ad verbum loquitur, Unum omnium principium est, quod ortu caret: nam si aliunde ortum esset, principium jam non esset, sed illud potius, unde

Mat. 11, 15.

ΚΛΗΜΕΝΤΟΣ

Ἄκουε, φησὶν, Ἰσραὴλ, Κύριος ὁ Θεός σου εἷς ἐστι, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

> Οὗτος ἰδοὺ πάντεσσι σαφὴς ἀπλάνητος ὑπάρχει,

ὥς φησιν ἡ Σιβύλλα.

43 Ξενοκράτης τε ὁ Καρχηδόνιος τὸν μὲν ὕπατον Δία τὸν δὲ νέατον καλῶν, ἔμφασιν Πατρὸς ἀπολείπει καὶ Υἱοῦ. Καὶ τὸ παραδοξότατον, γινώσκειν φαίνεται τὸ θεῖον ὁ ἀνθρω- p. 682 a ποπαθεῖς εἰσάγων τοὺς θεούς· ὃν οὐδ᾽ οὕτως αἰδεῖται Ἐπίκουρος. Φησὶ γοῦν,

> Τίπτε με, Πήλεος υἱὲ, ποσὶν ταχέεσσι διώκεις,
> αὐτὸς θνητὸς ἐὼν, θεὸν ἄμβροτον; οὐδέ νυ πώ με
> ἔγνως, ὡς θεός εἰμι.

οὐχ ἁλωτὸν γὰρ εἶναι θνητῷ οὐδὲ καταληπτὸν τὸ θεῖον οὔτε ποσὶν οὔτε χερσὶν οὔτε ὀφθαλμοῖς οὐθ᾽ ὅλως τῷ σώματι δεδή- b λωκε. Τίνι ὡμοιώσατε Κύριον; Ἢ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; φησὶν ἡ γραφή. Μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος, χωνεύσας χρυσίον, περιεχρύσωσεν αὐτόν; Καὶ τὰ ἐπὶ τούτοις.

44 Ὅ τε κωμικὸς Ἐπίχαρμος σαφῶς περὶ τοῦ Λόγου ἐν τῇ Πολιτείᾳ λέγει ὧδέ πως,

d 6. κύριος] καὶ F. 8. οὗτος ἰδοὺ] οὕτως ἰδὸν C.F.
p. 682. 3. γὰρ] γοῦν C.D.F.G. τίπτε με om. C. 6. θεὸν om. C.F.G. Mox om. πώ με C. b. ὅλως] ὅλω C.F.G. οὐδόλως D.I. 4. τέκτων ἢ] τέκτων καὶ F.G.

ortum haberet. Quæ opinio, sane vera, ex dicto illo profecta est, *Audi,* inquit, *Israel, Dominus Deus tuus, unus est, eique soli servies.*

Deut. 6, 4.

> Omnibus ecce patet, nulloque errore vagatur,

Ut Sibylla cecinit.

43 Xenocrates etiam Carthaginiensis, qui summum Jovem unum appellat, infimum alterum; Patris nonnullam dat ac Filii significationem. Quodque præter omnem opinionem est, Homerus ipse numen agnoscere videtur, qui deos introducit humano more sensuque commotos, quem tamen ne sic quidem reveretur Epicurus. Est enim Homeri quod sequitur,

> Quid me immortalem porro, mortalis Achille,
> Præcipiti cursu insequeris? mea numina nondum
> Scilicet agnosti.

Quo quidem numen ejusmodi esse declarat, quod nec pedibus, nec manibus, nec oculis, nec toto corpore, mortalis quisquam assequi capereque possit. *Cui similem fecistis Dominum? aut cui imagini assimilavistis eum?* inquit scriptura. *Nunquid sculptile conflavit faber, aut aurifex auro fuso*

Esai. 40, 18, 19.

44 *inauravit eum?* et quæ sequuntur. Et Epicharmus comicus in Republica, sic de Logo perspicue,

ΚΛΗΜΕΝΤΟΣ

Ὁ βίος ἀνθρώποις λογισμοῦ κἀριθμοῦ δεῖται πάνυ·
ζῶμεν [δ' ἐν] ἀριθμῷ καὶ λογισμῷ, ταῦτα γὰρ σώζει βροτούς. c

Εἶτα διαρρήδην ἐπιφέρει,

Ὁ λόγος ἀνθρώπους κυβερνᾷ, κατὰ τρόπον σώζει.

Εἶτα εἰ

Ἔστιν ἀνθρώπων λογισμὸς, ἔστι καὶ θεῖος λόγος.
Ὁ λόγος ἀνθρώπῳ πέφυκε περὶ βίου καταστροφάς.
Ὁ δέ γε τὰς τέχνας ἅπασι συνέπεται θεῖος λόγος,
ἐκδιδάσκων αὐτὸς αὐτοὺς, ὅ τι ποιεῖν δεῖ συμφέρον. d
Οὐ γὰρ ἄνθρωπος τέχναν [τιν'] εὗρ[εν,] ὁ δὲ θεὸς ταύταν φέρει.
Ὁ δέ γε τἀνθρώπου [λόγος] πέφυκεν ἀπό γε τοῦ θείου λόγου.

45 Ναὶ μὴν διὰ τοῦ Ἡσαΐου Πνεύματος κεκραγότος, *Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων οὐ βούλομαι.* Καὶ μετ' ὀλίγα ἐπαγαγόντος, *Λούσασθε, καθαροὶ γενέσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν.* Καὶ τὰ ἐπὶ τούτοις Μένανδρος ὁ κωμικὸς αὐταῖς γράφει ταῖς λέξεσιν,

Εἴ τις δὲ θυσίαν προσφέρων, ὦ Πάμφιλε,

c. ζῶμεν δ' ἐν] δ' ἐν delet Grotius. ἐν non agnoscit Clem. 4. πρόσωπον καὶ σώζει] τρόπον σώζει (σώζειν F.)· εἰ ἔστιν C.D.F.G. τρόπον σώζεις εἰ I. Addidi εἶτα ante εἰ ex Clem. 6. ἀνθρώπῳ Clem. ἀνθρώπω Grot. ἔστι καὶ] καὶ om. C. 8. ὁ λόγος om. C.D.F.G.I. 10. τέχνας om. C. d. διδάσκων] Dedi ἐκδιδάσκων cum Clem. 4. ταύτην] ταύταν C.D.F.G.I. Supra τιν' om. Clem. 6. θείου] τοῦ θείου D.F.G. Delendum mihi videtur λόγος ante πέφυκεν. 8. τί μοι] εἰμὶ τί μοι C.F. εἰ μή τι μοι G. 13. καὶ ἐπὶ] καὶ τὰ ἐπὶ C.D.F.G.I. Clem. Supra ἡμῶν D. 15. Εἴ τις] Inter Menandri spuria collocavit Meinekius p. 306.

Humana vita ratione ac numero prorsus indiget,
Numero ac ratione vivimus: ambo nos fovent,

Tum ita diserte,

Ratio mortales regit, moresque servat.

Deinde,

Si est in homine ratiocinatio, est et divina ratio.
Ratio homini innata est, ad casus vitæ varios.
Ratio divina artes cuique moderatur suas:
Omnibus per se aperit, quid magis cuique conferat.
Haud enim artem ullam homo reperit, deus hanc unus parit.
Ratio nimirum hominis, ratione ex divina sata est.

45 Porro cum Isaiæ voce hæc Spiritus inclamet, *Quo mihi multitudinem victimarum vestrarum? dicit Dominus: plenus sum holocaustis; adipem agnorum, et sanguinem taurorum nolo.* Isa. 1, 11. Idemque subjungat paulo post, *Lavamini, mundi estote, auferte nequitias ex animabus vestris.* v. 16. Tum in eandem sententiam Menander comicus totidem verbis ita scribit,

Si quis, quod hœdi, vel bovis, mi Pamphile,

ΚΛΗΜΕΝΤΟΣ

ταύρων τι πλῆθος, ἢ ἐρίφων, ἢ νὴ Δία p. 683
ἑτέρων τοιούτων, ἢ κατασκευάσματα,
χρυσᾶς ποιήσας χλαμύδας, ἤτοι πορφυρᾶς,
ἢ δι' ἐλέφαντος ἢ σμαράγδου ζῴδια,
εὔνουν νομίζει τὸν θεὸν καθεστάναι,
πεπλάνητ' ἐκεῖνος, καὶ φρένας κούφας ἔχει.
Δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον πεφυκέναι,
[400] μὴ παρθένους φθείροντα καὶ μοιχώμενον,
κλέπτοντα, καὶ σφάττοντα χρημάτων χάριν.
μηδὲ βελόνης ἕναμμ' ἐπιθυμῇς, Πάμφιλε, b
ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρών.

46 Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ Θεὸς πόρρωθεν. Ποιήσει τι ἄνθρωπος ἐν κρυφαίοις, καὶ οὐκ ὄψομαι αὐτόν; Διὰ Ἱερεμίου φησί. Καὶ πάλιν ὁ Μένανδρος παραφράζων τὴν γραφὴν ἐκείνην Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον, ὧδέ πως γράφει,

μηδὲ βελόνης,
ὦ φίλτατ', ἐπιθύμησον ἀλλοτρίας ποτέ.
Ὁ γὰρ θεός γ' ἔργοις δικαίοις ἥδεται, c

p. 683. 11. μοιχώμενον] μοιχώμενος C. 13. ἅμμα] ἓν ἅμμα ἐπιθυμήσης D.F.G. ἐπιθυμήσας E. ἅμα C. qui mox παρὼν πλησίον et sic infra. b 2. θεὸς κλέπτει σε παρὼν πλησίον θεὸς F.G. 3. εἰμι] φησι Clem. 5. καὶ οὐκ] καὶ om. D. 11. ἐπιθύμησον] ἐπιθυμήσης C.D.G.I. Clem. c. θεός γ' ἔργοις δικαίοις] θεὸς δικαίοις ἔργοις C.D.F.G.I.

Cruentet aras sanguine, aut aliud deis
Quodcunque mactet, sive quod docta manus
Laborat arte, purpura ardenti micans,
Aurove textum pallium, aut candens ebur,
Viridem aut smaragdum, muta qua moles sinit,
Animante mutans, offerat; numen sibi
Credat secundum: mentis hic nimium levis,
Heu graviter errat. Commodis sit moribus
Homo necesse est: virginis casto innocens
Parcat pudori, parcat alieno toro.
Furti atque cædis inscias servet manus.
Cave ergo vel acum ne appetas, mi Pamphile.
Te quippe nusquam non videt præsens deus.

Hier. 23, 23. Ps. 4, 5.

46 *Deus vicinus ego sum, et non Deus de longe. Num faciet aliquid homo in absconditis, et ego non videbo eum?* inquit Deus per Hieremiam. Atque iterum Menander illud scripturæ, *Sacrificate sacrificium justitiæ, et sperate in Domino,* paraphrasi quadam exponens, sic ait,

neve acum, o suavissime,
Aliena quæ sit, appetas: etenim deo
Injusta nulla, justa quæ modo sunt placent.

ΚΛΗΜΕΝΤΟΣ

καὶ οὐκ ἀδίκοις.
Πονοῦντα δὲ ἐᾷ τὸν ἴδιον ὑψῶσαι βίον,
τὴν γῆν ἀροῦντα νύκτα καὶ τὴν ἡμέραν.
Θεῷ δὲ θῦε διὰ τέλους δίκαιος ὤν,
καὶ λαμπρὸς ὢν ταῖς χλαμύσιν, ὡς τῇ καρδίᾳ.
βροντῆς ἐὰν ἀκούσῃς, μὴ φύγῃς,
μηδὲν συνειδὼς αὐτὸς αὑτῷ, δέσποτα.
ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρών.

47 Ἔτι σου λαλοῦντος, φησὶν ἡ γραφὴ, ἐρῶ, ἰδοὺ πάρειμι. Δίφιλος πάλιν ὁ κωμικὸς τοιαῦτά τινα περὶ τῆς κρίσεως διαλέγεται, d

Οἴει σὺ τοὺς θανόντας, ὦ Νικήρατε,
τρυφῆς ἁπάσης μεταλαβόντας ἐν βίῳ,
πεφευγέναι τὸ θεῖον, ὡς λεληθότας;
Ἔστιν δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ᾽ ὁρᾷ·
καὶ γὰρ καθ᾽ ᾅδην δύο τρίβους νομίζομεν,
μίαν δικαίων, ἑτέραν δ᾽ ἀσεβῶν εἶν᾽ ὅρον.
καὶ εἰ τοὺς δύο καλύψει ἡ γῆ φασὶ χρόνῳ. p. 684
Τῷ πάντ᾽ ἀπελθὼν, κλέπτ᾽, ἀποστέρει, κύκα·

c 4. *βίον ὑψῶσαι*] *ὑψῶσαι βίον* C.D.F.G.I. 6. *θύε*] *θῦες* I. *τέλους*] *τύλους* C. 7. *χλαμύσι*] *χλ. ὡς* C.D.F.G. *ὢν ταῖς χλαμύσιν* I. 11. *σαυτῷ*] *αὐτῷ* C.D.F.G.I. 12. *παρὼν πλησίον* F.G. d. *ἡ θεία γραφὴ* D. 2. *δίφιλος*] *διίφιλος* C.G.I. 4. *νικήρατε*] *νικήσατε* I.
p. 684. 3. *καὶ εἰ τοὺς δύο καλύψει ἡ γῆ φασὶ τῷ παντὶ χρόνῳ ἀπελθὼν κλ.* D.F.G. et mox om. *καί.* *χρόνῳ. τῷ πάντ᾽*] *τῷ παντὶ χρόνῳ* C.I. *καὶ εἰ—χρόνῳ* om. E. qui supra *ἀποστρέφει.*

Feliciorem ducere hunc vitam sinat,
Qui nocte terram, qui die assiduo colit.
Deo sacrifices, æqui ad extremum tenax.
Ut veste munda splendidus, sic pectore.
At cum tonabit, siste, nec pavido gradu
Fugam capesse, quamdiu nil conscius
Ipse tibi fueris: te deus præsens videt.

47 *Adhuc te loquente,* inquit scriptura, *dicam, ecce adsum.* Præterea Diphilus comicus hæc habet de judicio.

Putasne vero mortuos, Nicerate,
Queis omnis omnem fluxit in luxum dies,
Potuisse latebris fugere captatis deum?
Est oculus ille, est, cuncta qui justus videt.
Duæ, ut statuimus, inferos secant viæ,
Patet una castis, altera scelestos manet.
Quamvis profundo semper inclusum sinu
Utrumque terra teneat. I, rapias licet,

ΚΛΗΜΕΝΤΟΣ

μηδὲν πλανηθῇς, ἔστι κἀν ᾅδου κρίσις,
ἥνπερ ποιήσει Θεὸς ὁ πάντων δεσπότης,
οὗ τοὔνομα φοβερὸν, οὐδ᾽ ἂν ὀνομάσαιμ᾽ ἐγώ.
ὃς τοῖς ἁμαρτάνουσι πρὸς μῆκος βίον
δίδωσιν.
Εἴ τις δὲ θνητῶν οἴεται, τοὐφημέραν
κακόν τι πράσσων, τοὺς Θεοὺς λεληθέναι,
δοκεῖ πονηρὰ, καὶ δοκῶν ἁλίσκεται, b
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ δίκη.
ὁρᾶθ᾽ ὅσοι δοκεῖτε οὐκ εἶναι Θεόν.
Ἔστιν γὰρ, ἔστιν. Εἰ δέ τις πράττει κακῶς,
κακὸς πεφυκὼς, τὸν χρόνον κερδαινέτω,
χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην.

48 Συνᾴδει δὲ τούτοις καὶ ἡ τραγῳδία διὰ τῶνδε,

Ἔσται γὰρ, ἔσται κεῖνος αἰῶνος χρόνος,
ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ
χρυσωπὸς αἰθήρ· ἡ δὲ βοσκηθεῖσα φλὸξ
ἅπαντα τὰ ἐπίγεια καὶ μετάρσια
[401] φλέξει μανεῖσα. c

Καὶ μετ᾽ ὀλίγα αὖθις ἐπιφέρει,

—— Ἐπὰν δὲ ἐκλίπῃ τὸ πᾶν,

a 5. ἥνπερ ποιήσει] ἣν περιποιήσει C.G.I. ποιήσει ὁ om. D. ὁ om. I. 6. φοβερόν ἐστιν D.G.I. 8. βίον] βίου F. b 9. γέμοντα] τεμόντα C.D.F.G.I. 10. χρυσωπὸς] χρυσωτὸς C.F.G. c 3. ἐκλίπῃ] ἐκλείπῃ C.G.

Furere, spolies, misceas. Erres, cave :
Est est sub alto dite judicium super,
Cui magnus orbis dominus ac rector præest,
Cujus vel ipsum nomen effari horreo,
Quique diuturnam sontibus vitam trahit.
Quod si quis omni scelera molitus die,
Superos latere credit, is novum scelus
Sibi persuadet, justa quod lento manus
Pendere soleat otio. At quisquis Deum
Non esse fingis, prospice infelix tibi.
Deus ille, Deus est. Si quis interea nocens
Impune peccet, habeat in lucro moram.
Namque ipse meritas postea pœnas luet.

48 Quibus hunc in modum accinit tragœdia,

Erit ille quondam sævus ac tristis dies,
Cum rutilus alto conditos ignes sinu
Effundet æther : cum rapax flamma hauriet
Ima atque summa, nec modum capiet furor.

Et paucis interjectis,

ast ubi superstes nihil ;

ΚΛΗΜΕΝΤΟΣ

φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθὸς,
γῆ δὲ ἐράνων ἔρημος, οὐδὲ ἄρ' ἔτι
πτερωτὰ φῦλα βλαστήσει πυρουμένη,
κἄπειτα σώσει πάνθ', ἃ πρόσθ' ἀπώλεσε.

49 Τὰ ὅμοια τούτοις κἂν τοῖς Ὀρφικοῖς εὑρήσομεν ὧδέ πως γε- d γραμμένα,

Πάντας γὰρ κρύψας αὖθις φάος ἐς πολυγηθὲς
ἐξ ἱερᾶς κραδίας ἀνενέγκατο, μέρμερα ῥέζων.

Ἢν δὲ ὁσίως καὶ δικαίως διαβιώσωμεν, μακάριοι μὲν ἐνταῦθα, μακαριώτεροι δὲ μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, οὐ χρόνῳ τινὶ τὴν εὐδαιμονίαν ἔχοντες, ἀλλ' ἐν αἰῶνι ἀναπαύσεσθαι δυνάμενοι,

Ἀθανάτοις ἄλλοισιν ὁμέστιοι, αὐτοτράπεζοι
ἐόντες, ἀνδρείων ἀχαιῶν ἀπόκληροι ἀτειρεῖς, p. 685

ἡ φιλόσοφος Ἐμπεδοκλέους λέγει ποιητική. Οὐχ οὕτω τις μέγας ἔσται καὶ καθ' Ἕλληνας, ὡς ὑπερέχειν τὴν δίκην, οὐδὲ
50 σμικρὸς, ὡς λαθεῖν. Ὁ δ' αὐτὸς Ὀρφεὺς καὶ ταῦτα λέγει,

c 5. δὲ ἐράνων] δ' ἐδράνων Clem. 7. σώσει πάνθ' om. D.F.G. qui statim τὰ πρόσθεν, ubi E. κἄπειτα τὰ πρόσθεν ἀπώλεσε. d. τὰ δ' ὅμοια D. 5. κραδίας] κραδίης D. καρδίας G. 7. διαβιώσωμεν] διαβιώσομεν C. F.G. βιώσ. D. 10. ἀναπαύσεσθαι] ἀναπαύεσθαι D. ἀναπαύσασθαι E. 12. αὐτοτράπεζοι] ἐν δὲ τραπέζαις Clem. αὐτοτράπεζον I.

p. 685. ἐόντες ἀνδρείων ἀχαιῶν] εὔνιες ἀνδρείων ἀχέων Scaliger. ἀχαιῶν] ἀχελῶν F. 2. ἀτηρεῖς] ἀτειρεῖς C.F.G. ἀπόσκληροι ἀπηρεῖς D. ἀπόκηροι ἀτειρεῖς Scaliger. in Steph. Poes. Phil. p. 216.

Marium profundi gurgites nulli tum erunt,
Labefactum ab imis sedibus vacuo solum
Gremio jacebit, haud enim vastis procul
Flammis perustum, summa pennatos greges
Mittet sub astra: sed tamen quicquid prius
Fuerit ademptum, recipit ac proprium tenet.

49 Affinia reperiemus in Orphicis quæ sequuntur,

Quos prius abdiderat, lætas in luminis auras
Sollicitus sacro cunctos ex corde refudit.

Qui si caste integreque vixerimus, beati quidem hîc erimus; at post discessum ex hac vita longe beatiores, nec ullo tempore circumscribetur nostra hæc felicitas, sed quiete fruemur sempiterna,

Cum superis lare conjuncti, mensaque per ævum,
Casibus haud hominum, sævoque dolore subacti,

ut cecinit Empedoclis philosophica poësis. Adeoque vel ex Græcorum ipsorum mente futurus est nemo, vel tantus, ut judicii vim superet, vel
50 tam pusillus, ut lateat. Quin et Orpheus idem hæc habet,

ΚΛΗΜΕΝΤΟΣ

Εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος· εὖ δ' ἐπίβαινε
ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα,
ἀθάνατον. b

Αὖθίς τε περὶ τοῦ Θεοῦ, ἀόρατον αὐτὸν λέγων, μόνον γνωσθῆναι ἑνί τινί φησι τὸ γένος Χαλδαίῳ, εἴτε τὸν Ἀβραὰμ λέγων τοῦτον, εἴτε καὶ τὸν υἱὸν τὸν αὐτοῦ, διὰ τούτων,

Εἰ μὴ μουνογενής τις ἀπορρὼξ φύλου ἄνωθεν
Χαλδαίων· ἴδρις γὰρ ἔην ἄστροιο πορείης,
καὶ σφαίρης κίνημ' ἀμφὶ χθόνα ὡς περιτέλλει, c
κυκλοτερές γ' ἐν ἴσῳ, κατὰ δὲ σφέτερον κνώδακα·
πνεύματι δ' ἡνιοχεῖ περί τ' ἠέρα καὶ περὶ χεῦμα.

51 Εἶτα, οἷον παραφράζων τὸ, Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου, ἐπιφέρει,

Αὐτὸς δ' αὖ μέγαν αὖθις ἐπ' οὐρανὸν ἐστήρικται,
χρυσέῳ ἐνὶ θρόνῳ· γαίη δ' ὑπὸ ποσσὶ βέβηκε. d
Χεῖρα δὲ δεξιτερὴν περὶ τέρμασιν Ὠκεανοῖο

a 7. εἰς δὲ om. D. εἰς λόγον δὲ θ. β. οὕτω I. 9. ἰθύνων] εὐθύνων Clem. 11. μοῦνον] μόνον C.F.G. b 3. μόνῳ D.G. 4. Χαλδαίων εἰ τὸν D. Χαλδαίων εἴτε I. 9. κίνημ'] καίνημα C. καὶ νημὸς F. κίνημα G. περι (sic) pro περιτέλλει C. περί τε F. c 2. γ' ἐν ἴσω] ἐν ἴσῳ τε D.F.G.I. et mox om. δέ. 4. πνεύματα δ'] πνεύματ' C.F.G. πνεύματι I. Clem. 9. αὖθις] οὖν τις C. τις D. d. χρυσείῳ] χρυσέῳ C.D.F.G.I. Mox δὲ om. D. 4. ὠκεανοῖς I.

Divino in verbo defixis totus inhære
Luminibus, mentisque memor lustrare recessus,
Intactum per iter constanti incedere gressu,
Æternumque unum cœli modo cernere regem,
Perge alacris.

Mox visu Deum attingi non posse confirmans, uni alicui genere Chaldæo notum illum fuisse testatur, sive Abraamum dicat, sive filium ejus aliquem, his versibus,

Ast aliquis tantum Chaldæo a sanguine cretus.
Norat enim qua magnus iter sol flectat in orbem,
Æquatosque habilis, circumque immania terræ
Pondera, sed proprio gyros convertat in axe:
Et volucres effusus equos per cærula mundi
Verset agens, aurasque obeat, pelagusque profundum.

Esai. 66, 1. 51 Tum quasi dictum illud, *Cœlum mihi thronus est, terra autem scabellum pedum meorum*, paraphrasi quadam explicaret, ista subjungit,

Ille igitur magni supra laquearia cœli
Immotus, solioque micat sublimis in aureo.
Olli planta humiles subter premit ardua terras:

ἐκτέτακεν· ὀρέων δὲ τρέμει βάσις ἔνδοθι θυμῷ, KΛΗΜΕΝΤΟΣ
οὔτε φέρειν δύναται κρατερὸν μένος. Ἔστι δὲ πάντη
αὐτὸς ἐπουράνιος, καὶ ἐπὶ χθονὶ πάντα τελευτᾷ,
ἀρχὴν αὐτὸς ἔχων, καὶ μέσον, ἠδὲ τελευτήν.
Ἀλλ' οὐ μὲν θεμιτόν σε λέγειν· τρομέω δέ γε γυῖα p. 686
Ἐν νόῳ. Ἐξ ὑπάτου κραίνει.

καὶ τὰ ἐπὶ τούτοις. Διὰ γὰρ τούτων δεδήλωκε πάντα ἐκεῖνα τὰ προφητικὰ, ὃς ἐὰν ἀνοίξῃ τὸν οὐρανὸν, τρόμος λήψεται· καὶ ἀπὸ σοῦ ὄρη τακήσεται, ὡς ἀπὸ προσώπου πυρὸς τήκεται κηρός. Καὶ τὰ διὰ Ἡσαΐου, Τίς ἐμέτρησε τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; b

52 Πάλιν ὅταν εἴπῃ,

Αἰθέρος ἠδ' ἀΐδου, πόντου, γαίης τε τύραννε,
ὃς βρονταῖς σείεις βριαρὸν δόμον Οὐλύμποιο,
[402] δαίμονες ὃν φρίσσουσι, θεῶν δὲ δέδοικεν ὅμιλος,
ᾧ μοῖραι πείθονται, ἀμείλικτοί περ ἐοῦσαι·

d 6. θυμῷ] θυμοῦ Clem. 9. ἐπὶ χθονὶ] ἐπιχθόνα C.F.G. 11. ἔχων ἅμα καὶ μέσον ἠδὲ τελευτὴν] ἔχων καὶ μέσων ἠ. τελείων C.F.G.I. et fere D. ἅμα om. E. ἔχων καὶ μέσσατον Clem.

p. 686. οὐ μὲν] μὲν om. C.D.E.F.G.I. ἄλλως οὐ θεμ. Clem. in fin. v. δὲ ἐγύα C.F.G. δὲ ὑπὸ γυῖα D. δέ τε γ. Clem. δὲ γ. I. 5. ὃς] ὡς D. ἔαν ἀνοίξῃς τ. ο. λ. tum om. καὶ et add. ante τακήσεται Clem. b 2. ἀΐδου] ἄϊδε I. γαίης τε] τε om. C.F.G. 4. βρονταῖς] βρονταῖσι B. C.D.E.F.G.I. βρονταῖς δὲ sine ὃς Clem.

Oceani extremos attingit dextera fines.
Cujus inexhaustum quassi ab radicibus imis
Ferre negant robur nutanti vertice montes.
Atque ut siderea nunquam discedat ab arce,
Cuncta tamen nostris præsens molitur in oris,
Principium in sese, ac medium, finemque coercens.
Illa secus memorare nefas, membrisque solutis,
Mecum animo volvens trepido. Nam desuper ipse
Cuncta regit.

Et quæ sequuntur. His enim prophetica illa omnia declaravit, *Qui si aperuerit cœlum, tremor corripiet; et a conspectu tuo montes colliquescent, sicut a facie ignis liquescit cera.* Itemque hæc Esaiæ, *Quis mensus est cœlum palmo, et universam terram pugillo;* Esa. 64, 1. Esa. 40. 12.

52 Rursus cum ita cecinit,

Ætheris, o, Ditisque potens, pelagique, solique,
Qui solidum tonitru quatis alti limen Olympi,
Quemque lares horrent, metuit quem turba deorum,
Et cui parca, licet mansuescere nescia, servit.

ΚΛΗ-
ΜΕΝ-
ΤΟΣ

ἄφθιτε, μητροπάτωρ, οὗ θυμῷ πάντα δονεῖται,
ὃς κινεῖς ἀνέμους, νεφέλησί τε πάντα καλύπτεις, c
πρηστῆρσι σχίζων πλατὺν αἰθέρα. Σὴ μὲν ἐν ἄστροις
τάξις, ἀναλλάκτοισιν ἐφημοσύναισι τρέχουσα·
σῷ δὲ θρόνῳ πυρόεντι παρεστᾶσιν πολύμοχθοι
ἄγγελοι, οἷσι μέμηλε βροτοῖς ὡς πάντα τελεῖται.
Σὸν μὲν ἔαρ λάμπει νέον ἄνθεσι πορφυρέοισι· d
σὸς χειμὼν, ψυχραῖσιν ἐπερχόμενος νεφέλαισιν,
σὰς ποτε βακχευτὰς Βρόμιος διένειμεν ὀπώρας.

53 Εἶτα ἐπιφέρει, ῥητῶς παντοκράτορα ὀνομάζων τὸν Θεὸν,

Ἄφθιτον, ἀθάνατον, ῥητὸν μόνον ἀθανάτοισιν.
Ἐλθὲ, μέγιστε θεῶν πάντων, κρατερῇ σὺν ἀνάγκῃ,
φρικτὸς, ἀήττητος, μέγας, ἄφθιτος, ὃν στέφει αἰθήρ.

Διὰ μὲν οὖν τοῦ μητροπάτωρ οὐ μόνον τὴν ἐκ μὴ ὄντων γένεσιν p. 687
ἐμήνυσεν, ἐνδέδωκε δὲ ἀφορμὰς τοῖς τὰς προβολὰς εἰσάγουσι
τάχα καὶ σύζυγον νοῆσαι τοῦ Θεοῦ· παραφράζει δὲ ἐκείνας

b 10. ἄφθιτε μητροπάτωρ] ἄφθιτα μητροπάτωροι C. ἀ. μητροπάτερ B. ἄφθιτα μ. F. ἀ. μητροπάτωρ G. ἀ. μητροπάτορ I. c 2. νεφέλησί τε] τε om. B.C.F.G. ν. τε om. D. ν. δὲ Clem. νεφέλασι E. νεφέλεσι F. νεφέλοισι I. 6. τρέχουσα] τρεχούσαις B.C.E.F.G.I. ἐφημοσύναις τρεχούσαις D. 8. σῷ] ᾧ B.C.D.E.F.G. d. σὸν μὲν ἔαρ—ὀπώρας om. B. μὲν ἀέρα D.I. σοὶ μὲν F. 3. σὸς] σὲ C.F.G. ἃς] σὰς Fronto apud Viger. 7. εἶτα ἐπιφέρει] ἐπιφέρει δὲ μετὰ ταῦτα C.F.G. 14. στέφει] στέγει F.

p. 687. μητροπάτωρ] μητροπάτορ C.G. 2. ἐνδέδωκε] δέδωκεν Clem. Forte ἐν accessit ex v. præced. 3. προβολὰς] προσβολὰς B. qui mox om. τοῦ.

Matris summe parens, cujus furor omnia jactat,
Quique cies ventos, et nubibus omnia condis,
Flammantique procul vastum aëra turbine sulcas.
Astra tuo certos volvunt sub numine motus.
Longo indefessi solium stant agmine circum
Aligeri, quorum mortalia credita curæ.
Vere tuo nitidis se floribus arva coronant;
Et tua sævit hyems, gelidis sub nubibus acta,
Et tibi debetur Bromii vindemia fœtus.

53 Tum diserte omnipotentem Deum sequentibus dictis appellat,

Immunem interitu, solis quem dicere fas est
Cœlitibus.
Maxime tu divum, fato comitatus adesto,
Ingens, terribilis, cuncto discrimine major,
Quem mors nulla domet, quemque ardens æthra coronat.

Qui sane dum matris eum patrem nominat, cum rerum ortum ex nihilo significat, tum iis forte qui proseminationes illas invehunt, conjugis etiam Deo tribuendæ occasionem dedit. Cæterum illas quoque prophetarum

ΚΛΗΜΕΝΤΟΣ

τὰς προφητικὰς γραφὰς, τήν τε διὰ Ὠσηὲ, Ἰδοὺ ἐγὼ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, οὗ αἱ χεῖρες τὴν στρατιὰν τοῦ οὐρανοῦ ἐθεμελίωσαν· Καὶ τὴν διὰ Μωσέως, Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς ἕτερος πλὴν ἐμοῦ. Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι. Καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.

Αὐτὸς δ' ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι φυτεύει, b
καὶ πόλεμον κρυόεντα,

54 κατὰ τὸν Ὀρφέα. Τοιαῦτα καὶ ὁ Πάριος Ἀρχίλοχος λέγει,

Ὦ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,
σὺ δ' ἔργ' ἐπ' ἀνθρώπους ὁρᾷς,
λεωργά τε καὶ ἀθέμιστα.

Πάλιν ἡμῖν ᾀσάτω ὁ Θρᾴκιος Ὀρφεὺς,

Χεῖρα δὲ δεξιτερὴν ἐπὶ τέρματος Ὠκεανοῖο
πάντοθεν ἐκτέτακεν· γαίη δ' ὑπὸ ποσσὶ βέβηκε. c

Ταῦτα ἐμφανῶς ἐκεῖθεν εἴληπται, Κύριος σώσει πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψεται τῇ χειρὶ, ὡς νοσ-

a 5. γραφὰς] φωνὰς B. 8. τοῦ οὐρανοῦ ἐθεμελίωσαν] τῶν ἀγγέλων ἐποίησαν C.F.G. 9. εἰμὶ] εἰμὶ θεὸς C.F.G. qui mox οὐκ ἐστιν ἄλλος πλήν. καὶ οὐκ—μου om. B. b. ἀγαθοῖο] ἀγαθοῖς I. 4. καὶ ὁ] καὶ om. B. ὁ om. Viger. 6. ζεῦ] ζεὺς C.F.G. 8. ῥεῖς] ὁρᾶς B. C.D.F.G.I. Mox ἀθέμιτα B. σὺ δ' ἔργ' ἐπ' οὐρανοὺς ὁρᾷς λεωργὰ καὶ ἀ θέμις Clem. Vide Archilochi fr. XVII. in Poet. Min. Gr. T. I. p. 297. 10. πάλιν ἡμῖν—βέβηκε om. B. qui item om. ἔτι πρὸς τ.—διάνοιαν. 11. δεξιτερὴν] δεξιωτέρην I. c. ὑπὸ] ἐπὶ I. 3. Κύριος—καταλήψεται om. F. ὁ K. Clem. 5. ὡς νοσσιὰν τῇ χειρὶ D. νεοττίαν Clem.

voces illustrat Osee, dum ait, *Ecce ego firmans tonitru, et creans spiritum, cujus manus exercitum cœli fundaverunt;* et Mosis, per quem ita Deus, *Videte, videte, quoniam ego sum, et non est Deus alius præter me. Ego interficiam, et vivere faciam: percutiam, et ego sanabo. Et non est qui auferat de manibus meis.* Amos 4, 13. Deut. 32, 39.

A lætis solet hic duras summittere rebus,
Ac tristes belli furias,

54 ut canebat Orpheus. Quam in rem Parius etiam Archilochus ita scribit,

Cœli quidem imperium tuum est: at vero inde
Acerba in homines atque infanda mittis.

At rursus Thracium Orpheum audiamus,

Oceani extremos complectitur undique fines
Dextera, subjectasque premit planta ardua terras.

Quæ quidem ex illis manifeste hausit, *Dominus servabit civitates quæ habitantur, et orbem universum comprehendet manu, quasi nidum. Dominus qui* v. Esai. 10, 14.

ΚΛΗΜΕΝΤΟΣ

σιάν, Κύριος ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὥς φησιν Ἱερεμίας, καὶ ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ. Ἔτι πρὸς τοῖσδε Φωκυλίδης μὲν τοὺς ἀγγέλους δαίμονας καλῶν, τοὺς μὲν εἶναι ἀγαθοὺς αὐτῶν τοὺς δὲ φαύλους διὰ τούτων παρίστησιν, ἐπεὶ καὶ ἡμεῖς ἀποστάτας τινὰς παρειλή- d φαμεν,

Ἀλλ' ἄρα δαίμονές εἰσιν ἐπ' ἀνδράσιν ἄλλοτε ἄλλοι,
οἱ μὲν ἐπερχομένου κακὸν ἀνέρος ἐκλύσασθαι.

55 Καλῶς οὖν καὶ Φιλήμων ὁ κωμικὸς, τὴν εἰδωλολατρίαν ἐκκόπτει διὰ τούτων,

Οὐκ ἔστιν ἡμῖν οὐδεμία τύχη θεὸς,
οὐκ ἔστιν, ἀλλὰ ταυτόματον ὃ γίγνεται
ὡς ἔτυχ' ἑκάστῳ, προσαγορεύεται τύχη.

Σοφοκλῆς δὲ ὁ τραγῳδοποιὸς,

Οὐδὲ θεοῖς, p. 688
λέγει, αὐθαίρετα πάντα πέλονται,
νόσφι Διός· κεῖνος γὰρ ἔχει τέλος, ἠδὲ καὶ ἀρχήν.

Ὅ τε Ὀρφεὺς,

[403] Ἓν κράτος, εἷς δαίμων γένετο, μέγας οὐρανὸς αἴθων,

c 9. Φωκυλλίδης D. μὲν om. Clem. d 4. ἐπαρχομένου D. 9. γίγνεται] γίνεται C.F.G.

p. 688. θεοῖς] θεοῖσι C.D.E.F.G.I. Clem. 6. γέγονεν] γένετο C.D.F.G. Clem. ἐγένετο I.

Jer. 10, 12. *fecit terram in fortitudine sua,* ut inquit Hieremias, *et erexit orbem in sapientia sua.* His Phocylidem adjungas licet, qui angelos dæmonum appellans nomine, bonos ex illis alios, alios vero malos ita distinguit, siquidem nos quoque rebelles nonnullos accepimus,

Dæmonibus genus in nostrum non una potestas :
Namque aliis jus est venientem avertere pestem.

55 Jure ergo idololatriam Philemon comicus ita rescindit,

Fortuna non est ulla quæ fertur dea,
Non est. At homini quicquid, ut casus tulit,
Acciderit ultro cuique, fortunam vocant.

Et tragicus Sophocles,

Nec superis,
inquit, pro votis omnia cedunt,
Excepto Jove, principium finemque tenente.

Et Orpheus,

Vis una est, numenque unum, cœli ignea moles,

ἐν δὲ τὰ πάντα τέτυκται, ἐν ᾧ τάδε πάντα κυκλεῖται, ΚΛΗ-ΜΕΝ-ΤΟΣ
πῦρ, καὶ ὕδωρ, καὶ γαῖα.

56 καὶ τὰ ἐπὶ τούτοις. Πίνδαρος δὲ ὁ μελοποιὸς οἷον ἐκβακ- b
χεύεται, ἄντικρυς εἰπὼν,

Τί Θεός; Ὅ τι τὸ πᾶν·

καὶ πάλιν,

Θεὸς ὁ πάντα τεύχων βροτοῖς.

ἐπὰν δὲ εἴπῃ,

Τί ἔλπεαι σοφίαν ὀλίγον τι
ἀνὴρ ὑπὲρ ἀνδρὸς ἔχειν;
Τὰ θεῶν βουλεύματα ἐρευνᾶσαι
βροτέᾳ φρενὶ δύσκολον·
Θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ.

ἐκεῖθεν ἔσπακε τὴν διάνοιαν, Τίς ἔγνω νοῦν Κυρίου; Ἢ τίς
57 σύμβουλος αὐτοῦ ἐγένετο; Ἀλλὰ καὶ Ἡσίοδος δι' ὧν γράφει c
συνᾴδει τοῖς προειρημένοις,

Μάντις δ' οὐδείς ἐστιν ἐπιχθονίων ἀνθρώπων,
ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο.

a 11. δὲ ὁ] τε ὁ Clem. b. εἰπὼν] εἰπεῖν F.G.I. 2. τί θεὸς] τί ἐστι θ. C.F. θεός ἐστι D. 4. πάντα—βροτοῖς] πάντας—βροτοὺς Clem. 5. ἐπὰν] ἐπειδὰν C.F.G. qui infra τοι pro τι. 8. τὰ θεῶν] ζαθέων Clem. ἐρευνᾶσαι βροτέᾳ φύσει] ἐρευνᾶ σε (εὐρενᾶ F.) βροτέ ἀφραίνει C.F.G. in quibus latent Clementina βροτέᾳ φρενί. 9. φύσει] φρενὶ I. φωνὴ δυσκ. D. 11. τίς ἔγνω] καὶ πάλιν τις B. qui addit ἐγένετο cum Clem. post αὐτοῦ et om. δι' ὧν γράφει et pro τοῖς προειρημένοις habet τούτοις.

Cuncta suo quæ nata sinu convertit in orbem,
Ignem, undas, terram.

56 et quæ sequuntur. Lyricus item Pindarus quodam quasi Bacchico furore correptus, ita diserte loquitur,

Quid Deus? Universum.

Et rursus,

Deus omnia procreans mortalibus.

Dum autem hæc ait,

Quid exiguam tibi sapientiam ab homine homo polliceris?
Deûm consilia rimari mortali naturæ difficile est.
Est enim mortali matre sata.

Ex illo Esaiæ loco sententiam hanc derivavit, *Quis novit sensum Domini?* Esa. 40, 13.
57 *aut quis consiliarius ejus?* Quibus etiam Hesiodus hunc in modum accinit,

Haud ullus vivit mortali e semine vates,
Qui Jovis ægiferi sensum cognoscere possit.

ΚΛΗΜΕΝΤΟΣ

εἰκότως ἄρα Σόλων ὁ Ἀθηναῖος ἐν ταῖς Ἐλεγείαις, καὶ αὐτὸς κατακολουθήσας Ἡσιόδῳ,

Πάμπαν δ᾿ ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισι,

γράφει.

58 Πάλιν τοῦ Μωσέως εἰς μόχθους καὶ πόνους διὰ τὴν παρά- d
βασιν τέξεσθαι τὴν γυναῖκα προφητεύσαντος, ποιητής τις οὐκ ἄσημος γράφει,

οὐδέ ποτ᾿ ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
στεινόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.

59 Ἔτι Ὅμηρος μὲν εἰπών,

Αὐτὸς δὲ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·

δίκαιον τὸν Θεὸν μηνύει. Μένανδρος δὲ ὁ κωμικὸς ἀγαθὸν ἑρμηνεύων τὸν Θεόν φησιν,

Ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται p. 689
εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου
ἀγαθός· κακὸν γὰρ δαίμον᾿ οὐ νομιστέον
εἶναι, βίον βλάπτοντα χρηστόν.

c 6. εἰκότως ἄρα] καὶ αὖ B. qui om. καὶ αὐτὸς Ἡσιόδῳ. 8. πάμπαν] πάντη Clem. 10. καὶ μόχθους] καὶ πόνους C.F.G. Clem. d 2. τις οὐκ] τις ἦν οὐκ F. 4. οὐδέποτ᾿] οὐδέπη θ᾿ B. 9. ἔτι Ὅμηρος—βάρβαροι p. 690 c 9. om. B. 10. πατὴρ om. D.

Quem pariter sequutus in elegiis Solon jure ita scribit,

Omni homini prorsus mens est ignota deorum.

58 Mulierem præterea Moses, cum ob neglectum Dei præceptum, summis in doloribus parituram esse prædixisset, ita consentaneè poëta quidam non ignobilis cecinit,

seu lux aurea noctem,
Seu lucem nox atra premat, dolor additus illis
Usque aderit : superique graves immittere curas
Assidue pergent.

59 Homerus item cum ait,

Auratasque patris librabat dextera lances.

Dei æquitatem significat. Quem eundem Menander comicus bonum esse declarans, ita loquitur,

Ut quisque primum natus in lucem venit,
Moderator illi genius assistit bonus,
Vitamque format. Nam cave malum putes,
Bonæque vitæ noxium.

εἶτα ἐπιφέρει, ΚΛΗΜΕΝΤΟΣ

Ἅπαντα δ' ἀγαθὸν εἶναι τὸν Θεόν·

ἤτοι πάντα Θεὸν ἀγαθὸν λέγων, ἢ, ὅπερ καὶ μᾶλλον, ἐν πᾶσι τὸν Θεὸν ἀγαθὸν εἶναι.

60 Πάλιν αὖ Αἰσχύλος μὲν ὁ τραγῳδοποιὸς τὴν δύναμιν τοῦ Θεοῦ παρατιθέμενος οὐκ ὀκνεῖ καὶ ὕψιστον αὐτὸν προσαγορεύειν διὰ τούτων,

Χώριζε θνητῶν τὸν Θεὸν, καὶ μὴ δόκει b
ὅμοιον αὐτῷ σάρκινον καθεστάναι.
Οὐκ οἶσθα γ' αὐτόν. Ποτὲ μὲν ὡς πῦρ φαίνεται,
ἄπλατος ὁρμῇ, ποτὲ δ' ὕδωρ, ποτὲ γνόφος,
καὶ θηρσὶν αὐτὸς γίνεται παρεμφερὴς,
ἀνέμῳ, νεφέλῃ τε, κἀστραπῇ, βροντῇ, βροχῇ.
ὑπηρετεῖ δ' αὐτῷ θάλασσα, καὶ πέτραι,
καὶ πᾶσα πηγὴ, χὔδατος συστήματα·
τρέμει δ' ὄρη, καὶ γαῖα, καὶ πελώριος c
βυθὸς θαλάσσης, καὶ ὀρέων ὕψος, [ἐπὶ] μέγα
ἐπὰν ἐπιβλέψῃ γοργὸν ὄμμα δεσπότου

p. 689. 6. μᾶλλον] καὶ μᾶλλον F.G. Clem. Mox om. εἶναι Clem. 7. πάλιν αὖ] αὖ om. C.F.G. qui mox τραγῳδοποιὸς et sic D. et Clem. τραγῳδὸς edd. 10. προσαγορεύειν] γράφειν C.F.G. b 2. ὅμοιον σαυτῷ] σαυτῷ ὅμ. C.F.G. ὅμ. σαυτοσάρκινον D. ὁμοῖον αὐτῷ Clem. 3. οἶσθά γ'] οἶσθας C.F.G. οἶσθα γὰρ D. οἶσθα δ' Clem. 5. ποτὲ] ποτὲ δὲ Clem. 8. ἀνέμῳ]ἀνέμων C. c 3. βυθὸς] καὶ β. C. β. θαλάσσιος F.

Tum subjungit, ἅπαντα bonum esse Deum, seu Deum omnem bonum appellet, seu, quod vero propius est, rebus in omnibus bonum esse Deum affirmet.

60 Rursum tragicus Æschylus, cum Dei nobis potestatem declarat, altissimum eum appellare nil veretur his versibus,

Secerne cunctis Numen a mortalibus,
Huic simile corpus ne putes ullum cave.
Ignota res est. Nunc velut flamma emicat,
Aditumque prohibet: unda mox, caligo mox,
Mox et tremendæ similis apparet feræ,
Vento, atque nubi, fulguri, tonitruo,
Imbrique similis. Pontus huic, fontes, petræ,
Atque orbe toto quicquid undarum coit,
Obsequitur. Illum montium horrescunt juga,
Tremitque tellus, et sinus vasti maris,
Dum dominus acri cuncta visu despicit,

ΚΛΗΜΕΝΤΟΣ

πάντα δυνατὴ γὰρ δόξα ὑψίστου Θεοῦ.

Ἆρ᾽ οὐ δοκεῖ σοι ἐκεῖνο παραφράζειν, τὸ, Ἀπὸ προσώπου Κυρίου τρέμει ἡ γῆ;

61 Ἐπὶ τούτοις ὁ μαντικώτατος Ἀπόλλων, μαρτυρῶν τῇ d δόξῃ τοῦ Θεοῦ, λέγειν ἀναγκάζεται περὶ τῆς Ἀθηνᾶς, ἥνικα ἐπὶ τὴν Ἑλλάδα ἐστράτευον οἱ Μῆδοι, ὡς ἐδεῖτό τε καὶ ἱκέτευε τὸν Δία περὶ τῆς Ἀττικῆς. Ἔχει δὲ ὧδε ὁ χρησμὸς,

[404] Οὐ δύναται Παλλὰς Δί᾽ Ὀλύμπιον ἐξιλάσασθαι,
λισσομένη πολλοῖσι λόγοις, καὶ μήτιδι πυκνῇ.
Πολλοὺς δ᾽ ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει,
οἵ που νῦν ἱδρῶτι ῥεεύμενοι ἑστήκασι,
δείματι παλλόμενοι.

καὶ τὰ ἐπὶ τούτοις. p. 690

62 Θεαρίδας δὲ ἐν τῷ Περὶ φύσεως γράφει, Ἁ ἀρχὰ τῶν ὄντων, ἀρχὰ μὲν ὄντως ἀληθινὰ, μία. Κεῖνα γὰρ ἐν ἀρχᾷ τέ ἐστιν ἓν καὶ μόνον.

Οὐδέ τις ἔσθ᾽ ἕτερος χωρὶς μεγάλου βασιλῆος,

d 3. οἱ Μῆδοι] οἱ om. Clem. 10. δηοὺς] νηοὺς C.G. δήους D.E. Mox πυρὶ μ. C.G.

p. 690. 2. μία δ᾽ ἄρα τῶν ὄντων ἀρχὰ μὲν ὄντως ἀληθινὰ, μία Clem. 3. κεῖνα] κείνη D.E.F.G. Clem.

Immensa quippe est illa majestas Dei.

Nunquid illud tibi videtur illustrare, *A facie Domini tremit terra?*

61 Quin et ipsemet Apollo, divinandi tam peritus, suopte testimonio Dei gloriæ serviens, fateri cogitur, Minervam, quo tempore impetum in Græciam Medi faciebant, vota Jovi fecisse pro Attica. Ejusmodi autem responsum illud est,

Jam magnum placare Jovem, Jove nata Minerva,
Haud precibus votisque potest:
Pluribus at superum templis incendia mittet,
Qui nunc fortassis magno terrore subacti,
Expresso sudore fluunt.

Et quæ sequuntur.

62 Thearidas autem in suo De natura opere, hoc modo scribit, Universitatis hujus principium, principium utique verum unum est. Illud enim ex æternitate unum est atque solum.

Haud alius quisquam est supremi a numine regis,

Ὀρφεὺς λέγει. Ὧι πειθόμενος ὁ κωμικὸς Δίφιλος γνωμικώτατα, ΚΛΗΜΕΝΤΟΣ

Τὸν ὄντα πάντων
φησὶ πατέρα,......
—— τοῦτον διὰ τέλους τίμα, μόνον
ἀγαθῶν τοσούτων εὑρετὴν καὶ κτίστορα.

63 Εἰκότως τοίνυν ὁ Πλάτων ἐθίζει τὰς βελτίστας φύσεις b ἀφικνεῖσθαι πρὸς τὸ μάθημα, ὃ ἐν τῷ πρόσθεν ἔφαμεν εἶναι μέγιστον, ἰδεῖν τε τἀγαθὸν καὶ ἀναβῆναι ἐκείνην τὴν ἀνάβασιν. Τοῦτο δή, ὡς ἔοικεν, οὐκ ὀστράκου ἂν εἴη περιστροφή, ἀλλὰ ψυχῆς περιαγωγή, ἐκ νυκτερινῆς τινὸς ἡμέρας εἰς ἀληθινὴν τοῦ ὄντος οὖσαν ἐπάνοδον, ἣν δὴ φιλοσοφίαν ἀληθῆ φήσομεν εἶναι, καὶ τοὺς ταύτης μετασχόντας τοῦ χρυσοῦ γένους κρίνει, Ἔστε μὲν δὴ πάντες ἀδελφοί, λέγων· οἱ δὲ τοῦ
64 χρυσοῦ γένους ἀκριβέστατα, καὶ πάντη εἰς. . Τοῦ πατρὸς ἄρα c καὶ ποιητοῦ ξυμπάντων ἐμφύτως καὶ ἀδιδάκτως ἀντιλαμβάνεται πάντα πρὸς πάντων, τὰ μὲν ἄψυχα συμπαθοῦντα, τῶν

a 7. Ὀρφεὺς] Ὀρφεὺς δὲ C.D.E.F.G.I. κωμικὸς Δίφιλος] κωμικώτατος Διίφιλος D. κ. διίφιλος F.G. 8. γενικώτατον] γνωμικώτατον C.D.E.F.G.I. γνωμικώτατα τὸν Clem. 10. τοῦτον] τούτων D. b. ὁ Πλάτων] καὶ Πλάτων Clem. 3. τἀγαθὸν] τ' ἔτ' ἀγ. C.F.G. τε τἀγ. Clem. 4. δὴ] δὲ Clem. 10. κρίνει] κρίνειν Clem. 11. λέγων om. F. Mox κρίνειν ἀκριβέστατα καὶ πάντη. τοῦ π. Clem.

inquit Orpheus. Quem sequutus Diphilus comicus, communem illum, inquit, omnium parentem,

pia tu mente perpetuo colas,
E cujus una tot bona existunt manu.

63 Jure ergo Plato præstantissima quæque ingenia ad capessendum illud disciplinæ genus assuefacit, quod jam ante maximum esse diximus, hoc est ad percipiendam boni cognitionem, eoque tandem ascendendo perveniendum. Quod quidem non jam, opinor, testam convertere fuerit, sed animum ita circumducere, ut ex nocturno quodam die, vere ad illud quod est, hac sua conversione redeat, quam sane veram philosophiam esse dicemus. Cujus ille qui compotes fuerint, aureo genere satos esse pronuntiat, dum ait, Fratres quidem universi estis, &c. Qui autem ex aureo illo genere sunt, iidem accuratissime de rebus omnibus judicare possunt. (Plato Rep. 7. p. 519 d.; Rep. 3, p. 415 a.)
64 Parentis igitur ac rerum omnium effectoris sensum ex omnibus aliquem omnia, nativa quadam vi, ac citra ullius disciplinæ adjumentum hauriunt. Et quidem inanimata cum viventibus affectionum communione junguntur,

ΚΛΗΜΕΝΤΟΣ

δὲ ζῴων, τῶν ἐμψύχων, τὰ μὲν ἤδη ἀθάνατα, τὰ δὲ καθ' ἡμέραν ἐργαζόμενα· τῶν δέ τοι θνητῶν τὰ μὲν ἐν φόβῳ καὶ διὰ τῆς μητρὸς αὐτῶν ἔτι κατὰ γαστρὸς ὀχούμενα, τὰ δὲ αὐτεξουσίῳ λογισμῷ. Καὶ τῶν ἀνθρώπων πάντες Ἕλληνές τε καὶ βάρβαροι, γένος δ' οὐδὲν οὐδαμοῦ τῶν γεωργούντων οὔτε νομάδων, ἀλλ' οὐδὲ τῶν πολιτικῶν δύναται ζῆν, μὴ προ- d κατειλημμένον τῇ τοῦ κρείττονος πίστει. Διὸ πᾶν μὲν ἔθνος ἑῷον, πᾶν δὲ ἑσπερίων ἁπτόμενον ἠόνων, βόρειόν τε, καὶ τὰ πρὸς τῷ νότῳ πάντα, μίαν ἔχει καὶ τὴν αὐτὴν πρόληψιν περὶ τοῦ καταστησαμένου τὴν ἡγεμονίαν, εἴ γε καὶ τὰ καθολικώτατα τῶν ἐνεργημάτων αὐτοῦ διαπεφοίτηκεν ἐπίσης πάντα.

65 Πολὺ δὲ πλέον οἱ παρ' Ἕλλησι πολυπράγμονες φιλόσοφοι, ἐκ τῆς βαρβάρου ὁρμώμενοι φιλοσοφίας, τῷ ἀοράτῳ καὶ μόνῳ καὶ δυνατωτάτῳ καὶ τεχνικωτάτῳ καὶ τῶν ἄλλων καλ-

c 4. ζῴων τῶν om. C. τῶν ζώων τῶν δὲ τῶν D. et mox om. τὰ δέ. συμπατοῦντα (συμπαθ. G.) τῷ ζώῳ τῶν δὲ ἐμψύχων F.G. τῶν ζώων· τῶν δὲ I. 5. τὰ δὲ καθ'] τὰ δὲ om. F. 6. δέ τοι] δέ τι C.F.G.I. δὲ ἔτι Clem. 7. μετὰ] κατὰ C.D.F.G.I. Clem. 9. γένος δ'] γένος οὖν B. 10. νομάδων] τῶν νομάδων B. d 2. πᾶν] πᾶν μὲν B.C.D. F.G. Clem. Mox ἑώων Clem. 3. ἁπτόμενον] ἀντόμενον Clem. ἠόνων] ᾗ Clem. 6. ἐνεργετημάτων] εὐεργημάτων B.C.F.G. ἐνεργημάτων D.I. Clem. 7. ἐπίσης] πίσης C. Mox πολὺ—τεχνικωτάτῳ om. B. Mox πλεῖον D. 8. οἱ φιλ. Clem. qui infra om. τῷ. 9. βαρβάρων] βαρβάρου C.D.F.G. Clem. Mox καὶ δυνατωτάτῳ om. C. 10. καὶ δυνατωτάτῳ] δυνάτῳ F.G. 11. καὶ τῶν] μίαν καὶ τῶν B. ἄλλων om. Clem.

ex animantibus autem vita præditis alia jam immortalia sunt, in diem alia etiamnum laborant. At ex mortalibus, alia in metu constituta, maternis adhuc visceribus inclusa gestantur: alia jam sui juris, suo se consilio arbitrioque regunt. Jam hominum genus universum in Græcos barbarosque dividitur. Quorum e numero, nulla prorsus usquam aut agricolarum aut pastorum, ac ne eorum quidem, qui in civitate degunt, natio est, quæ vitam, absque eo quod ejus mentem naturæ superioris fides occuparit, ducere tuerique possit. Itaque populi omnes, sive orientem colant, sive littora occidentis ultima teneant, sive ad septentrionem, sive ad meridiem habitent, unam et eandem ejus, a quo institutum hoc imperium est, anticipationem habent: cum loca pariter et æqualiter omnia, generales quæque vis illius effectricis actiones complexæ sint.

65 Sed tamen curiosi illi e Græcis philosophi, barbarorum permoti philosophia, multo magis illi, qui nec oculis cernitur, et solus idem ac præpotens, et sapientissimus artifex est, summusque rerum pulcherrimarum

ΚΛΗΜΕΝΤΟΣ

λίστων αἰτιωτάτῳ τὴν προνομίαν ἔδωκαν, τὰ ἀκόλουθα τούτοις, εἰ μὴ κατηχηθεῖεν πρὸς ἡμῶν, οὐκ ἐπιστάμενοι, ἀλλ' οὐδ' αὐτὸν ὅπως νοεῖσθαι πέφυκε τὸν Θεὸν, μόνον δὲ, ὡς ἤδη πολ- p. 691 λάκις εἰρήκαμεν, κατὰ περίφρασιν ἀληθῆ.

66 Τοσαῦτα καὶ ὁ Κλήμης. Ἀλλ' ἐπειδὴ διὰ μακροτέρων ἡμῖν ἡ κατὰ Πλάτωνα παρέστη φιλοσοφία συνῳδὸς οὖσα κατὰ πλεῖστα τοῖς Ἑβραίων δόγμασιν, (ἐφ' οἷς καὶ ἀγάμεθα τὸν ἄνδρα τῆς τε συνέσεως καὶ τῆς ἄλλης τοῦ ἀληθοῦς εὐγνωμοσύνης,) ὥρα ἐπιθεωρῆσαι τίνα ταῦτ' εἶναί φαμεν ἐφ' ὧν οὐκέθ' ὁμοίως περὶ αὐτὸν διακείμεθα, τὴν δὲ νενομισμένην βάρβαρον τῆς κατ' αὐτὸν προτιμῶ- b μεν φιλοσοφίας.

14 Τὰ Ἑβραίων λόγια θεοπρόπια καὶ χρησμοὺς θείας ἢ c
[405] κατὰ ἄνθρωπον δυνάμεως περιέχοντα, Θεόν τε αὐθέντην ἐπιγραφόμενα, καὶ πιστούμενά γε τὴν ἐπαγγελίαν διὰ

p. 691. 2. τὸν θεὸν] δυνατὸν B. 5. ἡμῖν om. B. Tum καὶ C. pro ἡ. 6. συνῳδὸς οὖσα] συνάδουσα τὰ πλ. B. σύνοδος ο. κ. π. C. 7. δόγμασιν om. B. 8. ἄλλης τοῦ ἀλ.] τῆς τ' ἀλ. B. 9. ὥρα ἐπιθεωρῆσαι] ἐπιθεωρητέον B. ἄρα C. pro ὥρα. 10. εἶναι φαμὲν ἐφ' ὧν] εἶεν ἐφ' οἷς B. περὶ αὐτὸν] αὐτῷ B. qui om. τὴν δὲ ν. et seqq. usque ad fin. cap. seq. b. φιλοσοφίαν F.G. c 3. θείας] ἴσ. θειοτέρας Vigeri margo. 4. αὐθέντων F.

auctor, præcipuum jus eximiumque tribuerunt: nec tamen quæ sint ex istis consequentia, nisi a nobis doceantur, pervidere, ac ne modum quidem illum nosse possunt, quem ad Deum cognoscendum natura ipsa præscribit; sed tantum, uti jam sæpe diximus, periphrasi quadam alioqui vera eum circumscribunt.

66 Hactenus Clemens. Jam vero, quandoquidem pluribus adhuc Platonicæ philosophiæ rationem, permultis in rebus cum Hebræorum literis convenire ostendimus: (quo nomine hominem sane laudamus vehementer, cum ob suam illam in perspiciendo vero solertiam, tum ob liberalem et ingenuam animi cæteris in rebus æquitatem.) Nunc ad ea tandem veniendum nobis est, in quibus eum similiter probare non possimus, quamque vulgo barbaram habere solent, ipsius doctrina potiorem philosophiam habeamus.

14 Hebræorum oracula, quibus prædicta quædam responsaque divina continentur, quæque vim sane humana diviniorem ostendunt, eoque auctorem sibi Deum ipsum vendicant, cum suas illa significationes,

τῆς τῶν μελλόντων προρρήσεως, διά τε τῶν συμφώνων
τοῖς θεσπίσμασιν ἀποτελεσμάτων, πάσης λέγεται διε-
ψευσμένης διανοίας ἐκτὸς τυγχάνειν. Τὰ γοῦν θεῖα
λόγια ἁγνὰ, καὶ ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ,
2 κεκαθαρισμένον ἑπταπλασίως, ἀνείρηται. Ἀλλ᾽ οὐ καὶ τὰ
Πλάτωνος τοιαῦτα, οὐδὲ μὴν ἑτέρου του τῶν ἐν ἀνθρώ- d
ποις σοφῶν, οἳ θνητῆς διανοίας ὄμμασιν ἐπικήροις τε
στοχασμοῖς καὶ εἰκασίαις, ὄναρ ὥσπερ ἀλλ᾽ οὐχ ὕπαρ, τῆς
τῶν ὄντων φύσεως ἐπὶ φαντασίαν ἐλθόντες πολὺ τὸ κρᾶμα
τοῦ ψεύδους τῷ τῆς φύσεως ἀληθεῖ συνεπηνέγκαντο, ὡς
3 μὴ ἀνευρεῖν ἀπάτης καθαρὸν ἐν αὐτοῖς μάθημα. Αὐτίκα
γοῦν βραχύ τι τῆς φιλαυτίας εἰ ἐθελήσαις ὑφεῖναι, καὶ
φῶς αὐτὸ δυνάμει λογικῆς οὐσίας ἐπιθεωρῆσαι, γνοίης
ἂν τὸν θαυμάσιον φιλόσοφον αὐτὸν ἐκεῖνον, τὸν δὴ
μόνον πάντων Ἑλλήνων ἀληθείας προθύρων ψαύ-
σαντα, ὕλῃ φθαρτῇ καὶ ξοάνοις βαναύσων χερσὶν εἰς
ἀνδρείκελον σχῆμα κατεσκευασμένοις τὴν τῶν θεῶν p. 692

c 10. κεκαθαρμένον] κεκαθαρισμένον D.F.G.I. Mox ἀνήρηται D. 12. του τῶν] τούτων τῶν C.D.F.G. d. σοφῶν] σοφοῦ C.F.G. 5. ψεύδους] ψεῦδον C. Mox συνεπηνέγκατο D. 8. αὐτὸ] αὐτῷ C.

et prædictione futurorum, et ipso rerum exitu vaticinationibus re-
spondente confirmatas habeant, jure quidem ab omni falso sensu
Ps. 11, 6. aliena dicuntur. Enimvero, *Divina eloquia, casta, et argentum igne*
2 *examinatum, probatum terræ, purgatum septuplum,* appellantur. At
non ejusmodi Platonis illa sunt, nec alterius cujuscunque hominum
ex sapientium numero, qui mortalis sensus oculis, et vanis quibusdam
ac futilibus conjecturis, ut somniantes utique, non ut vigilantes
solent, rerum naturam cogitatione dum informant, naturæ veritati
falsitatis plurimum admiscuere, nullum ut apud eos doctrinæ caput,
3 ab omni errore purum et immune reperire possis. Ac ne longius
abeas, si privati hujus amoris ac domestici remittere nonnihil voles,
ipsamque per sese lucem vi rationis intueri : agnosces ipse profecto,
illum etiam admirabilem philosophum, qui solus e Græcis omnibus
veritatis limen ac vestibulum attigit, fluxa pereuntique materia, et
simulachris vilium operarum manibus humanam in speciem figuratis,
deorum nomen polluere, ac post sublimem illam magnificamque

προσηγορίαν καταισχύνοντα, καὶ μετὰ τὸ μέγα τῆς μεγαλοφωνίας ὕψος, δι' ἧς τὸν πατέρα καὶ δημιουργὸν εἰδέναι τοῦδε τοῦ παντὸς διετείνατο, ἄνωθέν ποθεν ἐξ ὑπερκοσμίων ἀψίδων εἰς τὸν κατωτάτω βυθὸν τῆς θεομισοῦς εἰδωλολατρείας τῷ δήμῳ τῶν Ἀθηναίων συνωθούμενον· ὡς μὴ διατρέπεσθαι τὸν Σωκράτην καταβῆναι φάντα εἰς Πειραῖα προσευξόμενον τῇ θεῷ, καὶ τὴν βάρβαρον ἑορτὴν τοὺς πολίτας τότε πρῶτον ἐπιτελοῦντας θεασόμενον, καὶ τὸν ἀλεκτρυόνα τῷ Ἀσκληπιῷ b
θῦσαι ὁμολογοῦντα προστάξαι, τόν τε πάτριον Ἑλλήνων ἐξηγητήν, τὸν ἐγκαθήμενον ἐν Δελφοῖς δαίμονα,
4 θειάζοντα. Διὸ καὶ εἰκότως τῆς ἀφιλοσόφου πληθύος τὴν αἰτίαν τῆς δεισιδαίμονος πλάνης ἐπιγράψαιτο ἄν. Ἀνάλαβε γοῦν σμικρὸν ἄνωθεν τὸν λόγον, καὶ θέα οἷά σοι ὁ πάνσοφος μετὰ τὰς ἀσωμάτους καὶ ἀφθάρτους ἰδέας, καὶ μετὰ Θεὸν πρῶτον καὶ δεύτερον αἴτιον, καὶ μετὰ νοερὰς καὶ ἀθανάτους οὐσίας, περὶ τῆς πανδήμου δόξης ἐνομοθέτει, λέγων,

p. 692. 4. διετείνατο] διετείνετο C.F.G. 6. εἰδωλολατρίας F.G. 8. φάντα] πάντα D.I. 9. τῇ θεῷ] τῷ θεῷ C. b 2. προστάξας D. 3. ἐν Δελφοῖς] ἐν om. F.G.I. Tum δέφοις I. 6. ἐπιγράψαιντο D.

vocem, qua se hujus universi parentem ac molitorem nosse affirmaverat, sic tanquam ex fornicibus illis nostro hoc orbe superioribus deturbatum, in altissima Deo exosæ idololatriæ voragine, cum Atheniensi populo volutari. Sic quidem, ut eum scribere non puduerit, Socratem, cum ut ipse votum deæ nuncuparet, tum ut barbaro illi festo, quod a civibus tum primum celebrabatur, præsens interesset, in Pyræum descendisse ; nec erubescat, aut eundem ut Æsculapio gallus immolaretur jussisse, confiteri, aut dæmonem illum Delphis insidentem, quasi patrium quendam Græcorum interpretem, deum
4 appellare. Quamobrem in eum jure, superstitiosi erroris, qui stolidam agebat multitudinem, culpa conferatur. Ac mihi tu paulo superius orationem arcesse, ac vide sis, quæ tandem et cujusmodi sint, quæ post incorporeas illas, atque interitus omnis expertes ideas, post Dei primi, secundique principii mentionem, post spiritales immortalesque naturas, de populari hac et publica opinione, suis etiam legibus sancita voluerit.

ΠΛΑΤΩΝΟΣ

5 Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν c μεῖζον ἢ καθ' ἡμᾶς. Πιστευτέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ που τοὺς ἑαυτῶν προγόνους εἰδόσιν· ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, καίπερ ἄνευ εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγουσιν, ἀλλ' ὡς οἰκεῖα φασκόντων ἀπαγγέλλειν ἑπομένους τῷ νόμῳ πιστευτέον. Οὕτως οὖν κατ' ἐκείνους ἡμῖν ἡ γένεσις περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω· Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην, τούτων δὲ Φόρ- d κυς Κρόνος τε καὶ Ῥέα, καὶ ὅσοι μετὰ τούτων, ἐκ δὲ Κρόνου καὶ Ῥέας Ζεὺς Ἥρα τε καὶ πάντες ὅσους ἴσμεν πάντας ἀδελφοὺς λεγομένους αὐτῶν, ἔτι τε τοὺς τούτων ἄλλους ἐκγόνους.

6 Διὰ δὴ ταῦτα ἀπολειπτέος ἡμῖν ὁ φιλόσοφος, οὐ κατὰ φιλόσοφον, οὐδ' αὐτὸς αὑτῷ συμφώνως, τὰς μυθικὰς τῶν ποιητῶν γενεαλογίας καθυποκρινάμενος. Αὐτοῦ μὲν γὰρ ἦν ἀκοῦσαι φάντος ἐν Πολιτείᾳ τάδε,

c. πιστευτέον] πειστέον D.G. πιστέον F. 2. ἐκγόνοις] ἐγγόνοις C. D.F.G.I. 3. δέ που] γέ που C.D.F.G.I. 4. εἰδόσιν] εἰδότων C. D.F.G.I. 5. καίπερ—οἰκεῖα om. C. qui statim φασκόντων non φάσκουσιν. εἰκότως—φασκόντων D. φασκόντων F.G.I. 6. καὶ ἀν.] καὶ om. F. d. φόρκυς κρόνος] κρόνος φόρκυς C.F.G. qui infra om. καὶ ὅσοι μετὰ τούτων cum D.F.G.I. d 4. ἔ. τι τρόπων τούτων ἄλλους D. αὐτῶν τε ἔτι τούτων I. τοὺς τούτων] τοὺς om. F.G. 5. ἐκγόνους] ἐγγόνους C.F. 7. μυθικὰς τῶν ποιητῶν] μυθικῶν C. sine τῶν π. 9. ἀκοῦσαι] ἦν ἀκοῦσαι F.G.

Plato Tim. p. 40.

5 Aliorum autem dæmonum, inquit ille, procreationem vel explicare, vel nosse, res est nostra facultate major. Quare hoc in genere, priscis illis testibus adhibenda fides, qui ut deûm, quod ipsi aiunt, nepotes erant, ita majores suos maxime notos habuerunt. Nec fieri omnino potest, ut fides eorum filiis detrahatur, etiamsi nullis demonstrationibus necessariis, ac ne probabilibus quidem argumentis ipsorum testimonia comprobentur: sed necesse plane est, ut iis, quomodo lex imperat, tanquam suarum in rerum commemoratione credamus. Illorum ergo deorum procreationem quod attinet, uti poëtæ scribunt, ita nos quoque de ea statuamus ac loquamur. Terræ Cœlique liberi Oceanus et Tethys, horum Phorcyn, Saturnus, et Ops, cæterique fratres. Ex Saturno et Ope Jupiter, Juno, ac reliqui, quos utriusque fratres appellari scimus, procreati. Atque ita deinceps de tota nepotum serie.

6 Eapropter sane hîc nobis philosophus relinquendus fuit, qui nec uti philosophum decuit, nec secum ipse consentiens, fabulosas in diis poëtarum genealogias propagationesque simularit. Nam audi sis quemadmodum idem loquatur in Republica,

Ἐν τοῖς μείζοσιν, ἦν δ' ἐγώ, μύθοις ὀψόμεθα καὶ τοὺς ἐλάττους. Δεῖ γὰρ δὴ τὸν αὐτὸν τύπον εἶναι, καὶ ταὐτὸν δύνασθαι τούς τε μείζους καὶ τοὺς ἐλάττους· ἢ οὐκ οἴει; Ἔγωγε, ἔφη· ἀλλὰ οὐκ ἐννοῶ οὐδὲ τοὺς μείζους τίνας λέγεις. p. 693 Οὓς Ἡσίοδός τε καὶ Ὅμηρος, εἶπον, ἡμῖν ἐλεγέτην καὶ οἱ ἄλλοι ποιηταί. Οὗτοι γάρ που μύθους τοῖς ἀνθρώποις ψευδεῖς συντιθέντες ἔλεγόν τε καὶ λέγουσι. ΠΛΑΤΩΝΟΣ

7 τὰ μικρῷ πρόσθεν τεθειμένα. Πάλιν τε αὐτοῦ ἦν καὶ τὰ δι' ὧν ἔφησεν,

Ἐξαλείψομεν ἄρα, ἦν δ' ἐγώ, ἀπὸ τοῦδε τοῦ ἔπους ἀρξάμενοι, [406] πάντα τὰ τοιαῦτα,

Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ.

καὶ τὰ ἑξῆς· δι' ὧν τε ἐπιλέγει, b

8 Πάλιν δὴ Ὁμήρου δεησόμεθα καὶ τῶν ἄλλων ποιητῶν, μὴ ποιεῖν Ἀχιλλέα θεᾶς παῖδα,

ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενον, ἄλλοτε δ' αὖτε
ὕπτιον.

καὶ τὰ τούτοις ἑπόμενα. Οἷς ἐπάγει,

d 10. μῦθος D.
p. 693. 3. ἐλεγέτην] λεγέτην C.F.G. 4. ψευδεῖς τοῖς ἀν.] τοῖς ἀν. ψ. C.F.G. 7. ἔφησεν] ἔφη C.F.G. b. ὧν τε] τε om. C.F.G. ᾧν τε καὶ D. 4. πλευρᾶς D.

In majoribus, inquit, fabulis, minores etiam facile videbimus. Necesse enim est, speciem unam aliquam esse, vimque minoribus æque majoribusque communem. Annon ita sentis? Equidem, inquit ille: sed quas tu majores dicas, non capio. Quas Hesiodus, inquam, atque Homerus, cæterique poëtæ commemorant. Illi enim falsas hominibus fabulas commenti, et narrabant, olim hodieque narrant. Plato Rep. 2. p. 377.

7 Ea videlicet, quæ paulo ante retulimus. Rursus ejusdem et alia illa sunt,

Hæc igitur omnia deleamus, inquam, ab isto versu inchoantes, Plato Rep. 3. p. 386.

Malim equidem cuivis alii servire colonus.

et quæ sequuntur. Tum hæc præterea quæ subjungit,

8 Iterum ab Homero, inquit, cæterisque poëtis flagitabimus, uti ne Achillem dea satum fingant,

Nunc in utrumque latus, nunc et jacuisse supinum.

et cætera. Quibus ita subdit,

ΠΛΑΤΩΝΟΣ

9 Ἢ Δία, καθευδόντων τῶν ἄλλων θεῶν τε καὶ ἀνθρώπων ὡς μόνος ἐγρηγορὼς, ἃ ἐβουλεύσατο, τούτων πάντων ῥᾳδίως ἐπιλαθόμενον διὰ τὴν τῶν ἀφροδισίων ἐπιθυμίαν, καὶ οὕτως ἐκπλαγέντα ἰδόντα τὴν Ἥραν, ὥστε μὴ δ' εἰς τὸ δωμάτιον c
ἐλθεῖν ἐθέλειν, ἀλλ' αὐτοῦ βουλόμενον χαμαὶ συγγίνεσθαι κορύδου δίκην· καὶ λέγοντα ὡς οὕτως ὑπὸ ἐπιθυμίας ἔχεται, ὡς οὐδὲ ὅτε πρῶτον ἐφοίτων πρὸς ἀλλήλους,

φίλους λήθοντε τοκῆας.

Οὐδὲ Ἄρεός τε καὶ Ἀφροδίτης ὑπὸ Ἡφαίστου δεσμὸν δι' ἕτερα τοιαῦτα.

10 Ὧν τοῦτον τὸν τρόπον εἰρημένων, τί δῆτα βούλεται αὐτῷ ἡ μετὰ ταῦτα φωνὴ τοὺς μὲν ποιητὰς θεῶν παῖδας ὀνομάζουσα, καὶ τό τε ἀπιστεῖν αὐτοῖς ἀδύνατον εἶναι φήσασα, καίπερ ἄνευ εἰκότων καὶ ἀναγκαίων αὐτοὺς ἀπο- d
11 δείξεων τοὺς περὶ θεῶν μύθους πλάσαι μαρτυραμένη; Τί δὲ ἡ ἄλογος ἐθέλει πίστις, δέει τῆς ἀπὸ τῶν νόμων τιμωρίας προβεβλημένη; Πῶς δὲ θεῶν Οὐρανὸς καὶ Γῆ πρῶτοι, ἔπειτα τούτων ἔκγονοι, Ὠκεανὸς, καὶ Τηθὺς,

c. ἐθέλειν ἐλθεῖν] ἐλθ. ἐθ. C.F.G. 6. Corrupit h. l. Vigerus, vulgatos libros Platonis secutus. 10. τό τε] τε ἴσ. del. Vigerus in marg. τό γε D.F.G. d. πάλαι] ἴσ. ποιῆσαι Viger. in marg. πλάσαι F.G.I. 4. πρῶτοι] πρῶτος C.F.G. 5. ἔγγονοι] ἔκγονοι D.

p. 390.

9 Aut Jovem, inquit, dormientibus cæteris, tam diis, quam hominibus, quæ solus vigilans secum ipse statuerat, eorum facile omnium vi quadam libidinis impotenti memoriam excussisse; itaque Junonis aspectu perculsum esse, ut ne domum quidem repetere, sed in eodem ipso loco, humi, ut alaudæ solent, voluptati servire voluerit; cum eam se cupiditatis vim sentire diceret, quam ne tum quidem esset expertus, quum inter sese primum convenerant, carorum obliti parentum: nec vincula Marti ac Veneri Vulcano injecta, nec aliud quicquam id genus.

10 Quæ cum ipse dixisset, quid tandem sibi vult, quod poëtas deorum liberos subinde vocat, fierique negat posse, quin fides iis habeatur, cum ipsemet has ab illis absque ulla vel necessaria, vel probabili de-
11 monstratione, confictas deorum fabulas esse testetur? Quid autem inconsiderata illa fides, quam etiam legum metu septam ac munitam esse voluit? Quî verum præterea, deorum principes Cœlum ac Terram esse, tum eorum deinde sobolem, Oceanum, Tethyn, Saturnum,

Κρόνος τε, καὶ Ῥέα, καὶ Ζεὺς, μετὰ τούτους ἅπαντας, Ἥρα τε, καὶ πάντες οἱ πρὸς Ὁμήρου καὶ Ἡσιόδου μυθευόμενοι παῖδες καὶ ἀδελφοὶ, καὶ ἔκγονοι τούτων, ὁπότε ταῦτα αὐτὰ ἀνῄρει λέγων·

12 Ὅπερ, ἦν δ' ἐγὼ, χρὴ πρῶτον καὶ μάλιστα μέμφεσθαι, ἄλλως τε καὶ ἐάν τις μὴ καλῶς ψεύδηται. Τί τοῦτο; Ὅταν εἰκάζῃ τις κακῶς τῷ λόγῳ περὶ θεῶν τε καὶ ἡρώων, οἷοί εἰσιν, ὥσπερ γραφεὺς μηδὲν ἐοικότα γράφων οἷς ἂν ὅμοια βουληθῇ γράψαι. ΠΛΑΤΩΝΟΣ p. 694

Καὶ πάλιν,

Πρῶτον μὲν, ἦν δ' ἐγὼ, τὸ μέγιστον καὶ περὶ τῶν μεγίστων ψεῦδος ὁ εἰπὼν οὐ καλῶς ἐψεύσατο, ὡς Οὐρανός τε εἰργάσατο ἅ φησι δρᾶσαι αὐτὸν Ἡσίοδος, ὅ τε αὖ Κρόνος ὡς ἐτιμωρήσατο αὐτόν,

13 καὶ τὰ τούτοις ἑξῆς. Πῶς δὲ οἱ νῦν ψευδεῖς καὶ οὐκ ἀληθεῖς ποιηταὶ πάλιν οἱ αὐτοὶ θεῶν ἔκγονοι λέγοιντ' ἄν; Ἀλλὰ γὰρ τούτων δὴ χάριν ἀπολειπτέος

d 10. χρὴ om. C.F.G. Supra ἀνήροι D.
p. 694. 3. μέγιστον] Statim καὶ περὶ τῶν μεγίστων exciderunt ex ed. Viger. 6. πῶς] πῶς δὲ C.D.G.I. αὐτὸν om. F.G. 9. τούτων δὴ] δὴ τούτων D.

Opem, Jovem, cæterosque deinceps omnes, Junonem, et quotquot Homerus atque Hesiodus, istorum liberos, fratres, ac nepotes fabulantur, cum illa ipsa commenta funditus his verbis sustulerit:

12 Cui ego, inquit, quod et primum, et omnium maxime reprehendendum est, præsertim ubi quis non recte mentiatur. Quid illud porro? Ubi quis male deorum heroumque naturam oratione repræsentat, perinde ut pictor faceret, qui tabellam ei rei nulla ex parte similem pingeret, quam penicillo exprimendam suscepisset. p. 377.

Itemque,

Primum, inquam, maximum illud, maximisque de rebus mendacium, qui narravit Hesiodus, quid videlicet actum a Cœlo fuerit, quamque vicissim ei pœnam Saturnus reposuerit, perperam omnino confinxit. p. 377.

13 et quæ sequuntur. Quî tandem amabo, quos hîc vanos ac mendaces appellat, iidem ipsi poëtæ deorum nepotes habeantur? Jure nimirum ac merito relinquendus iste nobis, qui mortis metu

μὲν ἡμῖν οὗτος, δέει θανάτου τὸν Ἀθηναίων δῆμον καθυποκρινάμενος· τιμητέος δὲ Μωσῆς, τά τε Ἑβραίων b λόγια καθαρᾶς ἐξεχόμενα διόλου τῆς μόνης ἀληθοῦς καὶ ἀπλανοῦς εὐσεβείας. Θέα δὴ καὶ ἄλλο.

15 Ἑβραῖοι τὴν μέσην τῶν λογικῶν φύσιν γεννητὴν c ἀλλ' οὐκ ἀγέννητον εἶναί φασι. Ταύτην δὲ εἰς νοερὰς οὐσίας διαιροῦντες τῷ λόγῳ πνεύματα καὶ δυνάμεις καὶ Θεοῦ λειτουργοὺς ἀγγέλους τε καὶ ἀρχαγγέλους ἐπονομάζουσιν· ἐκ δὲ τῆς τούτων ἀποπτώσεως καὶ παρατροπῆς τὸ δαιμόνων γένος καὶ πᾶν τὸ τῆς ἐναντίας καὶ
2 μοχθηρᾶς ἐνεργείας εἶδος εἰσάγουσι. Διόπερ οὐδὲ θεοὺς ἐπιτρέπουσιν ἡγεῖσθαι τοὺς μὴ τὸ καλὸν καὶ ἀγαθὸν d ἀχώριστον τῆς φύσεως ἐπαγομένους, ἀλλὰ καὶ τὸ εἶναι οὐ παρ' ἑαυτῶν παρὰ δὲ τοῦ πάντων αἰτίου ἐπενηνεγμένους, τό τε εὖ εἶναι, καὶ τὴν ἀρετήν, αὐτό τε τὸ ἀθάνατον, οὔτε τῷ ἐπὶ πάντων Θεῷ ὁμοίως οὔτε τῷ δι' οὗ τὰ πάντα

a 10. τὸν Ἀθην.] τῶν Ἀθην. C. τὸν τῶν Ἀθ. D. c 2. οὐκ] οὐ C.F. 4. πνεύματα] πάντα F. 8. ἐνεργείας] ἐναντίας C. d. φύσεως] τῆς φύσεως D.F.G. τῆς excidit ex ed. Viger. 3. ἐπενην.] ἐπινην. C.F. 4. ἀρετὴν om. D. 5. οὔτε δι'] οὔτε τῷ B.C.F.G.I.

populum Atheniensem histrionum more demulcebat: observandus contra Moses, et amplectenda Hebræorum oracula, quæ sincera prorsus, unaque adeo, veraque, et ab omni errore vacua pietate antecellunt. Jam aliud hoc intuere.

15 Naturas, inter rationis participes, medias, ortus sui principium habuisse Hebræi docent. Easdem in varios spiritalium substantiarum ordines distributas, spiritus, virtutes, Dei administros, angelos, atque archangelos nominant. Quo ex numero, qui suapte culpa ceciderunt, dæmonum ex iis genus, vimque omnem hominibus inimicam in-
2 festamque ducunt. Quocirca nec eos deorum in loco haberi patiuntur, qui non ex sese modo insitum naturæ suæ ac proprium honestum bonumque non habeant, verum etiam ne sint ipsi quidem per sese, sed a rerum universarum conditore, ut essent, acceperint: qui denique, ut bene sint, ut virtute, ut immortalitate gaudeant, ne dotibus quidem fruantur istis, quomodo aut præpotens rerum omnium

3 συνέστη ἐπιφερομένους. Ὁ δέ γε Πλάτων ἀσωμάτους μὲν καὶ νοητὰς οὐσίας τὰς λογικὰς φύσεις ὁμοίως Ἑβραίοις ὑφίστησι, διαπίπτει δὲ τῆς ἀκολουθίας, πρῶτον μὲν ἀγεννήτους εἶναι φάσκων αὐτὰς, ὥσπερ καὶ πᾶσαν [407] ψυχὴν, ἔπειτα ἐξ ἀπορροίας τῆς τοῦ πρώτου αἰτίου συστῆναι λέγων. Οὐδὲ γὰρ ἐκ τοῦ μὴ ὄντος αὐτὰς γεγο-
4 νέναι διδόναι βούλεται. Διὸ καὶ πλειόνων θεῶν ὑποτίθεται εἶναι γένος, ἀπορροίας τινὰς καὶ προβολὰς τοῦ πρώτου καὶ τοῦ δευτέρου αἰτίου τῷ λόγῳ ὑφιστάμενος· εἶναί τε ἀγαθὰς τὴν φύσιν, οὐδαμῶς [τε] οἵας τε τῆς p. 695 οἰκείας ἐκστῆναι ἀρετῆς, ἔνθεν αὐτοὺς καὶ θεοὺς εἶναι
5 δοξάζει. Τούτων δὲ ἕτερον εἶναι τὸ δαιμόνων φῦλον ἡγεῖται, φαυλότητος ὂν καὶ μοχθηρίας καὶ τῆς ἐπὶ τὸ χεῖρον τροπῆς δεκτικόν· ὧν τοὺς μὲν ἀγαθοὺς, τοὺς δὲ φαύλους εἶναί τε καὶ ὀνομάζεσθαι. Ταῦτα δὲ παρὰ τὰ Ἑβραίοις δοκοῦντα τοῦτον ὑποθέμενος τὸν τρόπον, οὐκ ἀποδίδωσιν ὁπόθεν ὑποστῆναι φάναι εἰκὸς τοὺς δαί-

d 6. Ὁ δέ γε] De h. l. lege Beausobrium Hist. Manich. T. I. p. 577.
13. αὐτὰς om. I.
p. 695. οὐδαμῶς τε] τε om. B.C.F.G. 3. δαιμόνων] δαιμόνιον B. et sic ni fallor supra ubi collator enotavit δαιμόνον. 7. τε καὶ ὀνομάζεσθαι om. B. 8. τὸν τρόπον] τὸν om. C. 9. ὁπόθεν] οἰπόθεν I.

3 Deus, aut Verbum illud, cujus vi omnia extitere. At Plato, licet cum Hebræis naturas quasdam ratione præditas, incorporeas, ac spiritales esse statuat, haud tamen consentaneè loquitur, dum easdem, primo quemadmodum et animam omnem, nullo ortu generatas, deinde quadam ex primi principii fluxione satas esse docet. Neque enim
4 illas prorsus e nihilo extitisse concedit. Itaque plurium deorum nationem constituit, quos omnes primi secundique principii fluxiones quasdam ac proseminationes esse vult; quæ quod suapte natura bonæ sint, nec ullo unquam modo propria virtute spoliari queant, ab
5 eo propterea dii judicantur. Ab his diversam dæmonum turbam esse putat, quæ improbitatem ac scelus admittere, atque in deterius mutari possit: ex quibus proinde boni quidam, improbi alii sint, ac vocentur. Quæ cum ipse, præter Hebræorum mentem ac sensum, ita statuit, unde tandem cum aliqua veri specie dæmones extitisse

6 *μονας. Ἐκ μὲν γὰρ τῆς τῶν σωμάτων ὕλης οὐδεὶς ἂν*
νοῦν ἔχων εἴποι· ἄλογος γὰρ αὕτη· λογικὰ δ' οὐκ ἄν
ποτε ἐξ ἀλόγου τεχθείη, λογικοὶ δὲ οἱ δαίμονες. Εἰ δ' ἐκ b
τῆς τῶν κρειττόνων ἀπορροίας οὗτοι, καὶ πῶς οὐ θεοὶ καὶ
αὐτοὶ τοῖς γεγεννηκόσιν ἐξ ἴσου; Πῶς δ' ἀγαθῆς οὔσης
πηγῆς οὐχ ὅμοια καὶ τὰ παρ' αὐτῆς; Κακίας δ' ἐν τοῖς
δευτέροις ἡ βλάστη πόθεν ἐξέφυ τῆς ῥίζης ἄνωθεν ἐξ
7 *ἀγαθῶν καὶ δι' ἀγαθῶν ἰούσης; Πῶς δ' ἂν γένοιτο*
πικρὸν ἀπὸ τοῦ γλυκέος; Εἰ δὲ δὴ σκότους παντὸς καὶ
πικρίας πάσης χαλεπώτερον τὸ τῶν μοχθηρῶν δαιμόνων
γένος, πῶς ἐξ ἀπορροίας λέγοιτ' ἂν τῆς τῶν κρειττόνων
φύσεως; Εἰ δὲ ἐκ τῆσδε ἦν, οὐδ' ἂν ἐτράπη τῆς οἰκείας
λήξεως· εἰ δ' ἠλλοίωται, οὐδ' ἦν τὴν ἀρχὴν ἀπαθὲς τὴν
φύσιν· εἰ δ' οὐ τοιάδε ἦν, καὶ πῶς θεοὶ εἶεν, οἳ δὴ c
8 *φαύλης οἷοί τε εἰσὶ μετέχειν μοίρας; Ἀλλ' εἰ μήτε τῆς*
τῶν κρειττόνων ἀπορροίας μὴ δ' αὖ τῆς τῶν σωμάτων

a 11. *ἀσωμάτων*] *σωμάτων* C.G.I. *a corporali materia* Trap. v. infra c 4. 13. *ἀλόγου*] *ἀναλόγου ταχθείη* D. b 4. *κακία* D. 5. *πόθεν ἂν* D. *ῥίζης*] *ῥόζης* B. *ἐξ ἀγ.*] Addunt B.C.F.G.I. *καὶ δι' ἀγαθῶν.* 11. *ἕξεως*] *λήξεως* B.C.G. *λέξεως* F.I. Mox *ἀπαθὴς τὴν ἀρχὴν* C.F.G. *ἀπαθὴς* item D. c. *οἳ δὴ*] *εἰ δὴ* B.C.D.F.G.

6 dicamus, non explicat. Nam ex corporearum quidem rerum materia nemo sanus dixerit; est enim illa rationis expers: quod autem ratione præditum est, id ex eo quod ratione careat gigni non potest, ratione autem præditi dæmones sunt. Sin autem superiorum naturarum propagatione sati illi sunt, quidni æque ac parentes, dii sunt ipsi quoque? Quî fit ut ex bono fonte rivi dissimiles oriantur? Unde in posterioribus germen illud improbitatis emergit, qui radicem
7 habent, a tanta primi usque principii integritate propagatam? Quo denique modo ex dulcibus amara nascuntur? Enimvero, si tenebris omnibus, si omni acerbitate gravius est improborum dæmonum genus, quis illud ex meliorum ac diviniorum natura fluxisse dicat? Ex quo sane si fluxisset, nunquam ex proprio et naturali statu excidisset. Quod si tantum mutationis subire potuit, non igitur principio naturam habuit, ab omni patiendi necessitate liberam. Cujusmodi si dæmones isti non erant, quî porro dii esse possint, qui sceleratorum
8 in classem abire potuerunt? Jam vero, si neque melioribus illis ac superioribus ex naturis, neque corporum ex materia ortum habuere,

ὕλης εἶεν, ὥρα ἢ ἀγεννήτους λέγειν καὶ πρὸς τῇ ἀγεν-
νήτῳ ὕλῃ τῶν σωμάτων τρίτον στῖφος λογικῶν ἀγεννή-
των ἀντιπαρατάττειν τῷ Θεῷ, οὐκέτι τε τὸν Θεὸν πάν-
των εἶναι ποιητὴν καὶ δημιουργὸν τῶν ὅλων ἀποδιδόναι,
ἢ τοῦθ᾽ ὁμολογοῦντας, καὶ τὰ μὴ ὄντα ποιεῖν αὐτὸν τοῖς
9 Ἑβραίων συμφώνως ὁμολογεῖν λόγοις. Τίνα δὲ οἵδε
περὶ τῶνδε ἐκδιδάσκουσι; Τὴν μέσην τῶν λογικῶν
φύσιν οὔτ᾽ ἐκ τῆς τῶν σωμάτων ὕλης, οὔτ᾽ ἐξ ἀπορροίας d
τῆς ἀγεννήτου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχού-
σης οὐσίας ὑποστῆναί φασι· μὴ οὖσαν δὲ πρότερον
10 δυνάμει δραστηρίῳ τοῦ πάντων αἰτίου γεγονέναι. Ταύτῃ
τε μὴ θεοὺς εἶναι, μηδὲ κυρίως τῆσδε τῆς προσηγορίας
ἠξιῶσθαι, ὅτι μηδὲ τὴν φύσιν ἰσοῦται τῷ πεποιηκότι,
μὴ δ᾽ ἀχώριστον ὁμοίως τῷ Θεῷ τὸ ἀγαθὸν ἐφέλκεται,
τό τε τῷ καλῷ ἐναντίον ἐστὶν ὅτε καὶ δέξοιτ᾽ ἂν ὀλι- p. 696
γωρίᾳ τῆς περὶ τὸ κρεῖττον σχολῆς, ἣν αὐτὸς ἕκαστος

c 7. οὐκέτι—ἐκδιδάσκουσι om. B. 12. τὴν] καὶ τὴν B. d. ἐξ ἀπορ.] ἐκ τῆς ἀπ. B.G. 2. ἀγεννήτου] ἀειγεννήτου C.F.G. Tum καὶ post αὐτὰ om. B. 3. φησὶ D. 4. πότερον F.G. 6. κυρίως] κυρίως εἶναι D. 7. ἰσοῦνται] ἰσοῦται B.C.I. Viger. ult. τῷ καλῷ] τῷ om. B.

p. 696. ὅτε] δ᾽ ὅτε D.

superest omnino, ut vel eos nunquam genitos esse dicamus; atque
ita præter illam corporum materiam, quam ortu carere volunt, ter-
tiam hanc naturarum, quæ ratione præditæ, ortu similiter careant,
nationem, cum Deo componamus, Deumque proinde rerum prorsus
omnium conditorem esse, ac molitorem negemus: vel si universorum
parentem agnoscimus, eorum etiam quæ nulla sunt, ut Hebræorum
9 literæ prædicant, auctorem illum esse fateamur. Quænam vero illa
sunt, quæ ab ipsis de naturarum istarum conditione traduntur? Eas
medio quodam, inter rationis participes, ordine comprehensas, neque
corporum ex materia, neque ulla cujusquam ortu carentis, ac semper
eodem sese modo habentis naturæ fluxione satas esse docent; at
nullæ antea cum essent, summi rerum auctoris omnium effectrice vi
10 procreatas. Quare nec deos illas esse, nec ea proprie appellatione
dignatas, quod neque sint effectori suo natura pares, nec perinde uti
Deus, proprium habeant sempiternumque bonum, imo ejusdem boni
contrarium subire aliquando possint, dum negligentius melioris

αὐτῷ κατείργασται, τῆς οἰκείας ὁρμῆς τε καὶ γνώμης πεφυκὼς κύριος. Ταῦτα καὶ περὶ τάδε. Μετίωμεν δὲ καὶ ἐφ' ἕτερα.

16 Ἑβραίοις ὁμοίως τὴν ψυχὴν ἀθάνατον ὑποθέμενος, b καὶ τῷ Θεῷ ὁμοίαν αὐτὴν εἰπὼν, οὐκέτ' ἀκολούθως αὐτοῖς ποτὲ μὲν αὐτῆς τὴν οὐσίαν σύνθετον εἶναί φησιν, ὡς ἂν μέρος μέν τι ἐπαγομένης τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἐχούσης αἰτίας, καὶ μέρος τῆς περὶ τὰ
2 σώματα μεριστῆς φύσεως. Λέγει δ' οὖν αὐτοῖς ῥήμασιν ἐν Τιμαίῳ·

ΠΛΑΤΩΝΟΣ

Ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν ψυχὴν σώματος, ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου, συνεστήσατο ἐκ τῶνδε καὶ τοιῷδε τρόπῳ. Τῆς ἀμερίστου καὶ c ἀεὶ κατὰ τὰ αὐτὰ ἐχούσης οὐσίας, καὶ τῆς αὖ περὶ τὰ σώματα γινομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταυτοῦ φύσεως αὖ πέρι καὶ τῆς τοῦ ἑτέρου,

a 3. κατείργασται] κατειργάσατο B. 4. ταῦτα—ἕτερα om. B. 5. τῶνδε C.F.G. pro τάδε et ἕτερον pro ἕτερα. τῶνδε et ἕτερον D. τῶν δὲ I. b 3. αὐτὴν] ταύτην B.C.F.G. 5. ἀμερίστου] ἀειμερίστου C.F.G. Supra ἐπαγόμενος D. 6. μέρος δὲ καὶ] καὶ μέρος C.D.E.F.G.I. δὲ καὶ om. B. 8. αὐτοῖς ῥήμασιν om. B. Τιμαίῳ] T. οὕτως B. c 3. ἐξ] δ' ἐξ B.C.D.E.G.I. ἐν μέσῳ] ἐκ μέσων B. 4. ταυτοῦ] τὰ αὐτοῦ B.C.G.I. Mox τὰ post κατὰ om. B. κατὰ om. D.

utuntur consuetudine, quam sibi profecto inseverit, quisquis suorum ipse motuum, suique sensus arbiter ex sese ac dominus fuerit. Atque ista quidem hactenus. Jam transeamus ad alia.

16 Animum Plato, Hebræos sequutus, immortalem illum quidem, ac Deo similem esse statuit: verum ab iis postea discedens, essentiam ejus interdum compositam esse vult, quasi partem alteram habeat, ex individua suique semper simili causa delibatam, alteram ex dividua
2 corporum natura decerptam. Enimvero sic ipse verbis totidem in Timæo,

Plato Tim. p. 34. etc.

At ille, inquit, animum, corpore, tam ortu quam virtute priorem, sic tanquam dominum servo imperaturum, ex duobus istis atque hac ratione conflavit. Duæ naturæ cum sint, individua una, quæ semper eadem est, altera dividua, quæ in corporibus locum habet, tertium ex utraque naturæ genus, ambarum in medio temperavit, sic ut aliquid ex ea, quæ semper eadem, aliquid item ex illa, quæ altera subinde atque altera est, includeret,

ΠΛΑΤΩΝΟΣ

[408] καὶ κατὰ τὰ αὐτὰ συνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ. Καὶ τρία λαβὼν αὐτὰ ὄντα συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς ταὐτὸ ξυναρμόττων βίᾳ.

3 Ἔνθεν εἰκότως αὐτῷ καὶ τὸ παθητικὸν μέρος τῷ λόγῳ τῆς οὐσίας αὐτῇ συνῆπται. Ἀλλὰ τοτὲ μὲν ὧδε περὶ d ψυχῆς οὐσίας διείληφε, τοτὲ δὲ ἄλλο τι χεῖρον περιτίθησιν αὐτῇ ἀτόπημα, τὴν θείαν ἐκείνην καὶ οὐράνιον, τὴν ἀσώματον καὶ λογικήν, τὴν Θεῷ ὁμοίαν καὶ δι' ἀρετῆς μέγεθος τὰς οὐρανίους ὑπερπαίουσαν ἁψῖδας, ἄνωθέν ποθεν ἐκ τῶν ὑπερκοσμίων ἐπὶ ὄνους, καὶ λύκους, καὶ μύρμηκας, καὶ μελίττας κατιέναι φάσκων, καὶ τούτῳ πιστεύειν ἡμᾶς παρακαλῶν τῷ λόγῳ ἄνευ τινὸς ἀπο-
4 δείξεως. Λέγει δ' οὖν ἐν μὲν τῷ περὶ Ψυχῆς τάδε·

Καὶ μέχρι γε τούτου πλανῶνται, ἕως ἂν τῇ τοῦ σωμα- p. 697 τοειδοῦς τοῦ ξυνεπακολουθοῦντος ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν

c 6. τοῦτε] τούτῳ F. 9. καθ' ἑτέρου D. 10. ταὐτὸν D.
d 3. αὐτῇ τὸ] τὸ om. B.C.D.F.G. 4. θείαν] θεῖον E. 5. τὴν] τῷ F.G. 6. καὶ δι'] καὶ om. C.D. 8. ὑπερκοσμίων] ὑπὲρ κόσμου B. qui ἐς pro ἐπί. et sic F.G. 10. πιστεύων D. 11. λέγει δ'—λέγεις om. B. 12. μὲν om. D. ult. ἂν om. D.
p. 697. τοῦ ξυνεπ.] τῇ τοῦ συνεπ. C.F.G. cum Steph. consentit D. ξυνεπ. τοῦ σωμ. Plat. 2. πάλιν] πάλαι D.

sicque tertium hoc individuam inter, ac dividuam corporum naturam, æqualiter medium constituit. Quæ tria cum in manus sumpsisset, in unam omnia speciem formamque commiscuit, ejus, quod alterum atque alterum est, natura, tametsi ad commiscendum perdifficili, vi tamen hanc in societatem communionemque pertracta.

3 Hæc ille, ex quibus intelligas, quam probabiliter partem illam perturbationibus obnoxiam cum animi ratione conjunxerit. At vero de animi essentia nonnunquam ita statuit, nonnunquam deterius ei quoddam, atque absurdius commentum affingit, dum divinam illam cœlestemque naturam, illam et corporis expertem, et præditam ratione, illam Deo similem, ac summa cœli culmina virtutis magnitudine superantem, e locis altissimis ac supra mundum eminentibus, in asinos, lupos, formicas, apes descendere confirmat, idque a nobis, ut
4 absque demonstratione ulla credamus, oratione contendit. Nam in Dialogo de Animo hæc habet,

Plat. Phæd. p. 81.

Ac tamdiu vagantur, inquit, donec ejus quam circumferant corporeæ

ΠΛΑΤΩΝΟΣ

εἰς σῶμα. Ἐνδοῦνται δέ, ὥσπερ εἰκός, εἰς τὰ τοιαῦτα
5 ἤθη, ὁποῖα ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν βίῳ. Τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; Οἷον, τοὺς μὲν τὰς γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβουμένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι· ἢ οὐκ οἴει; Πάνυ μὲν οὖν εἰκὸς λέγεις.
6 Τοὺς δέ γε ἀδικίας καὶ τυραννίδας καὶ ἁρπαγὰς προτετιμηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη· ἢ b ποῖ ἂν ἄλλοσε φαῖμεν τὰς τοιαύτας ἰέναι; Ἀμέλει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα. Οὐκοῦν, ἦδ' ὅς, δῆλα δὴ καὶ τἆλλα, ᾗ ἂν ἑκάστη ἴοι κατὰ τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης.
7 Δῆλον δή, ἔφη, πῶς δ' οὔ; Οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσὶ καὶ εἰς βέλτιστον τόπον ἰόντες οἱ τὴν δημοτικὴν καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες, ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν, ἄνευ φιλοσοφίας τε καὶ νοῦ; Πῇ δὴ οὗτοι εὐδαιμονέστατοι; c

a 3. ἤθη] εἴδη F.G. 4. ὁποῖ' ἄττ' ἂν] ὁποῖ ἄττα C. ἂν om. F.G. τῷ βίῳ] τῷ om. C.E.F.G.I. 7. φιλοποσίας] φιλοτησίας D. διευλαβημένους] διευλαβουμένους D.F.G.I. 8. ὄνων] ἀλόγων C.F.G. qui mox om. τοιούτων cum D.F.G.I. 10. ἀδικίας—τυραννίδας] ἀεικίαν—τυραννίδα B. τε καὶ τυρ. F.G. b. τε καὶ] τε om. B. qui om. ἢ ποῖ ἂν—πῶς δ' οὐ. 2. ποῖ] πη D. 4. καὶ τἆλλα—δῆλον δὴ om. C.D.I. δηλαδὴ pro δῆλον δὴ F.G. 6. οὔ] οὖν D. 8. τόπον] κόπον D. 10. τε καὶ] τε om. B.

labis cupiditate, corpori rursus illigentur. Moribus porro, uti par est, cum iis convenientibus illigari solent, quibus dum viverent, utebantur.
5 Quos tu mores loqueris, o Socrates? Exempli caussa, qui se in flagitia, in ventris gulæque voluptates sic effuderint, nullam ut pudoris sui rationem haberent, eos ego simile veri arbitror, asinorum postea similiumque fera-
6 rum vultus ac formas induere. Tibi vero num idem videtur? Quibus autem injuriæ, tyrannides, alienarumque fortunarum direptiones placuerint, eos in luporum, aut accipitrum, atque milvorum genus transcribi. Quo enim alio eos commigrare dixerimus? Prorsus, inquit Cebes, hoc in genus animantium jure commigrent. Ergo, inquit ille, de cæteris eodem modo philosophandum, prout eorum ad similitudinem, suis quæque studiis
7 abrepta fuerit. Sane, inquit: quis enim id neget? Tum ille, numquid vero ex iis longe felicissimi sunt, et optimum in locum delati, qui popularem civilemque virtutem, quam temperantiam justitiamque vocant, nullo philosophiæ mentisque præsidio, usu tantum et exercitatione partam complexi fuerint? Qui tu felicissimos hosce vocas? Quod eos verum sit, in

ΠΛΑΤΩΝΟΣ

Ὅτι τούτους εἰκός ἐστιν εἰς τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικὸν καὶ ἥμερον γένος, ἤπου μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς αὐτό γε πάλιν τὸ ἀνθρώπινον γένος.

8 Καὶ ἐν τῷ Φαίδρῳ δὲ ἐπάκουσον ὁποῖα διέξεισιν·

Εἰς μὲν γὰρ τὸ αὐτὸ ὅθεν ἥκει ψυχὴ ἑκάστη, οὐκ ἀφικνεῖται ἐτῶν μυρίων· οὐ γὰρ πτεροῦται πρὸ τοσούτου χρόνου, πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως ἢ παιδεραστήσαντος μετὰ φιλοσοφίας. Αὗται δὲ τρίτῃ περιόδῳ τῇ χιλιετεῖ, ἐὰν ἕλωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον, οὕτω πτερωθεῖσαι τρισχιλιοστῷ ἔτει ἀπέρχονται. Αἱ δὲ ἄλλαι, ὅταν τὸν πρῶτον βίον τελευτήσωσι, κρίσεως ἔτυχον· κριθεῖσαι δέ, αἱ d μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην τίνουσιν, αἱ δ' εἰς τοῦ οὐρανοῦ τινὰ τόπον ὑπὸ τῆς δίκης κουφισθεῖσαι διάγουσιν ἀξίως οὗ ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίου. Τῷ δὲ χιλιοστῷ ἀμφότεραι ἀφικνούμεναι ἐπὶ κλήρωσίν τε καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται ὃν ἂν ἐθέλῃ ἑκάστη. Ἔνθα

c 2. τούτοις] τούτους B.C.I. πάλιν] πόλιν C.F.G. 3. ἤπου om. D. ἤπου μελιττῶν om. B. qui infra εἰς αὐτό γε τὸ ἀνθ. γ. 4. εἰς τούς γε] εἰς αὐτό γε C.E.F.G.I. εἰς ταυτόν γε Viger. ex Platone. 5. γένος om. D. 6. δὲ ἐπάκουσον ὁποῖα διέξεισιν] οὕτω φησι B. ὅποια] οἷα D. 7. ἀφικν.] ἐφικν. C.F. 8. οὐ γὰρ] καὶ γὰρ D. τοσούτου] τοῦ τ. F. 10. παιδεραστ.] τοῦ παιδ. B. 11. τρὶς] τοῖς C.D.F.G. d 2. γῆς] γῆν B. qui mox κτίνουσι, unde forte ex Platone reponendum ἐκτίνουσι. 3. τοῦ οὐρανοῦ] τὸν οὐρανὸν E. τὸν οὐρανοῦ I. 4. ὑπὸ τῆς δίκης om. D. 9. ὃν ἂν] ἂν om. C. ὃν ἂν θελῃ F.G. ἐθέλῃ] θελει I.

civile rursus aliquod atque mansuetum, ut apum, ut vesparum, ut formicarum, aut etiam in hominum simile denuo genus remigrare.

8 Hæc ille, quibus adjungas licet, quæ sequuntur e Phædro:

Plato Phædr. p. 248.

Eum in statum, inquit, animus, ex quo quisque profectus sit, non nisi decem annorum millium intervallo revertitur: nec enim ante hanc temporis conversionem alis instruitur, si tamen eorum, qui caste integreque philosophati sint, ac pueros ex philosophiæ præscripto amaverint, animos excipias. Hi enim tertio demum millenario circuitu, si ter hoc vitæ genus constanter optaverint, anno denique termillesimo, alis instructi evolant. At cæteri, posteaquam prioris vitæ finem fecerunt, tum judicium subeunt, acceptaque sententia, partim in subterranea suppliciorum loca delati, pœnas luunt, partim judicii facilitate sublevati, in aliquem cœli locum evehuntur, ubi pro ejus, quam humana specie duxerunt, vitæ dignitate versentur. Utrique porro sub annum conditionis hujus millesimum, ad instituendam secundæ vitæ sortitionem, atque electionem profecti, quæ cuique placuerit,

ΠΛΑ-ΤΩ-ΝΟΣ

δὴ καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται, καὶ ἐκ θηρίου, ὅς ποτε ἄνθρωπος ἦν, πάλιν εἰς ἄνθρωπον.

9 Καὶ ταῦτα μὲν ἐν Φαίδρῳ. Ἐν δὲ τῇ Πολιτείᾳ τοιάδε γράφοντος ἄκουε·

Ἰδεῖν μὲν γὰρ ἔφη ψυχὴν τήν ποτε Ὀρφέως γενομένην p. 698 κύκνου βίον αἱρουμένην, μίσει τοῦ γυναικείου γένους διὰ τὸν ὑπ᾽ ἐκείνων θάνατον οὐκ ἐθέλουσαν ἐν γυναικὶ γεννηθεῖσαν γενέσθαι. Ἰδεῖν δὲ τὴν Θαμύρου ἀηδόνος ἑλομένην· ἰδεῖν δὲ καὶ κύκνον μεταβάλλοντα εἰς ἀνθρωπίνου βίου αἵρεσιν, καὶ ἄλλα ζῷα μουσικὰ ὡσαύτως, ὡς τὸ εἰκός. Τὴν δὲ λαχοῦσαν ψυχὴν ἑλέσθαι λέοντος βίον, εἶναι δὲ τὴν Αἴαντος τοῦ Τελαμωνίου, φεύγουσαν ἄνθρωπον γενέσθαι, μεμνημένην τῆς τῶν ὅπλων κρίσεως. Τὴν δὲ ἐπὶ τούτῳ τοῦ Ἀγαμέμνονος, b [409] ἐχθρὰν καὶ ταύτην τοῦ ἀνθρωπίνου γένους διὰ τὰ πάθη ἀετοῦ διαλλάξαι βίον. Ἐν μέσοις δὲ λαχοῦσαν τὴν Ἀταλάντης ψυχήν, κατιδοῦσαν μεγάλας τιμὰς ἀθλητοῦ ἀνδρός, οὐ δύνασθαι παρελθεῖν, ἀλλὰ λαβεῖν. Μετὰ δὲ ταύτην ἰδεῖν τὴν

d 12. καὶ ταῦτα—Φαίδρῳ om. B. ult. τοιάδε] τοιαῦτα C.F.G. Tum γράφει B. pro γράφ. ἄκ.

p. 698. γὰρ] γάρ ποτε D. 4. ἐκείνων] ἐκείνου B. 5. ἰδεῖν δὲ om. B. 7. μεταβάλλοντα ante εἰς ἀνθ. C.F.G. et B. ubi μεταβαλόντα. 8. ὡς τὸ om. B.C.E.F.G.I. ὡς om. mss. plerique Platonis. b. τὴν δὲ—προβλήματι om. B. 4. μέσοις] μέσῃ C.D.F.G.I. 5. ἐπιοῦσαν D.

eligunt. Hic et in bestiæ vitam humanus traducitur animus, et ex bestia, qui homo quondam fuerat, in hominem denuo revolvitur.

Plato Rep. p. 620.

9 Hactenus in Phædro. Quem eundem in Republica sic loquentem audi.

Animum, inquit, illum, qui Orphei quondam fuerat, vidisse se referebat, cum oloris vitam eligeret, quod mulierum odio, quarum ipse manibus interfectus erat, mulieris satu generari nollet. Thamyri quoque animum vidisse, qui philomelæ vitam optaret, imo et olorem quendam, qui homo rursus fieri mallet, cum aliis canoris animantibus, quæ vitæ similis, ut par erat, desiderio tenebantur. Ajacis Telamonii animo leonis vitam placuisse, quod illius de Achillis armis judicii memor, homo esse nollet. Sequutum inde Agamemnonis animum, qui propter superioris vitæ molestias, humani generis pertæsus ipse quoque, vitam aquilæ capesseret. Atalantæ animum in media sortientium turba, summos athletæ honores cum vidisset, tenere se non potuisse, quin hoc vitæ genus arriperet. Tum Epei Panopeensis

ΠΛΑ-ΤΩ-ΝΟΣ

Ἐπειοῦ τοῦ Πανοπέως εἰς τεχνικῆς γυναικὸς ἰοῦσαν φύσιν. Πόρρω δὲ ἐν ὑστάτοις ἰδεῖν τὴν τοῦ γελωτοποιοῦ Θερσίτου
11 πίθηκον ἐνδυομένην. Κατὰ τύχην δὲ, τὴν Ὀδυσσέως λαχοῦ- c
σαν πασῶν ὑστάτην, αἱρησομένην ἰέναι· μνήμῃ δὲ τῶν προτέρων πόνων φιλοτιμίας λελωφηκυῖαν ζητεῖν περιιοῦσαν χρόνον πολὺν βίον ἀνδρὸς ἰδιώτου καὶ ἀπράγμονος, καὶ μόγις εὑρεῖν κείμενόν που καὶ παρημελημένον ὑπὸ τῶν ἄλλων, καὶ εἰπεῖν ἰδοῦσαν ὅτι ταὐτ' ἂν ἔπραξε καὶ πρώτη λαχοῦσα, καὶ ἀσμένην ἑλέσθαι. Καὶ ἐκ τῶν ἄλλων δὲ θηρίων ὡσαύτως εἰς ἀνθρώπους ἰέναι καὶ εἰς ἄλληλα· τὰ μὲν ἄδικα, εἰς τὰ ἄγρια·
τὰ δὲ δίκαια, εἰς τὰ ἥμερα μεταβαλόντα, καὶ πάσας μίξεις d
μίγνυσθαι.

12 Τοσαῦτα περὶ ψυχῆς ὁ Πλάτων εἰπὼν δῆλός ἐστιν Αἰγυπτιάζων τῷ δόγματι· οὐ γὰρ Ἑβραίων ὁ λόγος, ὅτι μηδὲ ἀληθείᾳ φίλος. Τοῦτο δ' οὐ καιρὸς ἀπελέγχειν, ὅτι μὴ δ' αὐτὸς δι' ἀποδείξεων ἐνεχείρησε τῷ προβλήματι. Τοσοῦτον δ' εὐλόγως τις ἂν ἐπισημήναιτο, ὡς οὐκ ἦν σύμφωνα τὸν αὐτὸν λέγειν ἅμα τῇ τελευτῇ τὰς ψυχὰς τῶν ἀσεβῶν ἐνθένδε ἀπαλλαττομένας

b 8. φύσιν] φώνην I. c 9. θηρίων] θηρίον C. θηρίου G. d 6. ἐπεχείρησε D. 7. τὶς ἂν ἐ.] ἐρεῖ τις ὡς οὐκ B.

animum, in fœminæ manuum artificio præstantis naturam immigrasse. At procul extremos inter, ridiculi Thersitæ animum vidisse, qui simiæ formam
11 indueret: Ulyssis vero, cum ei sortis fortuna postremus omnium locus obtigisset, ad eligendum accessisse: hunc vitæ prioris ærumnas memoria repetentem, omni jam ambitione deposita, privati ac soluti hominis vitam passim oberrando perdiu quæsiisse, tandemque jacentem alicubi, atque a cæteris neglectam ægre admodum reperisse, quam ubi vidisset, affirmasse continuo, si vel ante omnes sibi sors addixisset, idem se omnino facturum, ac sic eam libenter elegisse. Ex aliis item bestiis, vel in homines, vel in sese mutuo commigrare solitos: sic quidem, ut injusti in agrestes, in cicures justi transirent, atque ita omni omnes mixtionis genere permisceri.

12 Hæc Plato cum de animo disputat, satis ostendit ad Ægyptiorum se doctrinam adhærescere. Neque enim Hebræorum illa fuit, neque est conjuncta cum vero. Quam tamen caussæ nihil est, quamobrem hoc loco refellamus, cum nullis ad eam confirmandam argumentis incubuerit. Unum hoc animadvertere juverit, pugnare secum illum atque confligere, qui cum impiorum animos ante docuerit, simulat-

δίκας εἰς Ἅιδου ὧν ἔδρασαν διδόναι κἀκεῖσε τιμωρεῖσθαι εἰς ἄπειρον, καὶ πάλιν φάσκειν αὐτὰς τοὺς ἐνταῦθα βίους
13 κατὰ γνώμην οἰκείαν αἱρεῖσθαι. Ἐνδεῖσθαι γὰρ αὐτὰς εἰς σῶμά φησιν ἐπιθυμίᾳ τοῦ σωματοειδοῦς· καὶ τὰς μὲν ὕβρει καὶ γαστριμαργίᾳ ἐντραφείσας ὄνους γίνεσθαι, θηρίων τε ἄλλων ὑποδύνειν σώματα, κατά γνώμην ἀλλ' p. 699 οὐ κατὰ δίκην ταῦτα αἱρουμένας· τοὺς δὲ ἀδίκους καὶ ἅρπαγας λύκους καὶ ἰκτῖνας γίγνεσθαι, ἐθελοντὰς ἐπὶ τοῦτ' ἐλθόντας. Εἶτα Ὀρφέως μὲν ψυχὴν κύκνον εἶναι θελῆσαι· Θαμύρου δὲ, ἀηδόνος· Θερσίτην δὲ πιθήκου
14 βίον ἑλέσθαι. Ποῦ δ' ἂν [οὖν] εἴη τὰ τῆς μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν κρίσεως, ἣν ἐν μὲν τῷ Περὶ ψυχῆς ὑπογράφων φησὶν, ὡς

ΠΛΑΤΩΝΟΣ

Ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, . . . καὶ οἳ μὲν ἂν δόξωσι μέσως βε-

d 10. ἔδρασε D. 12. αὐτοὺς τοὺς D. 13. ἐνδύεσθαι] ἐνδεῖσθαι C.F.G.I. infra γίγν. C. 15. τραφείσας D.

p. 699. ἀλλ' οὐ κατὰ δίκην om. C. αἱρουμένας] αἱρουμένους C. 2. καὶ ἅρπαγας λύκους] λύκους ἅρπαγας ἰκ. γενέσθαι B. qui mox om. ἐθελοντὰς—ἐλθόντας. 3. ἐθελοντὰς] ἐθελοντὶ D. ἐπὶ τοῦτο ἐλθόντας F.G. ἐθελοντὴν I. 6. ἂν οὖν] οὖν om. B.C.D.F.G. Tum εἴην C.F.G. 7. ἣν—ὑπογράφων] ὅταν B. qui mox om. οἱ τετελευτ. εἰς τ. τ. pergens οἷον ἕκ. κομ. ὁ δ. et om. καὶ οἱ μὲν—τυγχάνει ὄντα. 10. καὶ οἱ μὲν D. E.F. Steph. καὶ om. Viger.

que migraverint e corpore, atque has terrarum plagas deseruerint, pœnas apud inferos criminum suorum dare sempiternas; eosdem contra deinde scribat, novum hîc vitæ genus suo quemque arbitrio
13 deligere. Eos enim corporearum, quas adhuc retineant, formarum cupiditate, corpus induere asserit: ita quidem, ut qui lasciviæ ventrique servierint, aut asinorum, aut brutarum aliarum, sed tamen quas ipsimet optaverint, non quas pœnæ loco judex imperarit, formas suscipiant: injusti similiter atque rapaces, lupi deinde milvique fiant, sed in ea corpora sponte commigrando: tum Orphei animo, cygni;
14 Thamyri, philomelæ; Thersitæ, simii vitam placuisse. Quonam igitur ea, quæ de animorum suis e corporibus migrationem excipiente judicio, in dialogo de animo tradit his verbis?

Plato Phæd. p. 113.

Ut primum, inquit, eo mortui devenere, quo dæmon quemque rapit: qui mediam vitæ rationem tenuisse videantur, ii Acherontem petentes,

ΠΛΑΤΩΝΟΣ

βιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ b αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην, καὶ ἐκεῖ οἰκοῦσί τε καὶ καθαιρόμενοι τῶν τε ἀδικημάτων διδόντες δίκας ἀπολύονται, εἴ τις τι ἠδίκηκε· τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος. Οἳ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι, ἢ ἄλλα ὅσα τοιαῦτα τυγχάνει ὄντα· τούτους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν οὔ ποτε ἐκβαίνουσι. c

15 Καὶ τὰ μὲν περὶ τῶν ἀσεβῶν ὧδέ πη διῆλθε. Περὶ δὲ τῶν εὐσεβῶν, ἐπάκουσον ὥς φησι,

Τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε καμάτων ζῶσι τοπαράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι, οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι.

16 Καὶ ἐν τῷ Γοργίᾳ δὲ πρόσχες τί καί φησι,

b. αὐτοῖς ὀχ. ἔσ.] ὀχ. ἐστ. αὐτοῖς C.F.G. 2. τούτων] τοῦτον D. 5. ἠδίκηκε D.F.G.I. 8. ἢ ἱεροσ.] ἢ om. F.G. 11. τούτους δὲ] καὶ τούτους B. c. καὶ τὰ μὲν—διῆλθε om. B. qui mox om. ἐπάκουσον ὡς. 2. περὶ om. D. 3. αὐτῶν οἱ] ἡ B. φιλοσοφίαν D. 4. καμάτων] σωμάτων Plato. 5. ζῶσι] ζῶσθαι B. 6. τούτων] τούτου B.C.D.F.G.I. 8. δὲ πρόσχες τι καὶ om. B. καὶ om. C.F.G.

conscensis ibi suis quique vehiculis ad paludem usque deferuntur. Ibi degunt aliquamdiu, donec prorsus expiati, pœnisque criminum persolutis, quicquid ante peccaverint, absolvuntur: quinetiam beneficiorum quoque suorum præmia, pro sua quique dignitate ferunt. At qui propter scelerum atrocitatem, locum remedio nullum reliquisse videantur, utpote crebris et immanibus sacrilegiis, aut plurimis cædibus nefarie et contra leges omnes perpetratis, et aliis ejusmodi piaculis obligati: hos vero digna plane sors in Tartarum, unde nunquam emergant, præcipites agit.

15 Ac de impiis quidem hæc habet, de piis vero quid subjungat, audi:

Quo etiam ex numero, qui philosophiæ opera expiati omnino purgatique discesserint, ii non modo sine ullis prorsus molestiis ævo sempiterno vivunt, sed etiam in domicilia longe adhuc nobiliora perveniunt, quæ nec verbis describere facile sit, nec per tempus commemorare mihi jam liceat. p. 114.

16 Quibus addas licet quæ scribit in Gorgia,

ΠΛΑ-ΤΩ-ΝΟΣ

Τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν. Τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς d τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι ... οἳ δ' ἂν τὰ ἔσχατα ἀδικήσωσι, καὶ διὰ τὰ τοιαῦτα ἀδικήματα ἀνίατοι γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίγνεται. Καὶ οὗτοι αὐτοὶ μὲν οὐκέτι ὀνίνανται, ἅτε ἀνίατοι [410] ὄντες· ἄλλοι δὲ ὀνίνανται, οἱ τούτους ὁρῶντες διὰ τὰς ἁμαρτίας τὰς μεγίστας καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον, ἀτεχνῶς παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν Ἅιδου ἐν τῷ δεσμωτηρίῳ, τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα καὶ νουθετήματα.

17 Ταῦτα πῶς ἂν δύναιτο συνᾴδειν τοῖς περὶ ἀμοιβῆς p. 700 σωμάτων, ἃ τὴν ψυχὴν μετιοῦσαν αἱρεῖσθαι φάσκουσι, λόγοις; Πῶς γὰρ ἂν ἡ αὐτὴ τιμωρίας καὶ δεσμωτήρια

c 9. τὸν μὲν] τῶν μὲν I. τὸν βίον διελθ. om. B. qui βιοῦντα pro ἐπειδὰν τελ. 11. ἀπιόντα—κακῶν] ἀπιέναι τελευτῶντα B. 12. καὶ ἀθέως om. B. qui om. τῆς et τε καὶ δίκης et ἰέναι. τῶν δὲ ἀδίκως D. d. τίσεως] πίσσεως C. (et sic infra) qui εἶναι pro ἰέναι cum D.F.G.I. 3. διὰ τὰ] εἶεν διὰ ταῦτα ἀνίατοι, αὐτοὶ μὲν B. 6. ἅτε ἀνίατοι ὄντες] ὡς ἀνίατοι B. 8. διὰ τὰς ἁμ.—χρόνον B. τὰς μεγίστας] τὰ μέγιστα Plat. 9. πάσχοντες I. 11. ἀνηρτημένα D. pen. τοῖς ἀεὶ—λόγοις om. B. ἀδίκων] δικῶν C.F.G.I.

p. 700. 3. πῶς γὰρ] δῆλον οὖν ἐκ τούτων πῶς B.

Plato Gorg. p. 523. p. 525.

Qui juste vitam sancteque traduxerit, eum statim ab obitu, in beatorum insulas proficisci, ubi ævum deinceps, sine mali cujusquam molestia, cum omni felicitate ducat. Qui autem injuste et impie vixerit, eum in cruciatus ac supplicii carcerem, quem Tartarum vocant, detrudi. Postremo qui teterrima quæque perpetrarint, ac propterea insanabiles fuerint, ex iis demum exempla statuuntur. Nam ut nihil amplius juventur ipsi, quod nullius medicinæ vi sanari queant, alii certe juvantur, dum eos maximas, omnique acerbitate ac diritate teterrimas scelerum suorum pœnas in omnem consequentis temporis perpetuitatem sustinere vident: prorsus ut in illo inferorum ergastulo suspensa quædam exempla sint, quorum aspectu quotquot eodem improbi assidue deveniunt, officii commoneantur sui.

17 Hæc, amabo, quî tandem cum aliis illis convenire possint, quibus de permutatione corporum ita disputant, eorum ut electionem, animorum potestatis et arbitrii totam esse velint? Quomodo enim cru-

καὶ τοσαύτην δίκην εἰς τὸν ἀεὶ χρόνον μετὰ τὴν ἐνθένδε τελευτὴν ὑφέξει, καὶ πάλιν οἷα τις ἀνειμένη καὶ δεσμῶν ἐλευθέρα βίους ἕλοιτ' ἂν οὓς ἂν ἐθέλῃ; Εἰ δὲ τὰ καθ' ἡδονὴν μέλλοι πάλιν αἱρεῖσθαι, καὶ ποῦ τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον; Μυρία δ' ἂν καὶ ἄλλα τις ἐπὶ σχολῆς ἐπιλάβοιτ' ἂν τοῦ λόγου, ὧν οὐ καιρὸς τὴν
18 διάνοιαν μηκύνειν. Καὶ τὸ μὲν πρῶτον ὀλίσθημα τῆς b
τοῦ Πλάτωνος περὶ τῶνδε δόξης ταύτῃ πῃ πέφανται· τὸ δ' ἕτερον τῆς τοῦ δόγματος διασκευῆς, δι' οὗ τὸ μέν τι θεῖον καὶ λογικὸν εἶναι τῆς ψυχῆς τὸ δέ τι μέρος αὐτῆς ἄλογον καὶ παθητικὸν τυγχάνειν ὡρίσατο, καὶ πρὸς τῶν αὐτοῦ γνωρίμων κατέγνωσται, ὡς μαθεῖν ἔνεστιν ἀπὸ τῶν τοιῶνδε λόγων.

17 Περὶ δὲ τῆς κατὰ Πλάτωνα ψυχῆς, ἥν φησιν ἐξ ἀπαθοῦς c ΣΕΒΗΡΟΥ
καὶ παθητῆς οὐσίας συστῆναι ὑπὸ τοῦ θεοῦ, ὡς ἐκ λευκοῦ καὶ μέλανος τῶν μέσων τι χρωμάτων, ἐκεῖνα ἔχομεν εἰπεῖν, ὅτι ἀνάγκῃ χρόνῳ διαστάσεως αὐτῶν γιγνομένης ἀφανισθῆναι

a 5. ἀεὶ] ἄνω B. εἰς τὸν om. F. Mox ὑφέξει tenent omnes. 7. ἂν ἕλοιτ'] ἕλοιτ' ἂν B.C.F.G.I. 8. οὓς ἂν ἐθέλῃ] οἵους ἂν ἐθέλοι D. ἐθέλοι E.F.G. 9. τε καὶ] τε om. B.C.F.G. b. περὶ τῶνδε—πέφανται om. B. 6. κατέγνωται] κατέγνωσται B.C.I. Cum Steph. consentit D. κατέγνωστον E. c 5. φησιν] φασιν B. 6. τοῦ θεοῦ] τοῦ om. B.

ciatus idem et carceres, tantamque pœnarum atrocitatem, posteaquam hinc excesserit, perpetuo sustineat, et simul tanquam solutus vinculisque liber, quod sibi magis collibuerit, vitæ genus optet. Qui si delicias rursus ac voluptates sequuturus sit, quo mihi tum illud supplicii ac pœnarum ergastulum? Hæc aliaque sexcenta adversus hanc philosophandi rationem otiose quivis objecerit, quæ pluribus persequi
18 hoc loco non vacat. Itaque primus hic in eo genere Platonis error ac lapsus esto. Alius vero, qui hujus in dogmatis enucleatione versatur, quo partem animi alteram divinam, ac ratione præditam, alteram et expertem rationis, et perturbationibus obnoxiam esse statuit, vel Platonicorum ipsorum est oratione damnatus, ut ex sequentibus constare potest.

17 Jam vero, inquit Severus, de animo illo, quem a deo nobis duplici ex parte, altera patiendi necessitatem excludente, altera subeunte conflatum, quasi medium quendam ex albo nigroque colorem obtrudit Plato, hæc in præsentia quæ dicamus, occurrunt. Partium illarum progressu temporis

ΣΕΒΗΡΟΥ

αὐτὴν, ὡς τὴν τοῦ μέσου χρώματος σύστασιν, ἐπὶ τὰ οἰκεῖα d ἑκάστου ἐξ ὧν συνέστη ἐν χρόνῳ φύσει χωριζομένου. Εἰ δὲ τοῦτο, φθαρτὴν ἀποφανοῦμεν ἀλλ' οὐκ ἀθάνατον τὴν ψυχήν.
2 Εἰ γὰρ τοῦτο ὁμολογεῖται, μηδὲν τῶν ἐν τῇ φύσει ὄντων ἄνευ τοῦ ἐναντίου εἶναι, τά τε ἐν τῷ κόσμῳ ἐκ τῆς τῶν ἐναντίων φύσεως ὑπὸ τοῦ θεοῦ κεκοσμῆσθαι, φιλίαν αὐτοῖς καὶ κοινωνίαν ἐμποιήσαντος αὐτοῦ, οἷον τῷ ξηρῷ πρὸς τὸ ὑγρὸν, καὶ τῷ θερμῷ πρὸς τὸ ψυχρὸν, τῷ τε βαρεῖ πρὸς τὸ κοῦφον, λευκῷ τε πρὸς τὸ μέλαν, γλυκεῖ τε πρὸς τὸ πικρὸν, σκληρῷ τε πρὸς τὸ μαλακὸν, καὶ πᾶσι τοῖς τοιούτοις μίαν ἄλλην p. 701 πάντων κοινωνίαν, τῇ τε ἀπαθεῖ οὐσίᾳ πρὸς τὴν παθητὴν, τὰ δὲ κραθέντα καὶ μιχθέντα χωρισμὸν τὸν ἀπ' ἀλλήλων ἐν χρόνῳ φύσει ἐπιδέχεται, ἡ δὲ ψυχὴ ἐξ ἀπαθοῦς καὶ παθητῆς οὐσίας γεγονέναι ὑποκείσεται, ἀνάγκη ὡς τὸ μέσον χρῶμα οὕτω καὶ ταύτην ἐν χρόνῳ φύσει ἀφανισθῆναι, τῶν ἐν τῇ συστάσει αὐτῆς ἐναντίων ἐπὶ τὴν οἰκείαν φύσιν ἐπειγομένων.
3 Ἦ γὰρ οὐχ ὁρῶμεν καὶ τὸ φύσει βαρὺ, κἂν ὑφ' ἡμῶν ἤ τινος

c 9. μέσου] μέλανος B. d 2. χωριζομένου] χωριζομένη D. χωριζομένης E.I. 3. φθαρτὴν] φθαρτὸν C.G. φθαρτὴν αὐτὴν D. 4. τοῦτο ὁμολ.] τοῦτο om. B.C.F.G. 5. ἐν τῇ] ἐναντίων τῇ C.F.G. 7. θεοῦ] τοῦ θεοῦ B.C.F.G. 9. καὶ τὸ θερμὸν D. τὸ om. F. 10. θερμῷ—ψυχρὸν] ψυχρῷ—θερμὸν B. 12. τὸ π.—τὸ μ.] τὸ bis om. C.F.G. γλυκεῖ τε om. D. qui mox καὶ σκληρῷ. ult. om. τὸ ante μαλ. I.

p. 701. πάντων ἄλλην D. Mox παθητικὴν E. 4. ἡ δὲ ψ.—ἀλλήλοις om. B.

illabente dissidio, interire animum oportebit, quemadmodum illam coloris medii temperationem, cum illi ex quibus ante coaluit, suapte natura paulatim, in suum quisque genus propriumque solvuntur, perire necesse est, Id quod si semel probabitur, morti certe obnoxium, non immortalem
2 animum esse ponemus. Etenim si pro confesso habeatur, hac in rerum natura, quod contrario careat, prorsus esse nihil, quæque mundi ambitu continentur omnia, ex adversis pugnantibusque naturis dei manu temperata esse, qui mutuam illis amicitiam et communionem injecerit, ut sicco et humido, calido et frigido, gravi et levi, albo et nigro, dulci et acerbo, duro et molli, naturæ denique patiendi experti, et naturæ ad patiendum aptæ, eaque id genus omnia una quadam alia rerum omnium communione devinxerit: præterea si quæ mutuo temperata sunt, atque inter sese permixta, mutuum quoque temporis progressione divortium pro naturæ suæ conditione suscipiunt; animum profecto, si partium illarum in eo concretionem ponimus, perinde uti colorem aliquem medium, naturæ suæ vitio tandem interire necesse erit: contrariis illis ex quibus ipse constabit, ad
3 proprium naturæ suæ statum per sese properantibus. Quid enim? an non

ἔξωθεν φυσικῆς προσγενομένης αὐτῷ κουφότητος ἄνω φέρη- b ΣΕΒΗΡΟΥ
ται, ὡς αὐτὸ ὁμοίως ἐπὶ τὴν οἰκείαν φύσιν κάτω βιάζεται;
Ὁμοίως δὲ καὶ τὸ φύσει κοῦφον κατὰ τὰς ὁμοίας ἔξωθεν
αἰτίας κάτω φερόμενον, ὡς αὐτὸ ὁμοίως ἐπὶ τὰ ἄνω βιάζεται;
Τὰ γὰρ ἐκ δύο τινῶν ἀλλήλοις ἐναντίων εἰς ταυτὸν συνα-
χθέντα ἀδύνατον ἐν τῷ αὐτῷ ἀεὶ εἶναι, μὴ τρίτου τινὸς τῆς
4 τῶν ὄντων οὐσίας ἀεὶ ἐνόντος αὐτοῖς. Ἀλλὰ γὰρ οὐκ ἔστι
ψυχὴ τρίτον τι πρᾶγμα ἐκ δύο ἐναντίων ἀλλήλοις σύνθετον,
ἁπλοῦν δὲ καὶ τῇ αὐτῇ φύσει ἀπαθὲς καὶ ἀσώματον· ὅθεν c
Πλάτων καὶ οἱ μετ' αὐτοῦ ἀθάνατον αὐτὴν ἔφασαν εἶναι.
5 Ἐπειδὴ δὲ τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος κοινός ἐστι
πάντων λόγος γεγονέναι, τὰ δ' ἐν ἡμῖν ἄνευ σώματος ἑκου-
σίως καὶ ἀκουσίως γιγνόμενα πάθη τῆς ψυχῆς εἶναι λέγεται,
οἱ μὲν πολλοί, τούτῳ τεκμαιρόμενοι παθητὴν εἶναι τὴν οὐσίαν
αὐτῆς, θνητὴν αὐτὴν εἶναι λέγουσι καὶ σωματοειδῆ, ἀλλ' οὐκ
6 ἀσώματον. Ὁ δὲ Πλάτων τῷ φύσει αὐτῆς ἀπαθεῖ προσ-
[411] ηναγκάσθη τὴν παθητὴν οὐσίαν προσυφᾶναι. Ὅτι δὲ μὴ d

b 7. ἐναντίων—συναχθέντα] καὶ τὸ ἐναντίον—συναχθέντι B. 8. τῷ αὐτῷ] ταὐτῷ C.F.G. ἀεὶ εἶναι] εἶναι ἀεὶ B. c. αὐτοῦ] αὐτῇ B.C. D.F.G.I. 4. ἐπειδὰν δὲ] ἐπεὶ δὲ ὁ ἄνθ. B. δὲ καὶ τὸν D. 5. κοινὸς —γεγονέναι] ἐστιν ὡς ὁ κοινὸς φησὶ λόγος B. qui mox om. ἑκουσίως. ibid. ἔστι πάντων om. D. 7. γενόμενα D. 9. τῷ παθητὴν] τῷ om. B.C.D. F.G.I. Et sic voluit Viger. in marg. 10. αὐτὴν] αὐτῆς B. om. C. F.G. 12. προσηναγκάσθη] προσηναγκάσθαι B. d 2. μὴ ἑτέρως] μὴ δ' ἑτέρως C.F.G.I. μηδετ. B.D.

id videmus, quod suapte natura grave sit, licet a nobis, aut alia quavis extrinsecus indita naturali levitate, sursum agatur, ut tamen deorsum naturæ suæ vi ac pondere rapiatur? Similiter, quod suapte natura leve sit, licet extrinsecus simili quadam impellente causa, deorsum feratur, ut tamen suis quoque viribus sursum enitatur? Etenim quæ duobus ex contrariis unum in aliquid simul coierint, fieri non potest, ut eodem se modo semper habeant, nisi e rerum natura tertium aliquid cum iisdem perpetuo conjun-
4 gatur. Sed animus tertium quid profecto non est, duobus ex contrariis pugnantibusque compositum, sed potius unum aliquid simplex, naturaque sua ab omni et patiendi necessitate, et corporis mole liberum: ut eum
5 propterea Plato Platonisque sectatores, immortalem esse statuerint. At quoniam et hominem ex animo corporeque constare, vox est omnium una communis, et quæ citra corporis commercium, in nobis volentibus nolentibus commotiones existunt, animo assignantur universæ, naturam ejus patiendo obnoxiam esse conjicientes inde plerique, mortalem illum atque
6 corporeum, non corporis expertem esse contendunt. Plato autem ad illam ejus partem, quæ suapte natura omnem patiendi necessitatem excluderet, alteram hanc ex sese patientem adjungere coactus est. Quod autem hæc

ΣΕΒΗΡΟΥ δ' ἑτέρως ἔχει, ἐξ ὧν ἑκάτεροι εἰρήκασι Πλάτων τε καὶ οἱ ἄλλοι, πειρασόμεθα τῷ λόγῳ, τὰς ἐν ἡμῖν ἐνεργούσας δυνάμεις παραθέντες, προσβιβάσαι.

7 Ταῦτά μοι ἀπὸ τῶν Σεβήρου τοῦ Πλατωνικοῦ Περὶ ψυχῆς προκείσθω. Σκέψαι δὲ πρὸς τοῖς εἰρημένοις καὶ τόδε περὶ τῆς οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ φωστήρων ἀρχῆς.

18 Συμφώνως Ἑβραίοις καὶ τὸν περὶ οὐρανοῦ καὶ τῶν p. 702 b
ἐν αὐτῷ φαινομένων ἀποδοὺς λόγον, καθ' ὃν γεννητὰ εἶναι πρὸς τοῦ τῶν ὅλων αἰτίου πεποιημένα μετέχειν τε τῆς σωματικῆς καὶ φθαρτῆς οὐσίας συνέστη, οὐκέθ' ὁμοίως Ἑβραίοις σέβειν αὐτὰ νομοθετεῖ, καὶ θεοὺς ἡγεῖσθαι, ὧδε φάσκων ἐν Ἐπινομίδι·

ΠΛΑΤΩΝΟΣ 2 Τίνα δὴ καὶ σεμνύνων ποτὲ λέγω θεὸν, ὦ Μέγιλλε καὶ Κλεινία; Σχεδὸν οὐρανὸν, ὃν καὶ δικαιότατον, ὡς ξύμπαντες ἄλλοι δαίμονες ἅμα καὶ θεοὶ, τιμᾶν τε καὶ εὔχεσθαι διαφε- c

d 2. ἑκάτεροι om. B. 3. πειρασόμεθα] πειραθησόμεθα B. —σώμεθα C.D. Mox προβιβάσασθαι D. 5. ταῦτα] Seqq. om. B. Mox σευήρου C.F.G. 8. περὶ τῆς—ἀρχῆς om. D.I.

p. 702. b 3. γεννητὰ D.F.G. 4. πρὸς τοῦ] πρὸ τοῦ B.C. 8. ἐπινομίδι] ἐπιμενίδι B. ἐπιμενίδη C.D.F.G.I. Tum δὲ καὶ σεμνύνειν D. c. εὔχεσθαι] εὐχαριστεῖν B.

illorum utrinque nec alia ratio fuerit, ex iis quæ cum a Platone, tum etiam ab aliis disputantur, ostendere, ac simul effectrices illas, quæ nobis insitæ sunt, facultates promere ac proferre conabimur.

7 Hactenus Severi Platonici verba. Jam de cœli, deque collucentium ibi siderum principio, quid Plato senserit videamus.

18 De cœlo, deque collucentibus in eo sideribus, ita quidem Hebræorum ex mente Plato philosophatur, uti et ortum aliquem habuisse, et a rerum omnium conditore perfecta esse, et corporea interituique obnoxia natura constare doceat. Idem tamen eorum postea relicto ductu, cultum iis ac divinitatem legibus decernit sancitque suis, dum in Epinomide hunc in modum loquitur.

Plat. Epin. p. 977. 2 Ecquem vero, inquit, vobis, Megille, tuque o Clinia, tantopere deum commendo? Cœlum, opinor, quod quidem verum fuerit cum cæteris dæmonibus simul atque diis, colere summisque precibus obsecrare. Nam

ρόντως αὐτῷ· τὸ δὲ καὶ τῶν ἄλλων αἴτιον ἀγαθῶν πάντων ἡμῖν αὐτὸν γεγονέναι πάντες ἂν ὁμολογοῖμεν. ΠΛΑ-ΤΩ-ΝΟΣ

3 Εἶθ' ὑποβὰς ἐν τῷ αὐτῷ προστίθησι ταῦτα·

Θεοὺς δὲ δὴ τοὺς ὁρατοὺς, μεγίστους καὶ τιμιωτάτους καὶ ὀξύτατον ὁρῶντας πάντη, τοὺς πρώτους τὴν τῶν ἄστρων φύσιν λεκτέον, καὶ ὅσα μετὰ τούτων αἰσθανόμεθα γεγονότα, μετὰ δὲ τούτους καὶ ὑπὸ τούτοις ἑξῆς δαίμονας, ἀέριον δὲ γένος, ἔχον ἕδραν τρίτην καὶ μέσην, τῆς ἑρμηνείας αἴτιον, εὐχαῖς τιμᾶν μάλα χρεὼν χάριν τῆς εὐφήμου διαπορείας. d

4 Διὰ τούτων θεοὺς εἰπὼν εἶναι τοὺς δηλωθέντας, περὶ τῆς πρώτης αὐτῶν συστάσεως φυσιολογῶν ἐν Τιμαίῳ τάδε διεξέρχεται·

Ὅ τι πῦρ πρὸς τὸν ἀέρα, τοῦτο ἀὴρ πρὸς ὕδωρ· καὶ ὅ τι ἀὴρ πρὸς ὕδωρ, τοῦτο ὕδωρ πρὸς τὴν γῆν, ξυνέδησε καὶ ξυνεστήσατο οὐρανὸν ὁρατὸν καὶ ἁπτόν. Καὶ διὰ ταῦτα ἔκ τε δὴ τούτων τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων τὸ τοῦ κόσμου σῶμα ἐγενήθη δι' ἀναλογίας ὁμολογῆσαν, φιλίαν τε ἔσχεν ἐκ

c 4. ἐν τῷ αὐτῷ om. B. 5. δὲ δὴ] δὲ δεῖ D. 6 ὀξύτατον] ὀξύτατα B. 12. μάλα] μᾶλλον C.G. Mox ἀφήμου D. d 2. περὶ τῆς πρ.—γενέσθαι om. B. 4. τοιάδε] τάδε C.F.G. qui mox om. τόν cum D. qui supra ἐξέρχεται. 6. τοῦτο om. C.F.G. τὴν ante γῆν om. I.

ipsum quoque bonorum nobis aliorum omnium caussam fuisse, merito fateamur.

3 Inde plusculis interjectis, hæc ibidem subjungit:

Nam deos quidem illos, qui sub aspectum cadunt, maximos et maxima veneratione dignos, cunctaque passim acutissime pervidentes, astra, inquam, illa, quæque cum iis extitisse agnoscimus omnia, deorum omnium principes habere nos oportet. Tum secundum eos, ac sub iis dæmones colere. At genus illud aërium, quod tertiam obtinet mediamque sedem, quodque superos inter et homines interpretis munere fungitur, precationibus demereri cum primis necesse est, felicem ut nobis suam hanc operam esse velint. p. 984.

4 Hæc ibi, quibus manifeste divinitatem ipsis attribuit. Idem vero de prima eorum molitione sic philosophatur in Timæo.

Sic elementis, inquit, inter sese aptis atque connexis, ut qua proportione ignis cum aëre, eadem aër cum aqua, et qua vicissim aër cum aqua, eadem aqua similiter cum terra congrueret; mundum hunc ita devinxit atque firmavit, ut spectari simul tangique posset. Ac propterea, cum ex illis et natura sua talibus, et numero quatuor, hujus mundi corpus secum apte consentiens effectum est; tum ea sese amicitia proinde complectitur, ut in Plato Tim. p. 32.

ΠΛΑΤΩΝΟΣ

τούτων, ὥστ' εἰς ταὐτὸν αὐτῷ ξυνελθὸν ἄλυτον ὑπὸ τῶν ἄλλων πλὴν ὑπὸ τοῦ ξυνδήσαντος γενέσθαι.

5 Εἶτ' ἐπιλέγει, p. 703

Ψυχὴν δ' εἰς τὸ μέσον αὐτοῦ θεὶς διὰ παντός τε ἔτεινε, καὶ ἔτι ἔξωθεν τὸ σῶμα αὐτῇ περιεκάλυψε, καὶ κύκλῳ δὴ κύκλον στρεφόμενον οὐρανὸν ἕνα μόνον ἔρημον κατέστησε.

6 Καὶ πάλιν ὑποβὰς ἐπιφέρει λέγων,

Ἐξ οὖν λόγου καὶ διανοίας θεοῦ τοιαύτης πρὸς χρόνου γένεσιν, ἵνα γενηθῇ χρόνος, ἥλιος καὶ σελήνη, καὶ πέντε ἄλλα ἄστρα, ἐπίκλην ἔχοντα πλάνητες, εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε· σώματα δὲ αὐτῶν ἑκάστων ποιήσας ὁ θεὸς, ἔθηκεν εἰς τὰς περιφορὰς, ἃς ἡ θατέρου περί- b οδος ᾔει.

7 Καὶ ἐπιλέγει,

Δεσμοῖς τε ἐμψύχοις σώματα δεθέντα ζῷα ἐγενήθη, τό τε προσταχθὲν ἔμαθε.

d 12. ξυνελθὼν D.
p. 703. 2. παντός τε D. 4. μόνον ἕνα] ἕνα μόνον B.C.F.G. 5. καὶ πάλιν—ᾔει om. B. 9. πλάνητες] πλάνητα D.I. 10. σώματα δὲ] σῶμα τὰ δὲ C.F.G. Mox ἑκάστῳ D. b. εἴη D. 2. σώματα— ἐγεννήθη om. B.

unum per sese coalescens, ab alio, quam ab eo, cujus manu colligatum est, dissolvi nunquam possit.

5 Quibus hæc post nonnulla subjungit :

p. 34. Animum autem ejus in medio collocatum, ita per universum effudit, ut ipsum quoque corpus extrinsecus eo circumfuderit : adeoque mundum hunc, orbem unum aliquem, quique in orbem converteretur, eundemque solum ac sine cujusquam alterius consortio esse voluit.

6 Atque iterum inferius :

p. 38. Hoc igitur, inquit, divinæ providentiæ consilio, uti tempus existeret, sol, luna, ac cætera quinque sidera, quæ vulgo errantia nominantur, procreata sunt, quorum motu numerorum temporis et extare ratio, et observari posset. Horum corpora singulorum molitus deus, iis motibus servire jussit, quos alterius conversio efficeret.

7 Et paulo post,

Hæc, inquit, corpora animatis vinculis colligata, animantia evasere, atque imperati sibi rationes cognovere.

8 Καὶ ἐν τῷ δεκάτῳ τῶν Νόμων, καθόλου περὶ πάσης ψυχῆς ἀποφαίνεται, λέγων ὧδε,

Μεταβάλλει μέντοιγε πάνθ' ὅσα μέτοχά ἐστι ψυχῆς, ἐν ἑαυτοῖς κεκτημένα τὴν τῆς μεταβολῆς αἰτίαν· μεταβαλόντα δὲ φέρεται κατὰ τὴν τῆς εἱμαρμένης τάξιν καὶ νόμον· μικρότερα μὲν τῶν ἠθῶν μεταβαλόντα ἐλάττω κατὰ τὸ τῆς χώρας [412] ἐπίπεδον μεταπορεύεται, πλείω δὲ καὶ ἀδικώτερα μεταπεσόντα εἰς βάθος.

ΠΛΑΤΩΝΟΣ

9 Εἰ δὴ οὖν μεταβάλλει πάνθ' ὅσα μέτοχά ἐστι ψυχῆς c ἐν ἑαυτοῖς κεκτημένα τὴν τῆς μεταβολῆς αἰτίαν, οὐρανὸς δὲ καὶ ἥλιος καὶ σελήνη μέτοχά ἐστι ψυχῆς κατ' αὐτὸν τὸν Πλάτωνα, καὶ ταῦτα ἄρα μεταβάλλοι ἂν ἐν ἑαυτοῖς κεκτημένα τὴν τῆς μεταβολῆς αἰτίαν κατὰ τὸν αὐτοῦ d λόγον. Πῶς οὖν πάλιν ἀϊδίους αὐτοὺς εἶναι καὶ διὰ τοῦτο θεούς φησι, καίπερ ἐν σώματι φθαρτῷ ὄντας καὶ λυθῆναι οἵους τε; Λέγει δ' οὖν πάλιν ἐν Τιμαίῳ,

b 5. ὧδε μεταβάλλει] ὦ μεταβάλλοι B. 8. μεταβαλόντα—νομοθετεῖ τιμὴν om. B. μεταβάλλοντα F.G. 12. εἰ δ' οὖν μετ. D. c 2. μεταβαλόντα δὲ φέρεται κατὰ τὴν τῆς εἱμαρμένης τάξιν καὶ νόμον, μικρότερα μὲν τῶν ἠθῶν μεταβαλόντα, ἐλάττω κατὰ τὸ τῆς χώρας ἐπίπεδον μεταπορεύεται, πλείω δὲ καὶ ἀδικώτερα, μεταπεσόντα εἰς βάθος. Εἰ δὴ οὖν μεταβάλλει πάνθ' ὅσα μέτοχά ἐστι ψυχῆς ἐν ἑαυτοῖς κεκτημένα τὴν τῆς μεταβολῆς αἰτίαν om. C.E.F.G.I. et delenda vidit Vigerus. d 4. Τιμαίῳ] τῷ Τιμ. C.F.G.

8 Idem vero Legum decimo universe de omni animo sic loquitur,

Quicquid animo præditum est, inquit, id omne, quod mutationis in sese caussam habeat, mutetur necesse est. Quo in mutationis genere, singula fati ordinem ac legem sequuntur. Ita, quæ suis in moribus minora tantum aliqua mutaverint, ea minus depressa per summum duntaxat regionis solum incedunt: quæ plura gravioraque peccaverint, profundo gurgite hauriuntur.

Plato Legg. p. 904.

9 Si ergo quicquid animo præditum est, idem est mutationi obnoxium, cujus in sese causam includat; cœlum autem, sol, atque luna, ut Plato ipse statuit, animo prædita sunt; eadem quoque sunt mutationi obnoxia, cujus in sese caussam includant, si quid efficit ejus ratiocinatio. Quod si ita est, quomodo rursus æternitatem in illis, ac proinde divinitatem agnoscit, cum ex caduco mortalique corpore concreta dissolvi aliquando possint? Nam in Timæo quidem hæc ipse.

ΠΛΑΤΩΝΟΣ

Ἐπεὶ δ' οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς καὶ ὅσοι φαίνονται καθόσον ἂν ἐθέλωσι θεοὶ γένεσιν ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἄλυτα ἐμοῦ μὴ θέλοντος. Τὸ μὲν οὖν δὴ δεθὲν πᾶν, λυτόν· τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. Δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὖν οὐκ ἐστε, οὐδ' ἄλυτοι τὸ πάμπαν· οὔτι μὲν δὴ λυθήσεσθέ γε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς p. 704 ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων οἷς ὅτε ἐγίγνεσθε ξυνεδεῖσθε.

11 Ταῦτα ὁ Πλάτων. Εἰκότως δῆτα Μωσῆς καὶ τὰ Ἑβραίων λόγια σέβειν μὲν ἀπαγορεύει ταῦτα καὶ θεοὺς ἡγεῖσθαι, ἄνω δὲ πρὸς τὸν παμβασιλέα Θεὸν ἀνάγοντα, αὐτὸν δὴ τὸν ἡλίου καὶ σελήνης καὶ ἄστρων ὅλου τε οὐρανοῦ καὶ κόσμου δημιουργὸν, τὸν δὴ τὰ πάντα θείῳ λόγῳ συνδήσαντά τε καὶ συναρμοσάμενον, μόνον ἡγεῖ- b σθαι Θεὸν, καὶ μόνῳ τὴν σεβάσμιον ἀπονέμειν νομο-

d 9. ἄλυτα] ἀδύνατα Athenag. c. 6. p. 284 c. Plato: ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα. 11. γε μὴν] γε μὴ C.F.G. ult. οὐκ ἐστε] ἀκουστὶ D. ἄλυτοι] ἄλογοι C.F.G.

p. 704. μέντοι] μὲν δὴ C.E.F.G.I. οὔτι μ. λ. γε om. D. 4. ἐγίγν.] ἐγίν. C.F.G.

Plato Tim. p. 41.

Quoniam igitur, inquit, dii omnes, tam qui palam volvuntur in cœlo, quam qui videndos sese nobis pro voluntate præbent, ortum habuere, sic eos universi hujus conditor alloquitur. Hæc vos, qui deorum satu orti estis, attendite. Quorum operum ego parens, effectorque sum, quæ per me facta, non sunt dissoluta me invito: quanquam omne colligatum solvi potest. Sed haud quaquam boni est, ratione vinctum velle dissolvere. Sed quoniam orti estis, immortales vos quidem esse, et indissolubiles non potestis: neutiquam tamen dissolvemini, nec vos ulla mortis fata periment. Consilium enim meum majus est vinculum ad perpetuitatem vestram, quam illa, quibus estis, tum cum gignebamini, colligati.

11 Hactenus ille. Jure ergo Moses Hebræorumque oracula prohibent, quo minus cultum iis ac divinitatem tribuamus: contraque jubent, uti sursum animis ad rerum omnium moderatorem Deum, ipsum, inquam, solis, atque lunæ, siderumque reliquorum, imo cœli mundique totius effectorem sublatis, unum illum, cujus verbo apta ex sese nexaque sunt omnia, et Deum habeamus, et augusto illo cultu

θετεῖ τιμήν, λέγων, Μὴ ἰδὼν τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ πάντας τοὺς ἀστέρας, καὶ πάντα τὸν κόσμον τοῦ οὐ-
12 ρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς. Ἑρμηνεύει δὲ ταῦτα διασαφῶν εἰς πλάτος ὁ τὰ Ἑβραίων πεπαιδευμένος Φίλων, ὧδέ πῃ λέγων πρὸς λέξιν·

ΦΙΛΩΝΟΣ

Τινὲς ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας ὑπέλαβον εἶναι θεοὺς αὐτοκράτορας, οἷς τὰς τῶν γιγνομένων ἁπάντων αἰτίας ἀνέθεσαν. Μωσῇ δ' ὁ κόσμος ἔδοξεν εἶναι καὶ γεν- c
νητός, καὶ πόλις ἡ μεγίστη ἄρχοντας ἔχουσα καὶ ὑπηκόους· ἄρχοντας μέν, τοὺς ἐν οὐρανῷ πάντας, οἷον πλάνητες καὶ ἀπλανεῖς ἀστέρες· ὑπηκόους δέ, τὰς μετὰ σελήνην ἐν ἀέρι, καὶ
13 περιγείους φύσεις. Τοὺς δὲ λεχθέντας ἄρχοντας οὐκ αὐτεξουσίους, ἀλλ' ἑνὸς τοῦ πάντων πατρὸς ὑπάρχους· οὗ μιμουμένους τὴν ἐπιστασίαν κατορθοῦν, πρυτανεύοντος κατὰ δίκην καὶ νόμον ἕκαστον τῶν γεγονότων. Τοὺς δὲ μὴ βλέποντας τὸν ἐπιβεβηκότα ἡνίοχον, τοῖς ὑπεζευγμένοις, ὡς αὐτουργοῖς, d

b 3. μὴ ἰδὼν] κατὰ τὸν αὐτοῦ λόγον· ὧν τὴν ἄγνοιαν ὁ ἱερώτατος νομοθέτης εἰς ἐπήκοον μεθαρμόζεται λέγων ὧδε μὴ ἰδὼν B. 4. πάντας om. C.D.F.G. et καὶ πάντα—οὐρανοῦ om. C.F.G. 5. πλανηθεὶς προσκυνήσῃς] πλανηθὲν προσκυνήσω B. qui om. ἑρμηνεύει—προσκυνήσῃς αὐτοῖς d 7. προσκυνήσεις D. c. Μωσῇ] Μωσεῖ F.G.I. 2. καὶ πόλις] καὶ καθάπερ πόλις Phil. 4. πάντας—πλάνητας] ἅπαντας—πλάνητες C.F.G. πλανῆτες D.E. οἱ πλάνητες I. Mox ἀστέρες E.I. ὅσοι πλάνητες—ἀστέρες Phil. 9. πρυτανεύοντας] πρυτανεύοντος C.D.F.G.I. Phil.

prosequamur. Nam ita quidem Moses præcipit, *Ne videns solem, et lunam, et omnes stellas, et omnem ornatum cæli, errore deceptus adores* (Deut. 4, 19.)
12 *ea.* Quod ejus interdictum uberius explanans Philo, rerum Hebræarum scientissimus, hunc in modum loquitur:

(Philo De Monarch. 1. init. T. II. p. 213.)

Sunt qui solem atque lunam, astraque cætera, præpotentes ex sese deos esse rati, caussas ipsis eorum quæ fiunt omnium assignarunt. At vero Moses et genitum esse mundum, et instar magnæ cujusdam reipublicæ, suos quoque principes ac subditos habere statuit. Et stellas quidem tam errantes, quam orbibus suis affixas, quæ omnes in cœlo versantur, principum loco munereque fungi; luna vero inferiores naturas, sive aërem teneant, sive propius cum terra cohæreant, subditorum in classe graduque
13 consistere. Verumtamen principes illos, non potestatis omnino jurisque sui, sed unius cunctorum parentis quosdam quasi præfectos esse, cujus dum regendi consilium ac rationes imitantur, quicquid existit nasciturque rerum, id omne feliciter ex æquitatis legisque præscripto moderari. At vero, qui sessorem illum frænos habenasque regentem non viderent, eos

ΦΙΛΩ-
ΝΟΣ

τῶν ἐν τῷ κόσμῳ γινομένων ἀνάψαι τὰς αἰτίας. Ὧν τὴν
ἄγνοιαν ὁ ἱερώτατος νομοθέτης εἰς ἐπιστήμην μεθαρμόζεται,
λέγων ὧδε, Μὴ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας
καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ πλανηθεὶς προσκυνήσῃς αὐτοῖς.
14 Εὐθυβόλως πάνυ καὶ καλῶς πλάνον εἶπε τὴν τῶν εἰρημένων
ὡς θεῶν ἀποδοχήν. Οἱ γὰρ ἰδόντες ἡλίου μὲν προσόδοις καὶ
ἀναχωρήσεσι τὰς ἐτησίους ὥρας συνισταμένας, ἐν αἷς αἱ ζώων
καὶ φυτῶν καὶ καρπῶν γενέσεις ὡρισμέναις χρόνων περιόδοις
τελεσφοροῦνται, σελήνην δ' ὑπηρέτιν καὶ διάδοχον ἡλίου
νύκτωρ τὴν ἐπιμέλειαν καὶ προστασίαν ἀνειληφυῖαν ὧν μεθ' p. 705
ἡμέραν ἥλιος, καὶ τοὺς ἄλλους ἀστέρας κατὰ τὴν πρὸς τἀπί-
γεια συμπάθειαν μυρία τῶν ἐπὶ διαμονῇ τοῦ παντὸς ἐνερ-
γοῦντάς τε καὶ δρῶντας, πλάνον ἐπλανήθησαν ἀνήνυτον μό-
15 νους εἶναι τούτους θεοὺς ὑποτοπήσαντες. Εἰ δ' ἐσπούδασαν
διὰ τῆς ἀπλανοῦς βαδίζειν ὁδοῦ, κἂν εὐθὺς ἔγνωσαν, ὅτι
καθάπερ αἴσθησις ὑποδιάκονος νοῦ γέγονε, τὸν αὐτὸν τρόπον
καὶ οἱ αἰσθητοὶ πάντες ὑπηρέται τοῦ νοητοῦ συνέστησαν.

d 4. λέγων ὧδε] ὧδε λέγων C.F.G. 8. πλάνην εἶπε] εἶπε πλάνον B. πλάνον D.I. Phil. ὡς θεῶν] ὡς om. C.F.G. 10. προσόδοις] προόδοις B.C.F. Phil. 14. ὑπηρέτιν] ὑπερέτην B. ὑπηρέτην Phil.

p. 705. ἥλιος] ἥλιον Phil. 3. παντὸς] παρόντος Phil. 4. πλάνην] πλάνον B.F.G.I. Phil. Mox θεοὺς τούτους B. 8. αἴσθησις] αἴσθησιν C.F.G. καθαπαξ. E. pro καθάπερ.

jugalibus istis, quasi per sese res efficerent, omnium quæ hoc in orbe
fierent, caussas tribuisse. Quorum stultitiam nova ut scientia sanctissimus
legislator emendet: *Ne tu*, inquit, *videns solem, et lunam, et stellas, et*
14 *omnem ornatum cœli, errore deceptus adores ea.* Præclare omnino rem
tetigit, dum eorum, quibus nova hæc numina probarentur, consilium er-
rorem appellavit. Nam qui dum viderent, aut solis accessu recessuque
annuas illas tempestates existere, quibus animantium, plantarum, fructu-
umque ortus, maturitatem suam certis ac descriptis temporum conversio-
nibus assequantur: aut lunam solis administram atque vicariam, quibus
ipse præsit interdiu, curam eorum noctu moderationemque suscipere; tum
cætera quoque sidera pro suo quodam adversus res terrenas sensu, infinita
quæ ad universi conservationem pertineant, indita sibi vi efficere; eum in
15 errorem sane immensum devenere, hos ut solos deos esse statuerent. Qui
si rectam viam studiosius instituissent, facile profecto agnovissent, quem-
admodum mentis administer suapte natura sensus est, ita quicquid in
sensum cadit, ejus quod sola mente percipitur, administrum esse con-
stitutum.

16 Καὶ ἐπάγει λέγων,

[413] Ὥσθ' ὑπερβάντες τῷ λογισμῷ πᾶσαν τὴν ὁρατὴν οὐσίαν b ἐπὶ τὴν τοῦ ἀειδοῦς καὶ ἀοράτου καὶ μόνῃ διανοίᾳ καταληπτοῦ τιμὴν ἴωμεν, ὃς οὐ μόνον Θεός ἐστι νοητῶν τε καὶ αἰσθητῶν, ἀλλὰ καὶ ἁπάντων δημιουργός. Ἐὰν δέ τις τὴν τοῦ ἀϊδίου καὶ ποιητοῦ θεραπείαν ἄλλῳ προσνέμῃ νεωτέρῳ καὶ γεννητῷ, φρενοβλαβὴς ἀναγεγράφθω καὶ ἔνοχος ἀσεβείᾳ τῇ μεγίστῃ.

ΦΙΛΩΝΟΣ

17 Ταῦτα τῆς Ἑβραίων εὐσεβείας τὰ ὡς ἀληθῶς ἀκήρατά τε καὶ θεῖα μαθήματα πρὸ τῆς τετυφωμένης φιλοσοφίας τετιμήκαμεν. Τί με δεῖ μηκύνειν καὶ τἄλλα c τοῦ Πλάτωνος εἰς φῶς ἄγειν, ἐκ τῶνδε παρὸν καὶ τὰ ἐμοὶ νῦν σεσιγημένα τεκμαίρεσθαι; Οὐ μὴν διαβολῆς ἕνεκα ταῦτα φάναι προήχθην, ἐπεὶ καὶ σφόδρα ἔγωγε ἄγαμαι τὸν ἄνδρα, καὶ πάντων μᾶλλον Ἑλλήνων φίλον ἡγοῦμαι καὶ τιμῶ, τὰ ἐμοὶ φίλα καὶ συγγενῆ, εἰ καὶ μὴ

a 10. καὶ ἐπάγει λέγων] καὶ αὖθις B. b 2. ἀειδοῦς] ἀϊδίου Phil. καὶ ἀοράτου om. B. 3. ὃς οὐ μόνον—δημιουργὸς om. B. ὃς οὐ μόνον θεὸς θεῶν Phil. 4. ἁπάντων] πάντων C.F.G. Phil. 6. προσνέμει D. 7. καὶ] ἢ Phil. 8. καὶ ἔνοχος—τετιμήκαμεν om. B. ἀσεβείᾳ] εὐσεβείᾳ C.F. c. μηκύνειν] μὴ κύνειν B. 2. ἀγαγεῖν] ἄγειν B.C.D.F.G. Mox παρὼν I. 3. νῦν om. D. 5. ναὶ πάντων] καὶ π. B.C.D.G. Mox μᾶλλον om. B.C.F.G.I.

16 Quibus ita subdit,

Quamobrem, inquit, naturam omnem aspectabilem cogitatione prætervecti, ad ejus, qui quod omni forma careat, nec visu attingatur, sola intelligentia percipi potest, honorem aspiremus: quippe qui Deus sit, non eorum modo, quæ vel mente, vel sensu capiuntur, sed omnium omnino procreator. Quisquis autem sempiterni illius, ac rerum effectoris cultum recentiori cuipiam genitoque tribuerit, is et insanus, et summæ reus impietatis habeatur.

12 τείων. Ἐπεὶ γὰρ συμφοιτῶντες παρὰ Πολέμωνι ἐφιλοτιμήθησαν ἀλλήλοις, συμπαρέλαβον εἰς τὴν πρὸς ἀλλήλους μάχην ὁ μὲν Ἡράκλειτον καὶ Στίλπωνα ἅμα καὶ Κράτητα, ὧν ὑπὸ μὲν Στίλπωνος ἐγένετο μαχητὴς, ὑπὸ δὲ Ἡρακλείτου αὐστηρὸς, κυνικὸς δὲ ὑπὸ Κράτητος· ὁ δ' Ἀρκεσίλαος Θεόφραστον ἴσχει καὶ Κράντορα τὸν Πλατωνικὸν καὶ Διόδωρον εἶτα Πύρρωνα, ὧν ὑπὸ μὲν Κράντορος πιθανουργικὸς, ὑπὸ Διοδώρου δὲ σοφιστὴς, ὑπὸ δὲ Πύρρωνος ἐγένετο παντοδα- d
13 πὸς καὶ ἴτης καὶ οὐδέν. Ὃ καὶ ἐλέγετο περὶ αὐτοῦ ᾀδόμενόν
[426] τι ἔπος παράγωγον καὶ ὑβριστικὸν,

Πρόσθε Πλάτων, ὄπιθεν Πύρρων, μέσσος Διόδωρος.

Τίμων δὲ καὶ ὑπὸ Μενεδήμου τὸ ἐριστικόν φησι λαβόντα ἐξαρτυθῆναι, εἴπερ γε δή φησι περὶ αὐτοῦ,

b 9. πάλιν] πόλιν C.F.G. c. γενολογείσθω D. 6. ἅμα καὶ om. D. d 5. ὄπιθεν] ὄπιθεν δὲ C.D.E.I. ὄπισθεν δὲ F.G.

nibus quæstio est. Revocamus ergo nos ad locum pensumque nostrum, atque ut a recto cursu ne longius aberremus, ex eo quod alio
11 nos abripuit diverticulo, redimus in viam. Discipulos habuit Polemo Arcesilam atque Zenonem: (rursus enim tandem eorum meminero.) Quippe dicere me jam memini, Zenonem Xenocratis primum, deinde Polemonis auditorem fuisse, tum a Cratete Cynicam hausisse disciplinam. Nunc de eodem præterea sic habeto, illum et Stilponem et Hera-
12 clitum etiam audiisse. Cum enim Polemoni operam ambo darent, quod mutua quadam æmulatione ferrentur, pugnæ socios et adjutores optaverunt, Heraclitum, Stilponem, et Cratetem, Zeno, qui Stilponis consuetudine pugnax; Heracliti, austerus; Cratetis, Cynicus evasit: Arcesilas vero Theophrastum, Crantorem Platonicum, Diodorum, ac deinde Pyrrhonem: et a Crantore quidem ad persuadendum callidus, a Diodoro autem sophista, denique a Pyrrhone cum omnem in partem versatilis ac
13 temerarius, tum etiam nullus esse didicit. In quem propterea cani solitum aiunt hunc versiculum ex alio quodam contumeliæ caussa expressum,

Fronte Plato, pedibus Pyrrho, medio Diodorus.

Quem etiam a Timone scriptum est, a Menedemo acrimonia quadam instructum et armatum fuisse. Sic enim ille de Arcesila,

Τῇ μὲν ἔχων Μενεδήμου ὑπὸ στέρνοισι μόλυβδον
θεύσεται, ἢ Πύρρωνα τὸ πᾶν κρέας, ἢ Διόδωρον.

NOYMHNIOY

14 Ταῖς οὖν Διοδώρου, διαλεκτικοῦ ὄντος, λεπτολογίαις τοὺς p. 730 λογισμοὺς τοὺς Πύρρωνος καὶ τὸ σκεπτικὸν καταπλέξας διεκόσμησε λόγου δεινότητι τῇ Πλάτωνος φλήναφόν τινα κατεστωμυλμένον, καὶ ἔλεγε, καὶ ἀντέλεγε, καὶ μετεκυλινδεῖτο κἀκεῖθεν κἀντεῦθεν, ἑκατέρωθεν, ὁπόθεν τύχοι, παλινάγρετος, καὶ δύσκριτος, καὶ παλίμβολός τε ἅμα, καὶ παρακεκινδυνευμένος, οὐδέν τε εἰδώς, ὡς αὐτὸς ἔφη, γενναῖος ὤν· εἶτά πως ἐξέβαινεν ὅμοιος τοῖς εἰδόσιν, ὑπὸ σκιαγραφίας τῶν λόγων παντοδαπὸς πεφαντασμένος.

b

6 Τοῦ τε Ὁμηρικοῦ Τυδείδου ὁποτέροις μετείη ἀγνοουμένου, οὔτε εἰ Τρωσὶν ὁμιλέοι οὔτε εἰ καὶ Ἀχαιοῖς, οὐδὲν ἧττον Ἀρκεσίλαος ἠγνοεῖτο. Τὸ γὰρ ἕνα τε λόγον καὶ ταὐτόν c ποτ' εἰπεῖν οὐκ ἐνῆν ἐν αὐτῷ, οὐδέ γε ἠξίου ἀνδρὸς εἶναί πω τὸ τοιοῦτο δεξιοῦ οὐδαμῶς. Ὠνομάζετο οὖν

Δεινὸς σοφιστής, τῶν ἀγυμνάστων σφαγεύς.

d 11. μόλυβδον] μόλιβδον C.F.G. 12. πάγκρεας] πᾶν κρέας C.D.I. Vide de h. l. Menag. ad Diog. Laërt. IV. 33.

p. 730. 4. τῇ Πλ.] τοῦ Πλ. D.F. τοῦ ἢ Πλ. G. 5. καὶ ἔλεγε om. C. qui infra ἑκατέροθεν. Post ἀντέλεγε D. ni fallor om. καί. 7. τύχοι] τύχῃ (οι) C.G. 9. οὐδέν τε] οὐδέν τι C.F.G. Mox ἔπειτα pro εἶτα C. 11. σκιογραφίας F.G. b 4. ὁποτέροις] ὁπότερος C.F.G. 6. ἀχαιοῖς] ἀχ. ἠξίου C. 7. τὸ γὰρ] γὰρ om. B. c 2. ἠξίου] ἠγίου F. εἶναί πω] πω om. B. 3. οὖν] δὲ D. δεινὸς—σφαγεὺς] vs. iambicus. Toup.

Ille ruens, medio Menedemi in pectore plumbum,
Pyrrhonisve altas glandes feret, aut Diodorum.

14 Itaque spinosis Diodori hominis dialectici argutiis, ancipites illas ac dubias Pyrrhonis cogitationes intricans, nugaci et ineptæ loquacitati aliquod tamen ex vi et facultate Platonica ornamentum quærebat: homo ejusmodi, affirmans simul idem, idemque negans, hinc, illinc, utrinque, vel undique potius subito se temereque versans ac revocans, incerti ambiguique sensus, veterator, præceps, atque ut ipsemet, adeo ingenuus est, confitetur, nihil omnino sciens: postmodum tamen nescio quo pacto scientibus similis: sic umbratili quadam orationis specie omnis homo subinde apparuit.

6 Nihilo minus, inquit, ignotus erat Arcesilas, quam ambiguum esset, utros inter Homericus ille Diomedes versaretur, Trojanos, an Achivos. Is enim nec idem unquam ut diceret impetrare abs sese poterat, nec id omnino solertis ingenii putabat esse. Ergo sophista dicebatur acer ac

ΝΟΥΜΗΝΙΟΥ

2 Ὥσπερ γὰρ αἱ ἔμπουσαι, ἐν τοῖς φαντάσμασι τοῖς τῶν λόγων ὑπὸ παρασκευῆς τε καὶ μελέτης ἐφάρματτεν, ἐγοήτευεν, οὐδὲν εἶχεν εἰδέναι οὔτε αὐτὸς οὔτε τοὺς ἄλλους ἐᾶν· ἐδειμάτου δὲ καὶ κατεθορύβει, καὶ σοφισμάτων γε καὶ λόγων κλοπῆς φερόμενος τὰ πρῶτα κατέχαιρε τῷ ὀνείδει, καὶ ἠβρύνετο θαυμαστῶς, ὅτι μήτε τί αἰσχρὸν ἢ καλὸν, μήτε ἀγαθὸν μήτε αὖ κακόν ἐστι τί ᾔδει, ἀλλ' ὁπότερον εἰς τὰς ψυχὰς πέσοι τοῦτο d
εἰπὼν, αὖθις μεταβαλὼν ἀνέτρεπεν ἂν πλεοναχῶς, ἢ δι' ὅσων
3 κατεσκευάκει. Ἣν οὖν ὕδραν τέμνων ἑαυτὸν καὶ τεμνόμενος ὑφ' ἑαυτοῦ, ἀμφότερα ἀλλήλων δυσκρίτως, καὶ τοῦ δέοντος ἀσκέπτως, πλὴν τοῖς ἀκούουσιν ἤρεσεν, ὁμοῦ τῇ ἀκροάσει εὐπρόσωπον ὄντα θεωμένοις· ἦν οὖν ἀκουόμενος καὶ βλεπόμενος ἥδιστος, ἐπεί τε προσειθίσθησαν ἀποδέχεσθαι αὐτοῦ τοὺς λόγους ἰόντας ἀπὸ καλοῦ προσώπου τε καὶ στόματος
4 οὐκ ἄνευ τῆς ἐν τοῖς ὄμμασι φιλοφροσύνης. Δεῖ δὲ ταῦτα ἀκοῦσαι μὴ ἁπλῶς, ἀλλ' ἔσχεν ὧδε ἐξ ἀρχῆς. Συμβαλὼν γὰρ p. 731

c 5. φάσμασι] φαντάσμασι B.F.I. 6. ἐφήρμοττεν] ἐφάρματτεν B. C.D. quomodo conjecit Wyttenbach ad Plutarch. p. 16 e. ἐφάρμοττεν G. Supra C.I. ὑπὸ μελέτης. 7. εἶχεν οὐδένα D. 9. σοφισμάτων—λόγων] λόγων—σοφισμ. B. 11. ἠμβρύνετο] ἠβρύνετο F.G. 12. μήτε] μήτε οὖν B. qui mox ἢ pro μήτε αὖ. 13. ἀλλ' ὁπότερον—ἔλεγξαι om. B. d 2. ἀνέτρεπεν] ἐπέτρεπεν C.G. ἐπέτρεσεν F. 6. ἤρκεσεν] Leg. ἤρεσεν, ut p. 745 c. Toup. Dedi ἤρεσεν cum F. 8. ἐπεί τοι] ἐπεί τε D.F.G.I.

2 vehemens, quique minus hac in arte versatos jugularet. Nam quemadmodum empusæ illæ solent, in disputationum suarum præstigiis, studio dataque opera componebat dabatque sese, ludificabatur, nihil nec sciebat ipse, nec scire alios patiebatur: terrorem omnibus ac perturbationem injiciebat: argutiarumque sibi ac veteratoriæ dictionis primas ita defendebat, hoc ut probro jucundissime frueretur, eoque se nomine mirum in modum circumspiceret, quod quid turpe quidve honestum, quid bonum quidve malum esset, ignoraret: sed potius, ubi quod primum in mentem venerat effutiisset, tum repente mutatus, id ipsum pluribus quam ante stabilierat,
3 everteret. Se ipsum igitur ille quasi hydram secabat, et secabatur a se ipso, dum sic in utramque partem loqueretur, ut nec quid sibi vellet intelligerent, nec ullam ipse decori rationem haberet. Tenebat ille tamen auditores, dum in loquente summam oris dignitatem videbant. Fuit enim auditu simul aspectuque jucundissimus, adeoque libentissime hominis orationem excipiebant, præstanti ex vultu et ore manantem, nec absque nativa
4 quadam suavitate oculorum. Quam ille speciem non subito præ se tulit, sed a primis statim annis induerat. Cum Theophrasto enim a pueritia

ΝΟΥ-ΜΗ-ΝΙΟΥ

ἐν παισὶ Θεοφράστῳ, ἀνδρὶ πράῳ καὶ οὐκ ἀφυεῖ τὰ ἐρωτικά, διὰ τὸ καλὸς εἶναι, ἔτι ὢν ὡραῖος, τυχὼν ἐραστοῦ Κράντορος τοῦ Ἀκαδημαϊκοῦ, προσεχώρησε μὲν τούτῳ, οἷα δὲ τὴν φύσιν οὐκ ἀφυής, τρεχούσῃ χρησάμενος αὐτῇ, ῥᾳδίᾳ, θερμουργὸς ὑπὸ φιλονεικίας, μετασχὼν μὲν Διοδώρου εἰς τὰ πεπανουργημένα πιθάνια ταῦτα τὰ κομψά, ὡμιληκὼς δὲ Πύρρωνι· (ὁ δὲ Πύρρων ἐκ Δημοκρίτου ὥρμητο ὁπόθεν γέ ποθεν·) οὗτος μὲν δὴ ἔνθεν καταρτυθείς, πλὴν τῆς προσρήσεως, ἐνέ- b
5 μεινε Πύρρωνι, ὡς τῇ πάντων ἀναιρέσει. Μνασέας γοῦν καὶ Φιλόμηλος καὶ Τίμων οἱ σκεπτικοὶ σκεπτικὸν αὐτὸν προσονομάζουσιν, ὥσπερ καὶ αὐτοὶ ἦσαν, ἀναιροῦντα καὶ αὐτὸν τὸ
6 ἀληθές, καὶ τὸ ψεῦδος, καὶ τὸ πιθανόν. Λεχθεὶς οὖν ἀναίτια τῶν Πυρρωνείων Πυρρώνειος, αἰδοῖ τοῦ ἐραστοῦ ὑπέμεινε λέγεσθαι Ἀκαδημαϊκὸς ἔτι. Ἦν μὲν τοίνυν Πυρρώνειος, πλὴν τοῦ ὀνόματος· Ἀκαδημαϊκὸς δ' οὐκ ἦν, πλὴν τοῦ λέγεσθαι. Οὐ γὰρ πείθομαι, τοῦ Κνιδίου Διοκλέους φάσκοντος
[427] ἐν ταῖς ἐπιγραφομέναις Διατριβαῖς Ἀρκεσίλαον φόβῳ τῶν Θεοδωρείων τε καὶ Βίωνος τοῦ σοφιστοῦ ἐπεισιόντων τοῖς c

p. 731. 2. ἀφυεῖ] εὐφυεῖ C.F.G. 3. ἐραστὴς F. 5. δὲ τὴν] δὴ τὴν D. 6. θερμουργῷ] θερμουργῶς C.E.F.G.I. θερμουργὸς D. 8. τὰ πανουργ. G. 10. ὁμοθέν γε F. 11. ἔνθεν] ἔνθα D. b. προσρήσεως] προρρήσεως D.I. 3. σκεπτικοὶ] ἐπισκεπτικοὶ C.F.G. 6. ἀναίτια τῶν Πυρρωνείων] An ἂν ἔτι ἀπὸ (vel ὑπὸ) τῶν Πυρρωνείων? c. τε καὶ βίωνος] καὶ δίωνος C.F.G.

versatus, homine comi, nec a rebus amatoriis alieno, eleganti forma, et commoda adhuc ætate cum esset, Crantorem Academicum amatorem nactus, ejus consuetudine usus est ille quidem: cæterum ut erat a natura non ineptus, ea per sese ultro jam currente, facili, et contentionis æstu incitata usus, abs Diodoro quidem veteratorium illud, idemque plausibile ac venustum didicit orationis genus; maxime tamen Pyrrhoni (hunc utcunque Democritus inchoarat) operam dedit: atque hac instructus conformatusque disciplina, in Pyrrhone, si appellationem excipias, tanquam in omnium
5 eversione acquievit. Mnaseas quidem, Philomelus, et Timo sceptici philosophi, scepticum illum vocant sui persimilem, qui perinde ut ipsi veri-
6 tatem, mendacium, ac verisimilitudinem omnem tolleret. Ergo quem Pyrrhonicum Pyrrhonici jure dixissent, is pro sua in amatorem observantia, Academicum se vocari adhuc passus est. Ita qui Pyrrhonicus, excepto nomine, totus erat, idem Academici præter nomen habebat nihil. Neque enim Gnidium illum Dioclem audio, qui in suis, ut eas inscripsit, Diatribis, Arcesilam docet, Theodoreorum ac Bionis sophistæ metu, qui

ΝΟΥΜΗΝΙΟΥ

φιλοσοφοῦσι καὶ οὐδὲν ὀκνούντων ἀπὸ παντὸς ἐλέγχειν, αὐτὸν ἐξευλαβηθέντα, ἵνα μὴ πράγματα ἔχῃ, μηδὲν μὲν δόγμα ὑπειπεῖν φαινόμενον, ὥσπερ δὲ τὸ μέλαν τῆς σηπίας προβαλέσθαι πρὸ ἑαυτοῦ τὴν ἐποχήν. Τοῦτ' οὖν ἐγὼ οὐ πείθομαι.

7 Οἱ δ' οὖν ἔνθεν ἀφορμηθέντες, ὅ τε Ἀρκεσίλαος καὶ Ζήνων, ὑπὸ τῶν τοιούτων ἀρωγῶν, ἀμφοτέροις συμπολεμούντων λόγων, τῆς μὲν ἀρχῆς ὅθεν ἐκ Πολέμωνος ὡρμήθησαν ἐπιλανθάνονται, διαστάντες δέ γε καὶ σφέας αὐτοὺς ἀρτύναντες, d

Σὺν δ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα, καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ
.... ἐδνοπάλιζεν.
Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν p. 732
ὀλλύντων τε καὶ ὀλλυμένων,

8 τῶν Στωϊκῶν· οἱ Ἀκαδημαϊκοὶ γὰρ οὐκ ἐβάλλοντο ὑπ' αὐτῶν, ἀγνοούμενοι ᾗ ἦσαν ἁλῶναι δυνατώτεροι. Ἡλίσκοντο δέ, τῆς

c 2. ἀπὸ] ὑπὸ F. 3. ἐξευλαβ.] ἐξεβλαβ. C.F.G. 4. μηδέν γε] μηδὲν μὲν C.D.F.G.I. ὑπειπεῖν] ἐπειπεῖν C.F.G. 5. γὰρ] δὲ C.F.G. Mox τῆς σιπίας C.G. non τὰς σηπ. 6. προβάλλεσθαι D.F.G. 9. τῶν τοι.] τῶν om. C.F.G.I. ὑπὸ τῶν om. D. 10. τῆς μὲν ἀρχῆς] τὴν μὲν ἀρχὴν C.F.G. 12. δέ γε] γε om. F.G. d 2. καὶ μένε' om. D. 4. χαλκεοθωρήκων ἀτὰρ] χαλκεοθωράκων. αὐτὰρ C.F.G. 8. ἀσπὶς ἄρ' ἐπ' ἀσπίδι ... ἔρειδεν D. ult. ἐδνοπάλ.] ἐδειοπ. C.F. qui mox πέλλεν. Excidisse videntur nonnulla. Il. δ'. 471. οἱ δὲ, λύκοι ὣς, Ἀλλήλοις ἐπόρουσαν, ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιξεν.
p. 732. 2. ἔνθα μ' οἰμω. D. 2. καὶ] τε καὶ C.F.G.

philosophis infesti, nullam non eos coarguendi occasionem arriperent, ita sibi, ne quid ab iis molestiæ pateretur, cavisse, ut nec certi quicquam statueret; nam ut sepias effuso atramento, sic illum sese objecta hac assensionis retentione tegere ac tueri. Verum hoc, ut dixi, minus credo.

7 Cæterum ambo illi Arcesilas et Zeno hinc semel exorti, et suorum quisque sociorum disputationibus tanquam armis opibusque freti, adeoque Polemonis scholam obliti sunt pugnæ suæ tyrocinium fuisse,

Scutaque jam scutis, hastasque et robora ferreæ
Committunt acies, clypeisque sonantibus icti
Densantur clypei : vastus fragor undique surgit.
Vmbonem umbo premit, galeam galea, atque virum vir.
Hic vero crebri gemitus ac vota sequuntur,
Dum perimunt, pereuntque simul.

8 Stoicos intellige; Academicos enim illi non petebant, quod qua parte capi facilius vincique possent, ignorarent. Atqui tum demum vincerentur, si

NOY-
MH-
NIOY

βάσεως αὐτοῖς σεισθείσης, εἰ μήτε ἀρχὴν ἔχοιεν, μήτε μάχεσθαι ἀφορμήν. Ἡ μὲν δὴ ἀρχὴ ἦν τὸ μὴ Πλατωνικὰ λέγοντας αὐτοὺς ἐλέγξαι· τὸ δὲ μὴ δ' ἔχειν τινὰ ἀφορμήν, ἣν εἶπον μόνον ἕν τι μετέστρεψαν ἀπὸ τοῦ ὅρου τοῦ περὶ τῆς
9 καταληπτικῆς φαντασίας ἀφελόντες. Ὅπερ νῦν μὲν οὐκ ἔστι μηνύειν μοι ἐν καιρῷ, μνησθήσομαι δ' αὐτοῦ αὖθις ἐπὰν κατὰ b τοῦτο μάλιστα γενέσθαι μέλλω. Διαστάντες δ' οὖν εἰς τὸ φανερὸν, ἔβαλλον ἀλλήλους οὐχ οἱ δύο, ἀλλ' ὁ Ἀρκεσίλαος τὸν Ζήνωνα. Ὁ γὰρ Ζήνων εἶχε δή τι τῇ μάχῃ σεμνὸν καὶ βαρὺ, καὶ Κηφισοδώρου τοῦ ῥήτορος οὐκ ἄμεινον· ὃς δὴ ὁ Κηφισόδωρος, ἐπειδὴ ὑπ' Ἀριστοτέλους βαλλόμενον ἑαυτῷ τὸν διδάσκαλον Ἰσοκράτην ἑώρα, αὐτοῦ μὲν Ἀριστοτέλους ἦν ἀμαθὴς καὶ ἄπειρος, ὑπὸ δὲ τοῦ καθορᾶν ἔνδοξα τὰ Πλάτωνος ὑπάρχοντα, οἰηθεὶς κατὰ Πλάτωνα τὸν Ἀριστοτέλην φιλοσοφεῖν, ἐπολέμει μὲν Ἀριστοτέλει, ἔβαλλε δὲ Πλά- c τωνα, καὶ κατηγόρει ἀρξάμενος ἀπὸ τῶν ἰδεῶν, τελευτῶν εἰς τὰ ἄλλα, ἃ οὐδ' αὐτὸς ᾔδει, ἀλλὰ τὰ νομιζόμενα ἀμφ' αὐτῶν

a 9. τὸ δὲ μὴ δ'] ἀλλὰ μετασχὼν τὸ μὴ B. τὸ δὲ μηδὲν D. 10. εἶπον] εἴπερ B. Mox μετέτρεψαν D. 11. καταληπτικῆς] καταληπτῆς D. 13. μοι] με C. μὴ F.G. Mox αὖθις om. B. b 2. ἔβαλλον] ἔβαλον C.G. 4. δή τι] δὴ om. B. 5. κοφισιδώρου et mox κοφισόδωρος I. et infra Ἰσοκράτη I. 6. ὃς δὴ] ὃν δὴ C. 9. ἀριστοτέλους] ἀριστο C. 11. φηθεὶς] οἰηθεὶς C. 12. ἐπολέμει μὲν Ἀριστοτέλει] ἐμάχετο μὲν Ἀριστοτέλης B. c. ἔβαλλε] ἔβαλε F.G. καὶ κατηγόρει om. B. 3. αὐτὸς] αὐτὰ B. ἀλλὰ τὰ] ἀλλὰ τὰ μὲν C.F.G. Hinc usque ad ὑπονοῶν om. B. 4. αὐτῶν] αὐτὸν C.

suum illis excuteretur fundamentum, hoc est, si neque principium suum retinerent, nec pugnandi ansam vel occasionem haberent. Ac principium quidem illud convelli poterat, si quis eos adversus Platonis mentem philosophari ostenderet: pugnandi vero ansa tum iis reliqua nulla foret, si vel unum aliquid decreto illi suo detraheretur, quod de phantasiæ comprehen-
9 sione pronuntiant. Verum hujus aperiendæ rei tempus non est; alius erit de ea dicendi locus, in quo mihi diligentius versandum esse decrevi. Palam igitur ambo dissident illi quidem, sed tamen Arcesilas unus Zenonem petit. Habet enim Zenonis pugna speciosum quiddam et grave, nec multum sane Cephisodori rhetoris dimicationi præstat. Hic enim cum Isocratem præceptorem suum ab Aristotele vexari animadverteret, in Aristotelica doctrina plane hospes ac peregrinus quod esset, idemque magnam esse Platonicæ famam ac celebritatem videret, Aristotelem cum Platone sentire ratus, bellum gerebat cum Aristotele, Platonem ipsum feriebat, reprehensionemque suam ab ideis arcessitam, ad alia denique perducebat, quæ nihilo caperet ipse magis, sed tantum quæ reapse de illis statuebantur,

NOYMHNIOY

10 ᾗ λέγεται ὑπονοῶν. Πλὴν οὗτος μὲν ὁ Κηφισόδωρος, ᾧ
ἐπολέμει μὴ μαχόμενος, ἐμάχετο ᾧ μὴ πολεμεῖν ἐβούλετο.
Ὁ μέντοι Ζήνων καὶ αὐτὸς, ἐπειδὴ τοῦ Ἀρκεσιλάου μεθίετο,
εἰ μὲν μηδὲ Πλάτωνι ἐπολέμει, ἐφιλοσόφει δήπου ἐμοὶ κριτῇ
πλείστου ἀξίως, ἕνεκά γε τῆς εἰρήνης ταύτης. Εἰ δ' οὐκ
ἀγνοῶν μὲν ἴσως τὰ Ἀρκεσιλάου, τὰ μέντοι Πλάτωνος
ἀγνοῶν, ὡς ἐξ ὧν αὐτῷ ἀντέγραψεν ἐλέγχεται, ὅτι ἐποίησεν d
ἐναντία καὐτὸς, μήτε ὃν ᾔδει πλήττων, ὅν τε οὐκ ἐχρῆν ἀτι-
μότατα καὶ αἴσχιστα περιυβρικὼς, καὶ ταῦτα πολὺ κάκιον
11 ἢ προσήκει κυνί. Πλὴν διέδειξέ γε[μὴν] μεγαλοφροσύνῃ
ἀποσχόμενος τοῦ Ἀρκεσιλάου. Ἤτοι γὰρ ἀγνοίᾳ τῶν
ἐκείνου, ἢ δέει τῶν Στωϊκῶν,

πολέμοιο μέγα στόμα πευκεδανοῖο H. 10, 8

ἀπετρέψατο ἄλλῃ εἰς Πλάτωνα. Ἀλλὰ καὶ περὶ μὲν τῶν
Ζήνωνι εἰς Πλάτωνα κακῶς τε καὶ αἰδημόνως οὐδαμῶς νεωτε-
ρισθέντων εἰρήσεταί μοι αὖθίς ποτε, ἐὰν φιλοσοφίας σχολὴν p. 733
ἀγάγω. Μή ποτε μέντοι ἀγάγοιμι σχολήν [ποτε] τοσαύ-

d 4. ὑπονοῶν] ὑπονοιῶν F.G. 9. ἐμοὶ κριτῇ πλείστου om. B. item ἕνεκα—εἰ δ'. 10. εἰρημένης] εἰρήνης C.F.G.I. οὐκ ἀγνοῶν] οὐδ' ἀ. B. ἀγνοῶ C.F.G. 12. ὡς ἐξ et αὐτῷ om. B. ἀνέγραψεν] ἀντέγραψεν B.C. D.F.G. d. ὅτι ἐποίησεν] ποιήσας B. qui om. κἂν αὐτός. 2. ᾔδει] ᾔδη D. ἀτιμότατα] ἀτίμως B. qui om. καὶ αἴσχιστα et mox om. καὶ ταῦτα—Πλάτωνα. 4. προσήκει] προσῆκε C.F.G. διέδειξε] δ' ἔδειξε C.F.G. qui mox om. μήν. 8. ἀπετρέψατο] ἀπεστρέψατο D.F.G. Mox τὸν Πλάτ. D. 9. καὶ περὶ μὲν] τε μὲν C. 10. αἰδήμως D.

p. 733. ἀγάγω] ἄγω B. ποτε om. B.D. Mox τούτων—usque ad fin. cap. om. B.

10 ex verbis ac vocibus æstimaret. Cæterum omissa cum eo pugna quem bello appetierat, pugnabat cum eo cui bellum inferre nolebat. Zenonem quod attinet, is ubi similiter Arcesilam reliquerat, si ne Platoni quidem ipsi bellum intulisset, egregie meo judicio philosophatus esset, pacis hujus caussa certe quidem. Sin autem, nec ea fortassis ignorans quæ docebat Arcesilas, et Platonicæ contra doctrinæ rudis, ut ex iis quæ Platoni adscribit, facile deprehenditur, hoc belli genus suscepit, secus profecto quam par erat fecit ipse quoque, dum nec hominem sibi notum vulneravit, et quem minime decuerat, eum indignissime ac turpissime, adeoque longe
11 fœdius quam vel cani conveniret, contumeliis violavit. Cæterum magnitudine quadam animi abstinere se ab Arcesila declaravit. Nam seu quod hominis sensum ignoraret, seu quod Stoicos vereretur, *Trucis ora ingentia belli,* alio, hoc est in Platonem, vertit. Sed enim de iis quæ perperam ac sine ullo verecundiæ sensu Platonem Zeno molitus est tum agam uberius, cum a philosophia vacavero: quanquam absit omnino, tantum unquam ab

(However he certainly showed a high spirit in his disregard of Arcesilaus: for either through ignorance of his doctrine or through fear of the Stoics, he turned aside "the mighty jaws of bitter war" against Plato
ed. Gifford Oxford 1903

NOY-MH-NIOY

12 την, τούτου οὖν ἕνεκεν, εἰ μὴ ὑπὸ παιδιᾶς. Τὸν δ' οὖν Ζήνωνα ὁ Ἀρκεσίλαος ἀντίτεχνον καὶ ἀξιόνικον ὑπάρχοντα θεωρῶν τοὺς παρ' ἐκείνου ἀποφερομένους λόγους καθῄρει, καὶ

13 οὐδὲν ὤκνει. Καὶ περὶ μὲν τῶν ἄλλων ἃ ἐμεμάχητο ἐκείνῳ οὔτ' ἴσως εἰπεῖν ἔχω, εἴτε καὶ εἶχον, οὐδὲν ἔδει νῦν αὐτῶν

[428] μνησθῆναι· τὸ δὲ δόγμα τοῦτο αὐτοῦ πρώτου εὑρομένου, καὐτὸ καὶ τὸ ὄνομα βλέπων εὐδοκιμοῦν ἐν ταῖς Ἀθήναις, τὴν καταληπτικὴν φαντασίαν, πάσῃ μηχανῇ ἐχρῆτο ἐπ' αὐτήν. b

Ὁ δ' ἐν τῷ ἀσθενεστέρῳ ὤν, ἡσυχίαν ἄγων, οὐ δυνάμενος ἀδικεῖσθαι, Ἀρκεσιλάῳ μὲν ἀφίετο, πολλὰ ἂν εἰπεῖν ἔχων, ἀλλ' οὐκ ἤθελε, τάχα δὲ μᾶλλον ἄλλως, πρὸς δὲ τὸν οὐκέτι ἐν ζῶσιν ὄντα Πλάτωνα ἐσκιαμάχει, καὶ τὴν ἀπὸ ἁμάξης πομπείαν πᾶσαν κατεθορύβει, λέγων ὡς οὔτ' ἂν τοῦ Πλάτωνος ἀμυνομένου, ὑπερδικεῖν τε αὐτοῦ ἄλλῳ οὐδενὶ μέλον· εἴτε μελήσειεν Ἀρκεσιλάῳ, αὐτός γε κερδανεῖν ᾤετο ἀποτρεψάμενος ἀφ' ἑαυτοῦ τὸν Ἀρκεσίλαον. Τοῦτο δὲ ἤδη καὶ c

Ἀγαθοκλέα τὸν Συρακούσιον ποιήσαντα τὸ σόφισμα ἐπὶ

a 2. τούτων] τούτου D.F.G.I. 3. γοῦν] οὖν C.E.F.G.I. εἰ μὴ] εἰκῇ C.F.G. 4. Ζήνωνος F. 7. περὶ μὲν οὖν] καὶ περὶ C.F.G οὖν om. I. 9. αὐτῶν om. C. 11. καὐτὸ καὶ τὸ ὄνομα F.G.I. καὶ om. edd. b 3. ἡσυχίαν] καὶ ἡ. C.F.G. 4. Ἀρκεσιλάῳ] Ἀρκεσιλάου Wyttenbach. ad Plutarch. p. 190 a. qui h. l. ibidem interpretatus est. 7. ἐσκιαμ.] ἐσκιομ. C.F.G.I. ἐσκομ. D. 9. ἀμυνομένου] ἀμυναμένου C.F.G.I. 10. μέλλον D. c 2. Συρακόσιον I. Supra posui ἤδη pro ἦδε cum interprete.

ea vacem, hoc ut argumenti genus aliter quam joco tractandum suscipiam.

12 Nunc ut redeam ad Arcesilam, is Zenonem et artis contrariæ professorem, et sua dignum victoria cum videret, hominis disputationes convellebat, sui

13 plane securus. Ac cætera quidem omnia, de quibus cum eo contendebat, nec fortasse possim, nec ut possim, nunc certe complecti oporteat. At decretum illud, cujus ipse princeps auctor erat, quodque celebri tum nomine Athenis jactari videbat, illam inquam comprehendendi vim, quam phantasiæ tribuebat Zeno, machinis sibi omnibus petendam, et concutiendam putavit. Alter interea adversus infirmiorem, quasi nihil ab eo lædi posset, movebat nihil: idem tamen misso Arcesila, in quem multa dicere potuisset, (seu hominem urgere nollet, seu quid aliud sequeretur,) cum Platone ipso, qui vivere jam desierat, sic tanquam in umbra pugnabat. Et vero nihil non conviciorum in eum, quasi e plaustro, promiscue tumultuarieque jactavit, nimirum quod nec reponere Plato jam posset, nec alium quenquam ejus caussa laboraturum putaret; aut si forte laboraret Arcesilas, in lucro tamen poneret, sic a suis eum cervicibus esse depulsum. Quo quidem artificii genere Agathoclem Syracusium adversus Carthaginienses usum

ΝΟΥΜΗΝΙΟΥ

14 τοὺς Καρχηδονίους. Οἱ Στωϊκοὶ δὲ ὑπήκουον ἐκπεπληγμένοι. Ἡ μοῦσα γὰρ αὐτοῖς οὐδὲ τότε ἦν φιλολόγος οὐδ' ἐργάτις χαρίτων, ὑφ' ὧν ὁ Ἀρκεσίλαος τὰ μὲν περικρούων, τὰ δὲ ὑποτέμνων, ἄλλα δ' ὑποσκελίζων, κατεγλωττίζετο αὐτούς, καὶ πιθανὸς ἦν. Τοιγαροῦν πρὸς οὓς μὲν ἀντέλεγεν ἡττωμένων, ἐν οἷς δὲ λέγων ἦν καταπεπληγμένων, δεδειγμένον πως τοῖς τότε ἀνθρώποις ὑπῆρχε μηδὲν εἶναι μήτ' οὖν ἔπος, μήτε d πάθος, μήτε ἔργον ἓν βραχὺ, μηδὲ ἄχρηστον τοὐναντίον ὀφθῆναί ποτ' ἂν, εἴ τι μὴ Ἀρκεσιλάῳ δοκεῖ τῷ Πιταναίῳ· τῷ δ' ἄρα οὐδὲν ἐδόκει οὐδ' ἀπεφαίνετο οὐδὲν μᾶλλον ἢ ῥηματίσκια ταῦτ' εἶναι καὶ φόβους.

7 Περὶ δὲ Λακύδου βούλομαί τι διηγήσασθαι ἡδύ. Ἦν μὲν p. 734 δὴ Λακύδης ὑπογλισχρότερος, καί τινα τρόπον ὁ λεγόμενος οἰκονομικὸς, οὗτος ὁ εὐδοκιμῶν παρὰ τοῖς πολλοῖς, αὐτὸς μὲν b ἀνοιγνὺς τὸ ταμεῖον, αὐτὸς δ' ἀποκλείων. Καὶ προῃρεῖτο δὲ ὧν ἐδεῖτο, καὶ ἄλλα τοιαῦτα ἐποίει πάντα δι' αὐτουργίας, οὔ τι που αὐτάρκειαν ἐπαινῶν, οὐδ' ἄλλως πενίᾳ χρώμενος, οὐδ'

c 3. ὑπήκουον] ἐπήκουον C. 4. ἡ μοῦσα] ἁ μ. C.F.G.I. Mox ἐργάτης C. ἄμουσα D. Locus e Pindarico adumbratus Isthm. 2, 10. ἁ μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις. 6. περικρούων] περικρίνων C. περικρόνων F. 11. καταπεπλημένων F.

p. 734. 5. περὶ δὲ] δὲ om. C. 6. ὑπογλισχρότερος] ὑπὸ γλισχρότητος C. ὑπογλισχρότατος F. 7. ὁ λεγ.] ὁ om. B. b 3. ἀποκλείων] ὑποκλείων B.

14 esse norat. Atque hæc Stoici cum stupore audiebant. Erat enim adhuc infans eorum musa, nec illarum facetiarum artifex, quibus Arcesilas Zenonis argumenta partim explodens, partim succidens, partim supplantans, sic eos linguæ vi obruebat, ut fidem etiam aliis faceret. Ita, cum et ii quibuscum oratione pugnabat, victi atque prostrati, et ii quorum in corona dicebat, perculsi attonitique manerent: quasi pro comperto erat ejusdem ætatis hominibus, nec vocem, nec malum, nec opus ullum vel minimum, quicquam esse, nec inane frivolumque contra visum iri quicquam, nisi quod Arcesilæ Pitanæo tale videretur. Ei porro nihil plane videbatur, nec aliud quicquam omnino magis, quam hæc voculas tantum aliquas, ac terrores esse declarabat.

7 Jam vero, de Lacyde, inquit, facetum quiddam ac lepidum narrare statui. Erat is paulo sordidior, atque ejusmodi qui œconomicus ille vulgo notissimus jure diceretur. Aperiebat idem penum, idemque claudebat: promebat ipse quibus uti vellet, cæteraque id genus omnia per sese factitabat: non frugalitatis ac temperantiæ studio, non coactus inopia, non penuria ser-

ΝΟΥΜΗΝΙΟΥ

ἀπορίᾳ δούλων, ᾧ γε ὑπῆρχον δοῦλοι ὁπόσοι γοῦν· τὴν δὲ
2 αἰτίαν ἔξεστιν εἰκάζειν. Ἐγὼ δὲ ὃ ὑπεσχόμην τὸ ἡδὺ, διη-
γήσομαι. Ταμιεύων γὰρ αὐτὸς ἑαυτῷ τὴν μὲν κλεῖδα περι-
φέρειν ἐφ' ἑαυτοῦ οὐκ ᾤετο δεῖν, ἀποκλείσας δὲ κατετίθει μὲν
ταύτην εἴς τι κοῖλον γραμματεῖον· σημηνάμενος δὲ δακτυλίῳ c
τὸν μὲν δακτύλιον κατεκύλιε διὰ τοῦ κλείθρου ἔσω εἰς τὸν
οἶκον μεθιεὶς, ὥσθ' ὕστερον ἐπειδὴ πάλιν ἐλθὼν ἀνοίξειε τῇ
κλειδὶ δυνησόμενος ἀνελὼν τὸν δακτύλιον, αὖθις μὲν ἀπο-
κλείειν, εἶτα δὲ σημαίνεσθαι, εἶτα δ' ἀναβάλλειν ὀπίσω πάλιν
3 ἔσω τὸν δακτύλιον διὰ τοῦ κλείθρου. Τοῦτο οὖν τὸ σοφὸν
οἱ δοῦλοι κατανοήσαντες, ἐπειδὴ προΐοι Λακύδης εἰς περίπα-
τον ἢ ὅποι ἄλλοσε, καὶ αὐτοὶ ἀνοίξαντες ἂν, κἄπειτα ὡς
σφίσιν ἦν θυμὸς, τὰ μὲν φαγόντες, τὰ δ' ἐμπιόντες, ἄλλα δὲ
ἀράμενοι, ἐκ περιόδου ταῦτα ἐποίουν, ἀπέκλειον μὲν ἐσημαί-
νοντο δὲ, καὶ τὸν δακτύλιον πολλά γε αὐτοῦ καταγελάσαντες d
4 εἰς τὸν οἶκον διὰ τοῦ κλείθρου ἠφίεσαν. Ὁ οὖν Λακύδης
πλήρη μὲν καταλιπὼν κενὰ δὲ εὑρισκόμενος τὰ σκεύη, ἀπορῶν

b 7. τὴν—εἰκάζειν om. B. 8. τὸ ἡδὺ om. B. 9. γὰρ αὐτὸς] γὰρ om. B. ἑαυτὸς C.F.G. Mox τὸν μὲν I. 10. ἐφ' ἑαυτοῦ] ὑφ' ἑαυτοῦ C. 11. εἴς τι] ὥς τι F.G. c. τὸν μὲν] μὲν om. B. qui mox κατέκλεις. 3. ὥς θ'] ὡς δ' B.C.F.G.I. ὕστερον—πάλιν om. B. 9. ὅποι] ὅπη C.F.G. 10. ὡς σφίσιν] ὥσφιν B.C.F. ὡς σφῦν I. 11. ἐμπιόντες] ἐνπ. B. 12. ἐποίουν om. C. 13. ἀπέκλειον] καὶ ἀπ. B. δὲ καὶ] καὶ om. B.C.F.G.I. δὲ καὶ om. D. d. πολλά γε] πολλά τε B.C.D.E.F.G. 2. Λακύδης οὖν] οὖν Λακ. B.C.D.F.G.I. 3. εὑρισκόμενος] εὑρίσκων B. εὑρισκόμενα C.D.F.G.

vorum laborans, qui aliquot saltem aleret: sed caussam pro arbitrio quisque
2 conjiciat. Ego lepidum illud commemorabo quod promisi. Cum igitur
suam ipse sibi penum curaret, nec secum ejus clavim circumferre vellet,
eam ubi cellam clauserat, cava quadam in arcula deponebat. Tum aditu
obsignato, annulum per seræ foramen demissum intra cellam evolvebat: ut
ea rursus cum liberet clavi reserata, obvium annulum tollere, atque ita locum
denuo cum obserare, tum etiam obsignare posset, annulumque simul per
3 eandem seram rursus immittere. At famuli detecto heri artificio, postquam
is aut inambulatum, aut alio quovis ierat, cella facile reserata, ubi prout
collibuerat, alia vel edendo vel potando hausissent, alia secum ipsi aspor-
tassent, eadem vicissim factitantes, cellam primo claudebant, tum obsigna-
bant, intro denique annulum non sine maximo in philosophum risu, per
4 seræ foramen immittebant. At Lacydes cum cellæ vasa quæ plena reli-
querat, vacua reperiret, anceps ac dubius animi diu pependit: tandemque

ΝΟΥΜΗΝΙΟΥ

τῷ γιγνομένῳ, ἐπειδὴ ἤκουσε φιλοσοφεῖσθαι παρὰ τῷ Ἀρκεσιλάῳ τὴν ἀκαταληψίαν, ᾤετο τοῦτο ἐκεῖνο αὐτῷ συμβαίνειν περὶ τὸ ταμεῖον. Ἀρξάμενός τε ἔνθεν ἐφιλοσόφει παρὰ τῷ Ἀρκεσιλάῳ, μηδὲν μήτε ὁρᾶν μήτε ἀκούειν ἐναργὲς ἢ ὑγιές· καί ποτε ἐπισπασάμενος τῶν προσομιλούντων αὐτῷ τινὰ εἰς τὴν οἰκίαν ἰσχυρίζετο πρὸς αὐτὸν ὑπερφυῶς, ὡς ἐδόκει, τὴν [429] ἐποχὴν, καὶ ἔφη, Τοῦτο μὲν ἀναμφίλεκτον ἐγώ σοι ἔχω φράσαι, αὐτὸς ἀπ' ἐμαυτοῦ μαθὼν οὐκ ἄλλου πειραθείς.
5 Κἄπειτα ἀρξάμενος περιηγεῖτο τὴν ὅλην τοῦ ταμείου συμ- p. 735
βᾶσαν αὐτῷ πάθην. Τί οὖν ἄν, εἶπεν, ἔτι Ζήνων λέγοι πρὸς οὕτως ὁμολογουμένην διὰ πάντων φανεράν μοι ἐν τοῖς τοιοῖσδε ἀκαταληψίαν; Ὃς γὰρ ἀπέκλεισα μὲν ταῖς ἐμαυτοῦ χερσὶν, αὐτὸς δὲ ἐσημηνάμην, αὐτὸς δὲ ἀφῆκα μὲν εἴσω τὸν δακτύλιον, αὖθις δ' ἐλθὼν ἀνοίξας, τὸν μὲν δακτύλιον ὁρῶ ἔνδον οὐ μέντοι καὶ τὰ ἄλλα, πῶς οὐ δικαίως ἀπιστούντως τοῖς πράγμασιν ἕξω; Οὐ γὰρ τολμήσω εἰπεῖν ἔγωγε ἐλθόντα τινὰ b
6 κλέψαι ταῦτα, ὑπάρχοντος ἔνδον τοῦ δακτυλίου. Καὶ ὃς

d 4. ἤκουε] ἤκουσε B.C.D.F.G.I. 6. τοῦτο αὐτὸ ἐκεῖνο αὐτῷ om. D. 7. ἀρξάμενος] ἀρξάμενοι C.F. Supra περὶ τῷ D. 10. προσομιλούντων] προσομιλοῦντα B. 11. τινα om. B. οἰκίαν C.F. pro οἰκείαν. ult. ἐγώ σοι om. B. ἀπ' ἐμαυτοῦ] ἐπ' ἐμ. B.C.D.F.G.

p. 735. κἄπειτα] καὶ B. περιηγεῖτο] διηγεῖται B. 2. συμβᾶσαν] πᾶσαν C.D.F.G.I. Mox τί οὖν—κενοδοξίαν om. B. 8. ἐλθὼν] δ' ἀνελθὼν D. 10. ἀπιστούντως] ἀπιστοῦντος D. 11. τολμήσω] που φήσω C.D.F.G. πω φήσω I. Mox τοι post ἔγωγε C.F.G. τι D.I. b 2. καὶ ὃς] ἴσ. ὁ Vigeri margo.

percipi comprehendique nihil, ab Arcesila doceri cum audiisset, id ipsum esse credidit, quod in sua sibi penu usu veniebat. His ille auspiciis apud Arcesilam philosophari cœpit, nihil se vel perspicui, vel sani, nec videre unquam, nec audire. Cumque aliquando e suis unum privatim ac familiariter seduxisset, hanc ei assensionis retentionem, graviter, ut videbatur, ac vehementer confirmare cœpit. Enimvero, inquiebat, hoc tibi citra dubitationem ullam pronuntiare possum, quod exemplo ipse meo, non alterius
5 cujusquam experientia didicerim. Tum ab initio totum illum penus suæ casum exponebat. Quid igitur, inquiebat, huic argumento responderet Zeno, unde mihi certo ac tam aperte constitit, percipi nihil comprehendique posse? Nam qui posteaquam manibus ipse meis cellam idem clausi, idem obsignavi, idem annulum intro misi, reversus inde, cellaque reserata, intus annulum modo, non item cætera reperiam, non jure obsecro fidem omnem rebus detraham? Nec enim profecto ausim dicere, quenquam intro sub-
6 euntem ea suffurari, cum intus annulum offendam meum. Hic auditor

ΝΟΥΜΗΝΙΟΥ

ἀκούων, ἦν γὰρ ὑβριστὴς, ἐκδεξάμενος τὸ πᾶν ὡς ἔσχεν ἀκοῦσαι, μόλις καὶ πρότερον ἑαυτοῦ κρατῶν, ἀπέρρηξε γέλωτα καὶ μάλα πλατὺν, γελῶν τε ἔτι καὶ καγχάζων διήλεγχεν ἅμα αὐτοῦ τὴν κενοδοξίαν. Ὥστε ἔκτοτε Λακύδης ἀρξάμενος, οὐκέτι μὲν τὸν δακτύλιον ἔσω ἐνέβαλλεν, οὐκέτι δὲ τοῦ ταμείου ἐχρῆτο ἀκαταληψίᾳ, ἀλλὰ κατελάμβανε τὰ ἀφει-
7 μένα, καὶ μάτην ἐπεφιλοσοφήκει. Οὐ μέντοι ἀλλὰ οἵ γε παῖδες φόρτακες ἦσαν, καὶ οὐ θατέρᾳ ληπτοὶ, οἷοι δὲ οὗτοι c οἱ κωμῳδικοί τε, καὶ Γέται, καὶ Δακοὶ, κὰκ τῆς Δακικῆς λαλεῖν στωμυλήθρας κατεγλωττισμένοι, ἐπεί τε τοῖς Στωϊκοῖς τὰ σοφίσματα ἤκουσαν, εἴτε καὶ ἄλλως ἐκμαθόντες, εὐθὺ τοῦ τολμήματος ᾔεσαν, καὶ παρελύοντο αὐτοῦ τὴν σφραγῖδα, καὶ τοτὲ μὲν ἑτέραν ἀντ' ἐκείνης ὑπετίθεσαν, τοτὲ δὲ οὐδὲ ἄλλην, διὰ τὸ οἴεσθαι ἐκείνῳ γε ἀκατάληπτα ἔσεσθαι, καὶ
8 οὕτω, καὶ ἄλλως. Ὁ δὲ εἰσελθὼν ἐσκοπεῖτο· ἀσήμαντον δὲ τὸ γραμματεῖον θεωρῶν, ἢ σεσημασμένον μὲν σφραγῖδι δ'

b 5. *μάλιστα*] *μάλα* C.F.G.I. 8. *ἐνέβαλλεν*] *ἐνέβαλεν* C.F.G. Mox *ταμίου* B. 11. *οὐ μέντοι—καὶ ὁ Λακύδης* om. B. *οἵ γε*] *οἵ τε* C.D.F.G.I. 12. *θάτερα*] *θατέρᾳ*. Ita leg. Euseb. Demonstr. lib. 4. p. 129. Suidas v. *Ἐκκείμεθα*. Toup. c. *Γέται τε καὶ* F.G.I. De h. l. vid. Meineke fr. Menand. inc. DXIII. Com. T. IV. p. 333. qui delet *τε καὶ* ante *Γέται*. 3. *εἴτε τινὸς στωϊκοῦ*] *ἐπί τε τοῖς στωικοῖς* C.F.G. *ἐπεί τε τοῖς Στωϊκοῖς* D.E.I. 4. *ἀκούσαντες*] *ἤκουσαν* C.E.F.G.I. *ἤκουσεν* D. 5. *εὐθὺ τοῦ*] *εὐθὺς τοῦτο* D. *εὐθὺς τοῦ* F.G.I. 9. *οὐκ ἄλλως*] *οὐκ* om. C.F.G.I. *ἴσ.* del. Vigeri margo. *καὶ οὐκ* om. D. 10. *ἀπήμαντον*] *ἀσήμαντον* C.I. Viger. 11. *γραμματεῖον*] *ἴσ. ταμεῖον* Vigeri margo. Sed v. p. 734 c.

ille, unus enim erat ex furibus, ubi rem totam ut poterat narrantis ex ore audiisset, qui ægre admodum eatenus sese tenuerat, ingentem subito erupit in risum, cui dum indulget intemperantius, stolidam simul hominis opinionem coarguit. Itaque Lacydes in posterum nec annulum transmisit in cellam, nec suæ penus exemplo percipiendi vim amplius negavit, sed quæ adhuc negligentius habuerat, omnino comprehendit. Adeo suam novo in
7 philosophiæ genere operam luserat. Sed nimirum servos habebat oris in risu durioris, quique neutram in partem facile caperentur: quales utique isti comœdiarum servuli sunt, Getæ, atque Daci. Ergo hi lingua ut erant ad Dacicam illam jocandi ridendique procacitatem erudita ac procusa, sive Stoici cujusdam argutias audiissent, sive aliunde hoc didicissent, recta facinus aggressi, impressum ab eo sigillum ita revellebant, ut interdum alterum quoddam ejus in locum sufficerent, sæpe nullum; quod utrumvis
8 factum esset, perinde rem ab eo nunquam perceptum iri existimarent. At ille domum ingressus, locumque diligenter inspiciens, si aut resignatum, aut secus obsignatum videret, servis enimvero graviter succensebat.

NOY-
MH-
NIOY

ἄλλῃ, ἠγανάκτει· τῶν δὲ σεσημάνθαι λεγόντων, αὐτοῖς γοῦν d
τὴν σφραγῖδα ὁρᾶσθαι τὴν αὐτοῦ, ἠκριβολογεῖτο ἂν, καὶ
ἀπεδείκνυε· τῶν δ' ἡττωμένων τῇ ἀποδείξει, καὶ φαμένων εἰ
μή τι ἔπεστιν ἡ σφραγὶς αὐτὸν ἴσως ἐπιλελῆσθαι καὶ μὴ
σημήνασθαι· καὶ μὴν αὐτός γε ἔφη σημηνάμενος μνημονεύειν,
καὶ ἀπεδείκνυε, καὶ περιῄει τῷ λόγῳ, καὶ ἐδεινολογεῖτο πρὸς
9 αὐτούς, οἰόμενος παίζεσθαι, καὶ προσώμνυεν. Οἱ δ' ὑπολα-
βόντες τὰς προσβολὰς ἐκείνου, αὐτοί γε ᾤοντο ὑπ' αὐτοῦ
παίζεσθαι· ἐπεὶ σοφῷ γε ὄντι δεδόχθαι τῷ Λακύδῃ εἶναι
ἀδοξάστῳ ὥστε καὶ ἀμνημονεύτῳ· μνήμην γὰρ εἶναι δόξαν·
ἔναγχος γοῦν τοῦ χρόνου ἔφασαν ἀκοῦσαι ταῦτα αὐτοῦ πρὸς p. 736
10 τοὺς φίλους. Τοῦ δ' ἀναστρέφοντος αὐτοῖς τὰς ἐπιχειρήσεις
καὶ λέγοντος οὐκ Ἀκαδημαϊκά, αὐτοὶ φοιτῶντες εἰς Στωϊκῶν
τινὸς τὰ λεκτέα ἑαυτοῖς ἀνεμάνθανον, κἀκεῖθεν ἀρξάμενοι
ἀντεσοφίστευον, καὶ ἦσαν ἀντίτεχνοι κλέπται Ἀκαδημαϊκοί·
ὁ δὲ Στωϊκοῖς ἐνεκάλει· οἱ παῖδες δὲ τὰ ἐγκλήματα παρέλυον
11 αὐτῷ ὑπὸ ἀκαταληψίας οὐκ ἄνευ τωθασμῶν τινῶν. Δια-
τριβαὶ οὖν ἦσαν πάντων ἐκεῖ, καὶ λόγοι, καὶ ἀντιλογίαι· καὶ

d 2. αὐτοῦ] αὐτὴν D.F.G. ἂν ἴσ. del. Vigeri marg. 3. καὶ φαμ.] καὶ om. F.G.I. 4. αὐτὸν] αὐτῶν D. 5. ναὶ—τε] καὶ—γε C. F.G. καὶ item I. 10. αὐτοὶ] αὐτῇ D. ult. γὰρ] δὲ D.
p. 736. 2. αὐτοῖς] αὐτοῦ F.G. 7. Στωϊκοῖς] Στωϊκὸς E.F.G.I. ἐνεκάλει] ἀνεκάλει D. 10. πάντων] πάντ' C.F.G.

Quibus sigillum integrum esse defendentibus, contra ille disputabat accurate, ac demonstratione rem conficiebat. Qua victi servi, cum exciperent, si non extaret sigillum, ab eo fortassis oblivione quadam obsignatum locum non fuisse. Imo, inquiebat, eum obsignare me oppido memini, simulque rem longa oratione demonstrabat, ac sese illudi sentiens, interposito etiam
9 jurejurando vehementius exaggerabat. Quos hominis impetus ita excipiebant, ut eum etiam jocari secum ac ludere sibi persuaderent, ex quo sapienti Lacydi visum esset, nihil sibi nec opinionis relinquere, nec memoriæ: memoriam quippe opinionem quandam esse; id, se quidem audientibus, ab
10 eo nuper quibusdam ex amicis confirmatum fuisse. Has ille petitiones cum ita refutaret, ut alia quam Academici soleant omnia reponeret, servi Stoicum aliquem adeuntes, quid sibi dicendum foret ex eo discebant: atque inde orsi, argutias argutiis eludere, artique artem opponendo vere Academicos se fures probare: ac tum ipse quidem incessere Stoicos, servi contra ejus reprehensiones neganda comprehensione omni dissolvere, atque id, ut
11 par erat, non sine risu ac salibus. Ibi ergo disputationes omnium, argumenta, verborumque pugnæ: cum nihil interea relinqueretur, non vas, non

ἐν οὐδὲν ἐν τῷ μέσῳ κατελείπετο, οὐκ ἀγγεῖον, οὐ τῶν ἐν b
ἀγγείῳ τιθεμένων, οὐχ ὅσα εἰς οἰκίας κατασκευὴν ἄλλ' ἔστι
12 συντελῆ. Καὶ ὁ Λακύδης τέως μὲν ἠπόρει, μήτε λυσιτελοῦσαν ἑαυτῷ θεωρῶν τὴν τοῖς ἑαυτοῦ δόγμασι βοήθειαν, εἴτε μὴ ἐξελέγχοι πάντα ἀνατρέψεσθαι ἑαυτῷ δοκῶν, πεσὼν εἰς τἀμήχανον, τοὺς γείτονας ἐκεκράγει, καὶ τοὺς θεούς· καὶ ἰοὺ ἰού, καὶ φεῦ φεῦ, καὶ νὴ τοὺς θεούς, καὶ νὴ τὰς θεάς, ἄλλαι τε ὅσαι ἐν ἀπιστίαις δεινολογουμένων εἰσὶν ἄτεχνοι πίστεις,
13 ταῦτα πάντα ἐλέγετο βοῇ καὶ ἀξιοπιστίᾳ. Τελευτῶν δέ, c
ἐπεὶ μάχην εἶχεν ἀντιλεγομένην ἐπὶ τῆς οἰκίας, αὐτὸς μὲν ἂν δήπουθεν ἐστωϊκεύετο πρὸς τοὺς παῖδας, τῶν παίδων δὲ τὰ Ἀκαδημαϊκὰ ἰσχυριζομένων, ἵνα μηκέτι πράγματα ἔχοιεν
[430] οἰκουρὸς ἦν φίλος τοῦ ταμείου προκαθήμενος. Οὐδὲν δὲ εἰς οὐδὲν ὠφελῶν, ὑπειδόμενος οἷ τὸ σοφὸν αὐτῷ ἔρχεται, ἀπεκαλύψατο. Ἄλλως, ἔφη, ταῦτα, ὦ παῖδες, ἐν ταῖς διατριβαῖς λέγεται ἡμῖν, ἄλλως δὲ ζῶμεν.

NOY-
MH-
NIOY

b 2. οἰκείας F. 3. ἔτι] ἔστι C.D.E.G.I. Frustra h. l. emendare conatus est Wyttenbach. ad Plutarch. p. 96 a. 4. τέως] καὶ τέως B. ἠπόρει] ἠποίει I. μήτι] μήτε B.C.D.E.F.I. 5. τὴν τοῦ—δόγματος] τοῖς—δόγμασι B.C.D. τοῦ om. Viger. τὴν τοῖς—δόγμασι F.G. τὴν τοῖς I. 6. εἶτα—ἐξελέγξαι] εἴτε—ἐξελέγχοι B.C.E.F.G.I. ἐξελέγχειν D. ἀνατρέψαι τε] ἀνατρέψασθαι B. ἀνατρέψεσθαι C.E.F.G.I. ἀναστρέψασθαι D. 8. καὶ ἰοὺ] καὶ om. B. sed add. post φεῦ pr. 11. ταῦτα πάντα—Λακύδου om. B. c. καὶ ἀξ.] ἅμα καὶ ἀξ. F.G. 2. ἀντιλεγομένην] ἀντιλεγομένους C.F.G. 3. οἰκίας] οἰκείας D. 6. ἔχοι οἰκουρὸς] ἔχοιεν οὐκηρὸς C.F.G. ἔχοιεν ὁ. D.E.I. 7. προκαθήμενος] προσκαθημένους F.G. προσκαθήμενος G.

quicquam eorum quæ recondebantur in vasis, non aliud quidlibet, quod
12 domesticam ad supellectilem pertineret. Ergo Lacydes æstuare, qui nihil omnino subsidii in dogmatis sui defensione reperiret: mox reputans ipse secum, ni furtum deprehenderet, cuncta sibi deinceps pessum itura, tandem inops consilii vicinos inclamare, appellare deos: sæpe hei mihi, pro facinus indignum, per deos deasque omnes ingeminare, ac cætera id genus argumenta quæ homini gravioribus in querelis, ubi fidem non impetrat, sine arte natura suppeditat. Quæ quidem omnia magno clamore deplo-
13 rata, magnam utique probabilitatis speciem ostendebant. Postremo hac in contentione pugnaque domestica, Stoicum apud servos agebat ille quidem: at cum ipsi Academica dogmata strenue constanterque defenderent, ne quid ultra molestiæ pateretur, domi deinceps hærebat perpetuo, ac pro cellæ suæ foribus assidebat. Verum ubi nihil agit, secum ipse cogitans, quo sua sibi versutia recideret: tandem animi sensum palam ac sine fuco aperiens, Nimirum, inquit, famuli, aliter hæc in schola disputamus, aliter vivimus.

ΝΟΥΜΗΝΙΟΥ

14 Ταῦτα μὲν καὶ περὶ τοῦ Λακύδου. Τούτου δὲ γίνονται ἀκουσταὶ πολλοὶ, ὧν εἷς ἦν διαφανὴς ὁ Κυρηναῖος Ἀρίστιππος. Ἐκ πάντων δ᾽ αὐτοῦ τῶν γνωρίμων τὴν σχολὴν αὐτοῦ διεδέξατο Εὔανδρος καὶ οἱ μετὰ τοῦτον. d
15 Μεθ᾽ οὓς Καρνεάδης ὑποδεξάμενος τὴν διατριβὴν τρίτην συνεστήσατο Ἀκαδημίαν. Λόγων μὲν οὖν ἀγωγῇ ἐχρήσατο, ᾗ καὶ ὁ Ἀρκεσίλαος· καὶ γὰρ αὐτὸς ἐπετήδευε τὴν εἰς ἑκάτερα ἐπιχείρησιν, καὶ πάντα ἀνεσκεύαζε τὰ ὑπὸ τῶν ἄλλων λεγόμενα· μόνῳ δ᾽ ἐν τῷ περὶ τῆς ἐποχῆς λόγῳ πρὸς αὐτὸν διέστη, φὰς ἀδύνατον εἶναι ἄνθρωπον ὄντα περὶ ἁπάντων ἐπέχειν· διαφορὰν δὲ εἶναι ἀδήλου καὶ ἀκαταλήπτου, καὶ πάντα μὲν εἶναι ἀκατάληπτα, οὐ πάντα δὲ ἄδηλα. Μετεῖχε δὲ οὗτος καὶ τῶν p. 737 Στωϊκῶν λόγων, πρὸς οὓς καὶ ἐριστικῶς ἱστάμενος ἐπὶ πλέον ηὐξήθη, τοῦ φαινομένου τοῖς πολλοῖς πιθανοῦ ἀλλ᾽ οὐ τῆς ἀληθείας στοχαζόμενος· ὅθεν καὶ πολλὴν

d. τούτου δὲ] τοῦ δὲ Λακύδου B. Sequentia etiam videntur mihi ex Numenio hausta, sed ab Eusebio in compendium redacta. 2. εἷς ἦν] ἦν om. F.G. 5. μετὰ τοῦτον] μετ᾽ αὐτὸν C.F. μετὰ τούτου P. Faber ad Ciceron. Lucull. c. 6. 6. ὑποδεξάμενος] διαδεξάμενος C.

14 Ac de Lacyde quidem hactenus. Hujus auditores fuere permulti, quos inter Aristippus Cyrenæus excelluit. Omnibus tamen ex discipulis Evander post eum scholæ præfuit, ac cæteri eundem postea
15 consequuti. Quibus omnibus succedens hoc in docendi munere Carneades, tertiam conflavit Academiam. Et eadem qua Arcesilas orationis forma utebatur ipse quidem, cum et illum in utramque partem disputandi morem teneret, et quæ ab aliis dicerentur omnia refelleret: cæterum una erat assensionis retentio, in qua ab illo dissideret. Quippe fieri non posse dicebat, ut qui homo esset, is rebus in omnibus assensum inhiberet: aliud porro incertum esse, aliud comprehendi non posse; et comprehensionem quidem omnia fugere, non omnia tamen incerta esse. Fuit is etiam Stoicæ doctrinæ non ignarus, qua vehementius acriusque petenda, famæ sibi plurimum nominisque confecit, dum in id potius quod vulgo verisimile videbatur, quam in verum ipsum collinearet. Quare Stoicis etiam mo-

παρέσχε τοῖς Στωϊκοῖς ἀηδίαν. Γράφει δ' οὖν καὶ ὁ Νουμήνιος περὶ αὐτοῦ ταῦτα·

ΝΟΥΜΗΝΙΟΥ

8 Καρνεάδης δὲ ἐκδεξάμενος παρήγησιν, οὗ χρεὼν φυλάξαι b ὅσα ἀκίνητα καὶ ὅσα κεκινημένα ἦν, τούτου μὲν ἠμέλει, εἰς δ' Ἀρκεσίλαον, εἴτ' οὖν ἀμείνω εἴτε καὶ φαυλότερα ἦν, ἐπανενεγκὼν διὰ μακροῦ τὴν μάχην ἀνενέαζε.

2 Καὶ ἑξῆς ἐπιλέγει,

Ἦγε δ' οὖν καὶ οὗτος καὶ ἀπέφερεν, ἀντιλογίας τε καὶ στροφὰς λεπτολόγους συνέφερε τῇ μάχῃ ποικίλλων, ἐξαρνητικός τε καὶ καταφαντικός τε ἦν, κἀμφοτέρωθεν ἀντιλογικός· c εἴτε που ἔδει τι καὶ θαῦμα ἐχόντων λόγων, ἐξηγείρετο λάβρος οἷον ποταμὸς ῥοώδης, [σφοδρῶς ῥέων,] πάντα καταπιμπλὰς τὰ τῇδε καὶ τακεῖθι, καὶ εἰσέπιπτε, καὶ συνέσυρε 3 τοὺς ἀκούοντας διὰ θορύβου. Τοιγαροῦν ἀπάγων τοὺς ἄλλους αὐτὸς ἔμενεν ἀνεξαπάτητος, ὃ μὴ προσῆν τῷ Ἀρκεσιλάῳ. Ἐκεῖνος γὰρ περιερχόμενος τῇ φαρμάξει τοὺς συγ-

p. 737. b. Καρνεάδης—κακὰ καὶ πλείω om. B. 3. ὅσα ἀκιν.] ὅσα om. F. 6. διὰ μακροῦ] δι' ἃ μικροῦ C.F.G. 7. ἐνενέαζε F.G. infra ἐπέφερε F. ubi ἀπέφερε G. 8. καὶ om. D. 10. ποικίλλων] ποικίλων C.G. Mox καταφατικὸς pro καταφαντικὸς reponit Wyttenbachius ad Plutarch. p. 19 d. καταφρονητικὸς F.G. τε καὶ] γε C. c 2. εἴ τε] εἰ δὲ Vigeri marg. 3. ἐξηγείρετο, λαβρὸς ... ita distingue. Toup. 4. καταπιπλὰς] καταπιμπλὰς C. Viger. 6. διὰ] δίχα F.G. 9. γὰρ] μέν γε C.F.G. γε D.I. Tum περιερχόμενος Wyttenbach. Plutarch. p. 16 e. et sic F.G.

lestiæ plurimum facessebat. De hoc idem qui supra Numenius habet quæ sequuntur:

8 Carneades, inquit, docendi postea munere partibusque susceptis, eum aspernatus, cujus omnia, seu quæ adhuc integra immotaque consisterent, seu quæ ab aliis solicitata jam essent, retinere debuerat; cunctisque ad Arcesilam, seu meliora, seu deteriora essent, relatis, pugnam ipse longo demum intervallo revocavit.

2 Inde nonnihil progressus,

Idem igitur, inquit, afferebat, idem auferebat, pugnamque suam contrariis sententiis, et versutis quibusdam ac subtilibus argutiis cum multiplici varietate miscebat, affirmando simul ac negando, et oppositis utrinque rationibus disputando. Quod si alto quodam et exaggerato dicendi genere opus esset, tum enimvero vehementi ac rapido cursu ferebatur, ut amnis quidam incitatus et rapax, qui omnia passim inundet et obruat: sic in auditorem incumbebat, eumque secum magno cum fragore strepituque 3 rapiebat. Quippe, cum in fraudem alios et errorem impelleret, tum fallebatur ipse nunquam; id quod locum in Arcesila non habebat. Is enim

ΝΟΥ-ΜΗ-ΝΙΟΥ

κορυβαντιῶντας ἔλαθεν ἑαυτὸν πρῶτον ἐξηπατηκὼς μὴ ᾐσθῆ-
σθαι, πεπεῖσθαι δ' ἀληθῆ εἶναι, ἃ λέγει διὰ τῆς ἀπαξαπάντων d
4 ἀναιρέσεως χρημάτων. Κακὸν δὲ ἦν ἂν κακῷ ἐπανακείμενον,
ὁ Καρνεάδης τῷ Ἀρκεσιλάῳ, μὴ χαλάσας τι σμικρὸν, ὑφ'
οὗ οὐκ ἄπρακτοι ἔμελλον ἔσεσθαι, κατὰ τὰς ἀπὸ τοῦ πιθανοῦ
λεγομένας αὐτῷ θετικάς τε καὶ ἀρνητικὰς φαντασίας, τοῦ
5 εἶναι τόδε τι ζῷον ἢ μὴ ζῷον εἶναι. Τοῦτο οὖν ὑπανεὶς,
ὥσπερ οἱ ἀναχάζοντες θῆρες βιαιότερον καὶ μᾶλλον ἑαυτοὺς
ἱεῖσιν εἰς τὰς αἰχμὰς, καὐτὸς ἐνδοὺς δυνατώτερον ἐπελθεῖν.
Ἐπεί τε ὑποσταίη τε καὶ εὖ τύχοι, τηνικαῦτα ἤδη καὶ οὗ
6 προυδέδεκτο ἑκὼν ἠμέλει καὶ οὐκ ἐμέμνητο. Τὸ γὰρ ἀληθές p. 738
τε καὶ τὸ ψεῦδος ἐν τοῖς πράγμασιν ἐνεῖναι συγχωρῶν,
ὥσπερ ξυνεργαζόμενος τῆς ζητήσεως τρόπῳ, παλαιστοῦ δει-
νοῦ λαβὴν δοὺς περιεγίγνετο ἔνθεν. Κατὰ γὰρ τὴν τοῦ
πιθανοῦ ῥοπὴν ἑκάτερον παρασχὼν, οὐδέτερον εἶπε βεβαίως
καταλαμβάνεσθαι. Ἦν γοῦν ληστὴς καὶ γόης σοφώτερος.

c 11. ἐξηπατηκὼς I. d 7. τε καὶ ἀρνητικὰς om. D. 8. τόδε τι] τόδε om. C. τόδε τὸ D. 9. τοῦτο] τοῦτον C.F.G. οὖν] αὖ I. 12. ἐπῆλθεν] ἐπελθεῖν C.D.F.G.I. Tum ἐπεὶ δὲ Vigeri margo. 13. ἔχοι] τύχη (οι superscript) C.F.G. τύχοι D.I. ult. προδέδοκτο] προυδέδεκτο C.F.G. προδέδεκτο D. καὶ ἐμ.] καὶ οὐκ ἐμ. D.F.G.I.

p. 738. 4. περιεγίγνετο] περιεγένετο F. 7. γοῦν] οὖν C.F.G. Tum λῶστος D.F.G.I. Vid. infra b 9.

dum cæteros suis secum maleficiis ac præstigiis, corybantum more insani-
entes circumferret, non sentiebat quam sese primum ipse deciperet, dum
sibi quoque vera esse quæ diceret, omnia simul ac semel abolendo, persua-
4 debat. Verum Carneadem Arcesilæ, sic tanquam malum malo impositum
jure dixeris, qui ne tantillum quidem unquam remitteret, nisi quo effectu-
rum se videbat, ut auditores postea quo se verterent non haberent: id quod
eo visorum, ut appellabat, genere consequebatur, quæ probabili ratione
certum ac singulare quiddam animal esse, vel confirmandi, vel negandi
5 vim haberent. Ergo postquam aliquid ejusmodi utcunque dederat, quem-
admodum feræ aliquantum cedentes in spicula tanto postmodum vehe-
mentius irruunt: sic ille ubi nonnihil indulserat, eo deinde potentius in-
gruebat. Idem ubi firmior jam erat solidiorque disputatio, tum illud
ipsum quod sibi ante visum esset, cujusque mentionem jam fecisset, ultro
6 negligebat. Nam qui verum ac falsum in rebus inesse concederet, perinde
ac si ad propriam sese quæstionis rationem accommodaret, quam ipsemet
periti luctatoris more ansam dederat, ea postmodum ipsa vincebat. Dum
enim utrumque pro verisimilitudinis utrinque nutantis ratione concedebat,
neutrum simul firmiter comprehendi posse dicebat. Fur ergo præstigia-

NOY-
MH-
NIOY

7 Παραλαβὼν γὰρ ἀληθεῖ μὲν ὅμοιον ψεῦδος, καταληπτικῇ δὲ
φαντασίᾳ καταληπτὸν ὅμοιον, καὶ ἀγαγὼν εἰς τὰς ἴσας, οὐκ
εἴασεν οὔτε τὸ ἀληθὲς εἶναι, οὔτε τὸ ψεῦδος, ἢ οὐ μᾶλλον τὸ
8 ἕτερον τοῦ ἑτέρου, ἢ μᾶλλον ἀπὸ τοῦ πιθανοῦ. Ἦν οὖν b
[431] ὀνείρατα ἀντὶ ὀνειράτων, διὰ τὸ ὁμοίας φαντασίας ἀληθέσιν
εἶναι τὰς ψευδεῖς, ὡς ἀπὸ ᾠοῦ κηρίνου πρὸς τὸ ἀληθινὸν ᾠόν.
9 Συνέβαινεν οὖν τὰ κακὰ καὶ πλείω. Καὶ μέντοι λέγων ὁ
Καρνεάδης ἐψυχαγώγει καὶ ἠνδραποδίζετο. Ἦν δὲ κλέπτων
μὲν ἀφανής, φαινόμενος δὲ ληστής, αἱρῶν καὶ δόλῳ καὶ βίᾳ
10 τοὺς καὶ πάνυ σφόδρα παρεσκευασμένους. Πᾶσα γοῦν Καρ-
νεάδου διάνοια ἐνίκα καὶ οὐδεμία ἡτισοῦν ἄλλως, ἐπεὶ καὶ οἷς
11 προσεπολέμει ἦσαν εἰπεῖν ἀδυνατώτεροι. Ἀντίπατρος γοῦν c
ὁ κατ' αὐτὸν γενόμενος ἔμελλε μὲν ἀγωνιᾶν τι γράφειν, πρὸς
δ' οὖν τοὺς ἀπὸ Καρνεάδου καθ' ἡμέραν ἀποφερομένους λόγους οὔ ποτε ἐδημοσίευσεν οὐκ ἐν ταῖς διατριβαῖς οὐκ ἐν τοῖς περιπάτοις, οὐδὲ εἶπεν, οὐδὲ ἐφθέγξατο, οὐδ' ἤκουσέ τις αὐτοῦ, φασὶν, οὐδὲ γρῦ· ἀντιγραφὰς δὲ ἐπανετείνετο, καὶ γωνίαν λαβὼν βιβλία κατέλιπε γράψας τοῖς ὕστερον, οὔτε νῦν δυνά-

a 9. καταληπτὸν] καταληπτικὸν F.G. b 6. λέγων om. B. 7. ἠνδραποδίζετο] ἠνδραποδίσατο B.D.F.G. ἠνδραποδίστο I. 9. καὶ πάνυ] καὶ om. B.C.F.G. 10. πᾶσα γοῦν—ἀδυνατώτεροι om. B. c 3. μὲν] μὲν καὶ D.F.G.I. Tum ἴσ. ἀγωνιῶν Vigeri marg. δ' οὖν] γοῦν B. 5. οὔ ποτε] οὔτε D. λόγοις F. 7. οὐδὲν εἶπεν F.G.

7 torque fuit Arcesila solertior. Ita enim vero falsum aliquod, quodque percipiebatur phantasiæ percipienti simile adjungebat, ut paria geminaque ambo cum ostenderet, simul nec vero locum ullum, nec falso relinqueret, aut neutrum altero potius verum esse falsumque pateretur, aut si alterutrum potius, id tamen non nisi probabilitate tenus ejusmodi videretur.
8 Somniis ergo somnia succedebant, dum veris etiam visis falsa similia putabantur, quomodo si ovi cerei visum cum vero ovo componatur. Incom-
9 moda hæc igitur aliaque plura contingebant. At enimvero Carneades interea, dicendi facultate auditorem permulcebat idem, idemque captivum trahebat: et fur occulte, manifeste prædo, vel fraude vel aperta vi paratis-
10 simum etiam quemque capiebat. Omnis quippe Carneadis vincebat opinio, alia cujuslibet nulla prorsus, cum adversarios omnes longe dicendo infe-
11 riores haberet. Antipater certe illius æqualis, scripto duntaxat aliquid meditabatur, atque id admodum timide. Nam ad eas disputationes, quas a Carneade haberi quotidie audiebat, nunquam in lucem ac publicum prodiit, non in schola, non in deambulatione vel hilum a quoquam, ut aiunt, mussare unquam auditus est. Scripta solum quædam eminus intentabat, et angulos latebrasque captans, libros tantum posteris relinquebat,

ΝΟΥΜΗΝΙΟΥ

μενα, καὶ τότε ἦν ἀδυνατώτερα πρὸς οὕτως ἄνδρα ὑπέρμεγαν φανέντα καὶ καταδόξαντα εἶναι τοῖς τότε ἀνθρώποις τὸν d
12 Καρνεάδην. Ὅμως δὲ, καίτοι καὐτὸς ὑπὸ τῆς Στωϊκῆς φιλονεικίας εἰς τὸ φανερὸν κυκῶν, πρός γε τοὺς ἑαυτοῦ ἑταίρους δι' ἀπορρήτων ὡμολόγει τε καὶ ἠλήθευε καὶ ἀπεφαίνετο, ἃ κἂν ἄλλος τῶν ἐπιτυχόντων.

13 Εἶτα ἑξῆς φησὶ,

Καρνεάδου δὲ γίνεται γνώριμος Μέντωρ μὲν πρῶτον, οὐ μὴν διάδοχος· ἀλλ' ἔτι ζῶν Καρνεάδης ἐπὶ παλλακῇ μοιχὸν εὑρὼν, οὐχ ὑπὸ πιθανῆς φαντασίας, οὐδ' ὡς μὴ κατειληφὼς, ὡς δὲ μάλιστα πιστεύων τῇ ὄψει καὶ καταλαβὼν παρῃτήσατο τῆς διατριβῆς. Ὁ δὲ ἀποστὰς ἀντεσοφίστευε, καὶ ἀντίτεχνος ἦν, ἐλέγχων αὐτοῦ τὴν ἐν τοῖς λόγοις ἀκαταληψίαν.

14 Καὶ πάλιν ἐπιφέρει λέγων· p. 739

Ὁ δὲ Καρνεάδης, οἷον ἀντεστραμμένα φιλοσοφῶν, τοῖς ψεύσμασιν ἐκαλλωπίζετο, καὶ ὑπ' αὐτοῖς τὰ ἀληθῆ ἠφάνιζε.

c 11. ἀδυνατ.] ἦν δυν. B. ἦν ἀδυν. C.D.F.G.I. 12. ὑπέρμεγαν] ὑπέρμεγα C.F.G. d 2. ὅμως δὲ—ἑξῆς φησὶ om. B. στωϊκῆς] τῆς στ. C.D.F.G.I. 4. γε τοὺς] τε τοὺς D.F.G.I. ὡμολόγει—ἠλίθευε] ὡμολόγη—ἠλήθευε C. 5. ἠλίθ.] ἠληθ. D.F.G. 6. καρνεάδου δὲ] οὗ καρνεάδου B. qui om. Μέντωρ—κατειληφώς. 7. δὲ] μὲν D. ὁ πρῶτος] πρῶτον C.D.F.G. ult. αὐτοῦ τὴν] αὐτοῦ τοῖς C. αὐτοῦ τὴν ἐν F.

p. 739. ἐπιφέρει λέγων] φησὶν B.

verum ejusmodi, qui ne nunc quidem, tum vero multo minus Carneadem illum, qui tantus ac tam admirabilis ejus ævi hominibus videbatur, susti-
12 nere possent. Et tamen ille ipse, qui Stoicos vellicandi studio palam cuncta miscebat, clam sodales inter suos eadem omnia fatebatur, vereque ac certo pronuntiabat, quæ alius quivis e populo.

13 Quibus deinde addit,

Mentorem Carneades primum habuit discipulum, non tamen successorem. Quod enim illum adhuc vivens cum pellice sua repererat, non jam viso tantum probabili, aut quasi minus hominem comprehenderet, at suis maxime credens oculis, eumque vere comprehendens, ejus deinceps operam et consuetudinem repudiavit. Qui a doctore propterea deficiens, mutuis cum illo argutiis technisque pugnare, quæque ille incomprehensa defendebat, oppugnare cœpit.

14 Itemque post alia,

Carneades autem, qui contraria vicissim omnia philosopharetur, triumphabat in mendaciis, quibus verum abolebat. Quanquam iis tanquam

ΝΟΥΜΗΝΙΟΥ

Παραπετάσμασιν οὖν ἐχρῆτο τοῖς ψεύσμασι, καὶ ἠλήθευεν ἔνδον λανθάνων καπηλικώτερον. Ἔπασχεν οὖν πάθημα ὀσπρίων, ὧν τὰ μὲν κενὰ ἐπιπολάζει τε τῷ ὕδατι καὶ ὑπερέχει, τὰ χρηστὰ δὲ αὐτῶν ἐστὶ κάτω καὶ ἐν ἀφανεῖ.

15 Ταῦτα καὶ περὶ Καρνεάδου λέγεται. Διάδοχος δ' αὐτοῦ τῆς διατριβῆς καθίσταται Κλειτόμαχος, μεθ' ὃν Φίλων, οὗ πέρι ὁ Νουμήνιος μνημονεύει ταῦτα·

9 Ὁ δὲ Φίλων ἄρα οὗτος ἄρτι μὲν ἐκδεξάμενος τὴν διατρι- b
βὴν ὑπὸ χαρμονῆς ἐξεπέπληκτο, καὶ χάριν ἀποδιδοὺς ἐθεράπευε, καὶ τὰ δεδογμένα τῷ Κλειτομάχῳ ηὖξε, καὶ τοῖς c
Στωϊκοῖς

ἐκορύσσετο νώροπι χαλκῷ.

2 Ὡς δὲ προϊόντος μὲν τοῦ χρόνου, ἐξιτήλου δ' ὑπὸ συνηθείας οὔσης αὐτῶν τῆς ἐποχῆς, οὐδὲν μὲν κατὰ τὰ αὐτὰ ἑαυτῷ ἐνόει, ἡ δὲ τῶν παθημάτων αὐτὸν ἀνέστρεφεν ἐνάργειά τε καὶ ὁμολογία. Πολλὴν δῆτ' ἔχων ἤδη τὴν διαίσθησιν ὑπερεπεθύμει,

a 4. παραπετ.—ψεύμασι om. B. 5. ἠλίθ.] ἠλήθ. B.C.D.F.G.I. Mox B. καπηλικώτερον λανθάνων παθ. οὖν ἐπέσχεν. 7. τε τῷ] τε om. F.G. 8. ὑπερέχει] ὑπερνεῖ B. qui om. ταῦτα—λέγεται. 11. Φίλων] Φιλίων C.D.F.G.I. v. Fabricii B. G. III. 4. T. III. p. 181. ed. Harles. 12. νουμήνιος μνημονεύει ταῦτα] φησὶν ὁ νουμ. ταῦτα B. b 5. Φίλων] Φιλίων C.D.F.G.I. 8. κλειτομάχῳ] κλειτάρχῳ C.G. κατάρχῳ F. c. ἐκορύσσετο] ἐκορίσσετο C. 5. ἑαυτῷ om. B. αὐτὸν] αὐτῶν C. 6. ἐνάργεια] ἐνέργεια D. δῆτ'] δὲ B. Mox ἤδη om. B.C.

oppansis quibusdam velis utebatur, cum intro latitans vera callidius ac versutius loqueretur. Ita hoc ipsum philosopho accidebat, quod in leguminibus evenire solet, ex quibus quæ inania sunt et vacua, existunt ac summæ aquæ innatant, cum optima quæque lateant, et altiore fundo clausa teneantur.

15 Hæc de Carneade prodita legimus. Is Clitomachum artis doctrinæque successorem habuit; Philonem Clitomachus, de quo idem Numenius hæc breviter:

9 Philo iste, inquit, principio quidem cum ab accepta scholæ præfectura recens adhuc esset, lætitia vehementiore perculsus, ac referendæ gratiæ percupidus, Clitomachi decreta colere, illustrare magis atque magis, Stoicos autem,

radiante lacessere ferro.

2 At progressu temporis, cum usu quotidiano Academicorum illa retentio paulatim evanesceret, nihil jam suo pristino more sentiebat, sed ipsum in contrariam omnino partem convertebat ipsa casuum et malorum evidentia atque confessio. Ita cum pleraque certo jam planeque perciperet, existere

εὖ οἶσθ' ὅτι, τῶν ἐλεγξόντων τυχεῖν, ἵνα μὴ ἐδόκει μετὰ νῶτα
3 βαλὼν αὐτὸς ἑκὼν φεύγειν. Φίλωνος δὲ γίνεται ἀκουστὴς Ἀντίοχος, ἑτέρας ἄρξας Ἀκαδημίας. Μνησάρχῳ γοῦν τῷ Στωϊκῷ σχολάσας ἐναντία Φίλωνι τῷ καθηγητῇ ἐφρόνησε, d μυρία τε ξένα προσῆψε τῇ Ἀκαδημίᾳ.

4 Ταῦτα καὶ παραπλήσια τούτοις μυρία τῆς Πλάτωνος περὶ διαδοχῆς μνημονεύεται. Ὥρα δ' οὖν ἄνωθεν τὸν λόγον ἀναλαβόντας τῶν φυσικῶν φιλοσόφων τὰς ψευδοδοξίας ὁμοῦ καὶ ἀντιδοξίας ἐπισκέψασθαι, οἳ τὴν πολλὴν γῆν πλανηθέντες, καὶ τὴν τοῦ ἀληθοῦς εὕρεσιν περὶ πλείστου πεποιημένοι, ταῖς τε τῶν παλαιῶν ἁπάντων
[432] δόξαις καθωμιληκότες, καὶ τἀκριβὲς τῆς παρὰ πᾶσι Φοίνιξί τε καὶ Αἰγυπτίοις αὐτοῖς τε Ἕλλησι πολὺ πρό- p. 740
τερον θεολογίας ἐξηκριβωκότες, τίνα τῶν πόνων τὸν καρπὸν εὕροντο παρ' αὐτῶν ἄξιον ἀκοῦσαι, ὡς ἂν μάθοιμεν εἴ τι θεοπρεπὲς εἰς αὐτοὺς παρὰ τῶν πρεσβυτέρων

c 8. οἶσθ'] ἴσθ' F.G. 10. Φίλωνος] Φιλίωνος B.C.F.G.I. qui infra Φιλίωνι cum D. 11. Μνησάρχων F. d 2. ταῦτα καὶ—μνημονεύεται om. B. 6. τὰς] τῆς C. Mox οἱ μὲν πολλὴν—φιλοσόφους om. C. 7. ἐπισκεψάσθω F. 8. εὑρεσίν τε—πεποιημένον I. 9. ταῖς τε] τε om. C.F.G. ult. τῆς] τοῖς I.
p. 740. 3. εὕροντο] εὕραντο C.F.

tantum videlicet a quibus convinceretur, summopere cupiebat, ne terga
3 ultro vertisse fugisseque videretur. Hujus porro Philonis auditor fuit Antiochus, novæ postea fundator Academiæ: qui Mnesarcho Stoico operam cum dedisset, et a magistro Philone dissensit, et aliena peregrinaque sexcenta Academiæ attexuit.

4 Hæc aliaque id genus infinita de Platonis successione traduntur. Nunc igitur altius oratione repetita, physicorum istorum partim falsas, partim contrarias pugnantesque sententias diligentius excutere juverit: cumque tantum ipsi terrarum obierint, tanto arserint investigandi veri studio, tanta in expendendis veterum omnium opinionibus assiduitate versati sint, denique tanto ante recondita quæque omnium vel Phœnicum, vel Ægyptiorum, vel Græcorum ipsorum theologiæ mysteria tam accurate perviderint; verum utique fuerit, quem tandem laborum suorum fructum consequuti sint, ex illis ipsis audire, ut intelligamus, ecquid divina illa natura dignum ab antiquioribus acce-

5 κατῆλθεν. Ἐκράτει μὲν γὰρ πρότερον ἐκ παλαιοῦ αἰῶνος παρὰ τοῖς ἔθνεσιν ἡ πολύθεος δεισιδαιμονία, νεῴ τε καὶ ἱερὰ καὶ μυστήρια τῶν θεῶν κατὰ πόλεις καὶ χώρας συνήθως παρὰ πᾶσιν ἐφυλάττοντο. Οὐ δὴ οὖν οὐδὲ φιλοσοφίας ἀνθρωπίνης ἦν χρεία, εἰ δὴ τὰ τῆς θεοσοφίας προειλήφει· οὐδ' ἦν τις ἀνάγκη καινοτομεῖν τοὺς σο- b
φοὺς, εἰ δὴ τὰ τῶν προγόνων αὐτοῖς εὖ ἔχοντα ἦν, ἀλλ' οὐδὲ στασιάζειν καὶ διαφέρεσθαι τοὺς γενναίους φιλοσόφους, εἰ δὴ σύμφωνος καὶ ἀληθὴς ἡ πάτριος αὐτοῖς
6 περὶ θεῶν δόξα τυγχάνειν δεδοκίμαστο. Τί δὲ ἔδει πολεμεῖν ἀλλήλοις καὶ μάχεσθαι, ἢ τὴν μακρὰν ὁδὸν ἄνω καὶ κάτω περιτρέχειν πλανᾶσθαί τε καὶ τὰ βαρβάρων ὑποσυλᾶν, οἴκοι δέον μένοντας παρὰ θεῶν ἐκμανθάνειν, εἰ δή τινες ἦσαν θεοὶ, ἢ παρὰ τῶν θεολόγων ἀνδρῶν τοὺς ἀληθεῖς καὶ ἀδιαπτώτους περὶ τῶν ἐπιζη- c
τουμένων ἐν φιλοσοφίᾳ λόγους, περὶ ὧν μυρία ὅσα μοχθήσαντες διηνέχθησαν, μακρῷ τῆς τἀληθοῦς εὑρέ-

a 5. μὲν γὰρ] γὰρ om. D. 7. καὶ μυστ. ἱερ.] καὶ ἱερὰ καὶ μυστ. θεῶν C.F.G. νεὼς pro νεῴ D.F.G.I. Tum μυστήρια καὶ ἱερά D. 10. ἦν χρεία] χρεία ἦν C.F.G. b 4. σύμφωνος] συμφ. αὐτοῖς B. 5. αὐτοῖς om. B. 9. ὑποσυλᾶν] ἀποσ. B. παρὰ] περὶ F.G. c. ἐπιζητουμένων] ἐπιζητημάτων B.

5 perint. Enimvero ab ultima jam usque memoria, superstitiosus ille apud gentes plurium deorum cultus vigebat, templaque passim et sacra numinum mysteria, tam in urbibus, quam in regionibus omnibus longo jam usu celebrabantur. Itaque humana tum philosophia opus nil dum erat, ubi divina sapientia locum occuparat: nec sapientes illos novi quicquam moliri necesse fuit, si majorum institutis sua apud se integritas honestasque constaret: imo nec præclaris philosophis tot factiones ac dissensiones excitandæ, si patria de diis
6 opinio et secum ipsa consentiens, et vera judicaretur. Nam quid eos attinebat, aut sic inter se confligere, aut tam longa sursum ac deorsum itinera conficere, vagarique passim, et suas barbaris opes suffurari, cum domi potius quiescentes, vel abs diis, si qui forte dii essent, vel a theologis veras eorum, quæ in philosophia disquiruntur, rationes haurire debuissent, de quibus ipsi post infinitos labores ab aliis alii

7 σεως ἀφυστερήσαντες; Τί δὲ καὶ περὶ θεῶν νεώτερα
χρῆν ἐπιζητεῖν τολμᾶν, ἢ στασιάζειν καὶ διαπυκτεύειν
ἀλλήλοις, εἰ δὴ ἀσφαλὴς καὶ βεβαία θεῶν εὕρεσις καὶ
γνῶσις εὐσεβείας ἀληθὴς ἐν τελεταῖς καὶ μυστηρίοις
τῇ τε ἄλλῃ τῶν παλαιτάτων περιείχετο θεολογίᾳ, αὐτὴν
ἐκείνην παρὸν ἀκίνητον καὶ ὁμολογουμένην συμφώνως
8 περιέπειν; Ἀλλὰ γὰρ εἰ φανεῖεν οὗτοι μηδὲν ἀληθὲς
περὶ Θεοῦ παρὰ τῶν προτέρων μεμαθηκότες, οἰκείαις δ' d
ἐπινοίαις τῇ περὶ φύσεως ἐπιβεβληκότες ἐξετάσει, καὶ
στοχασμοῖς μᾶλλον ἢ καταλήψει κεχρημένοι, τί χρὴ
λοιπὸν μὴ οὐχὶ συνομολογεῖν τὴν παλαιὰν τῶν ἐθνῶν
θεολογίαν μηδὲν πλέον τῆς ἀποδοθείσης ἐν τοῖς πρὸ
9 τούτου συγγράμμασιν ἱστορίας ἐπέχειν; Ὅτι μὲν οὖν
ἐξ ἀνθρωπίνων στοχασμῶν καὶ πολλῆς λογομαχίας καὶ
πλάνης, ἀλλ' οὐκ ἔκ τινος ἀκριβοῦς καταλήψεως, ἡ
παρὰ τοῖς Ἕλλησιν ὑπέστη φιλοσοφία, ἐκ τῆς πρὸς
Ἀνεβὼ τὸν Αἰγύπτιον Ἐπιστολῆς τοῦ Πορφυρίου μά-

c 10. αὐτὴν] αὐτὸς D. 12. γὰρ εἰ φ.—ἀποδοθείσης om. B.
d 6. τῆς] τοῖς C. ἐν τοῖς] τὸν ἐν τοῖς B. 12. νεκτεναβὼ] ἀνεβὼ B. C.D.E.F.G.I. Theodoret. p. 11, 10.

7 dissidendo, ab ipsa veritatis investigatione procul aberrarunt? Quid
porro necesse erat, nova de diis quædam comminisci, aut inter sese
pugilum more conflictari, si modo secura firmaque de diis existimatio,
veraque religionis cognitio, priscorum hominum sacris illis ritibus
atque mysteriis, cæterisque theologiæ suæ rationibus continebatur:
cum illa ipsa nulla sui mutata parte, communi posterorum consensu
8 ac professione retineri posset? Sin autem id constat, recentiores istos
veri de Deo nihil ab antiquioribus illis didicisse, ac suopte quemque
ingenio sic in naturæ investigationem incubuisse, ut conjecturis potius
quam ulla comprehensione niterentur: quis non ingenue confitendum
esse videat, nihil omnino præter ea quæ superioribus libris indica-
9 vimus, gentium theologia contineri? Ac postremum quidem illud,
quam ex accurata nulla comprehensione, sed quibusdam tantum ex
conjecturis, magnoque verborum conflictu multis cum erroribus con-
juncto Græcorum philosophia extiterit, facile vel ex quadam Porphyrii

θοις ἂν, αὐτὸ δὴ τοῦτο ἀκούσας ὁμολογοῦντος ἐν τούτοις·

10 Ἄρξομαι δὲ τῆς πρός σε φιλίας ἀπὸ θεῶν καὶ δαιμόνων p. 741 b ΠΟΡΦΥΡΙΟΥ
ἀγαθῶν τῶν τε τούτοις συγγενῶν φιλοσοφημάτων, περὶ ὧν εἴρηται μὲν πλεῖστα καὶ παρὰ τοῖς Ἑλλήνων φιλοσόφοις, εἴρηται δὲ ἐκ στοχασμοῦ τὸ πλέον τὰς ἀρχὰς ἔχον τῆς πίστεως.

2 Καὶ ὑποβὰς ἑξῆς ἐπιφέρει, λέγων,

Παρὰ μὲν γὰρ ἡμῖν λογομαχία τίς ἐστι πολλὴ, ἅτε ἐξ ἀνθρωπίνων λογισμῶν τοῦ ἀγαθοῦ εἰκαζομένου· οἷς δὲ μεμη- c
χάνηται ἡ πρὸς τὸ κρεῖττον συνουσία, εἰ παρεῖται τὸ μέρος τοῦτο εἰς ἐξέτασιν, μάτην αὐτοῖς ἡ σοφία ἐξήσκηται.

3 Ἀλλὰ καὶ ἐν οἷς ἀντέγραψε Βοηθῷ περὶ ψυχῆς ὁ αὐτὸς ὧδε γράφων ὁμολογεῖ πρὸς λέξιν·

Ὡς τὰ μὲν τῶν ἐννοιῶν καὶ τὰ τῆς ἱστορίας ἀναμφιλέκτως συνίστησι τὴν ψυχὴν εἶναι ἀθάνατον· οἱ δὲ εἰς ἀπόδειξιν

d 13. αὐτὸ δὴ—τούτοις om. B. ὁμολογοῦντας F.G.
p. 741. b 3. δαιμόνων] δαιμονίων D. 7. ἔχον] Lege ἔχοντα ut infra p. 742 b 4. et sic in Theodoreto e mss. restituendum. c 3. παρεῖται] παραιτεῖται C.F.G. 7. μὲν τῶν] τῶν om. C.F.G.

ad Nectabonem Ægyptium Epistola intelligas, in qua id ipsum totidem verbis audies confitentem :

10 Hoc in meæ, inquit, erga te benevolentiæ officio, a diis ipsis bonisque dæmonibus, atque his affinibus quibusdam cognatisque philosophiæ partibus incipiam, de quibus a Græcis quoque philosophis permulta dicta sunt; verum ejusmodi, quæ partem sane maximam, fidei faciendæ principia non aliunde quam ex sola conjectura ducerent.

2 Tum interjectis aliis ita progreditur :

Apud nos, inquit, verborum conflictus ingens, quippe qui humana tantum existimatione de bono statuamus. Cæterum qui ad assequendam illam cum superiori natura conjunctionem incumbunt, ii profecto hanc si partem investigationis prætermiserint, frustra tantum in sapientiæ studio laboris operæque consumunt.

3 Idem in iis quæ de animo ad Boëthum rescripsit, id ipsum conceptis fatetur verbis ; dum ait,

Immortalem esse animum illa intelligendi et commentandi vis absque ulla dubitatione convincit. Veruntamen quicquid rationum a philosophis

[433] ΠΟΡΦΥΡΙΟΥ παρὰ τῶν φιλοσόφων κομισθέντες λόγοι δοκοῦσιν εἶναι εὐανάτρεπτοι, διὰ τὴν ἐν πᾶσιν εὑρεσιλογίαν τῶν ἐριστικῶν. Τίς γὰρ λόγος τῶν ἐν φιλοσοφίᾳ οὐκ ἀμφισβητήσιμος τοῖς d ἑτεροδόξοις, ὅπου καὶ περὶ τῶν δοκούντων ἐναργῶν ἐπέχειν αὐτῶν τισὶν ἐδόκει;

4 Καὶ ἐν οἷς δὲ ἐπέγραψε Περὶ τῆς ἐκ λογίων φιλοσο-
φίας διαρρήδην ὁμολογεῖ τοὺς Ἕλληνας πεπλανῆσθαι,
ἐπιμαρτυρόμενος τὸν ἑαυτοῦ θεόν, ὡς τοῦτο καὶ τοῦ
Ἀπόλλωνος διὰ χρησμῶν ἐξειπόντος, καὶ βαρβάροις
μᾶλλον ἢ Ἕλλησι τὴν εὕρεσιν τῆς ἀληθείας ἐπιμαρ-
τυρήσαντος, καὶ δὴ καὶ Ἑβραίων μνημονεύσαντος ἐν
5 τοῖς μαρτυρηθεῖσι. Μετὰ γοῦν τὴν τοῦ χρησμοῦ πα-
ράθεσιν ἑξῆς τούτοις κέχρηται τοῖς ἐπιλόγοις·

Ἀκήκοας πόσος πόνος, ἵν' ὑπὲρ σώματός τις τὰ καθάρσια θύσῃ, οὐχ ὅτι τῆς ψυχῆς τὴν σωτηρίαν ἐξεύρῃ; Χαλκόδετος p. 742 γὰρ ἡ πρὸς θεοὺς ὁδὸς αἰπεινή τε καὶ τραχεῖα, ἧς πολλὰς ἀτραποὺς βάρβαροι μὲν ἐξεῦρον, Ἕλληνες δὲ ἐπλανήθησαν,

c 9. παρὰ] περὶ D. 10. νομισθέντες F.G. et mox εὐανάστρεπτοι. 11. εὑρεσιλ.] εὑρησιλ. D.I. d. ὅπου] ὅπερ D. 5. ἑαυτοῦ] ἐν αὐτοῦ D. 7. βαρβάρων I. 8. ἐπιμαρτυρήσαντος] ἐπιμαρτυρηθεῖσι D.

p. 742. ὅτι—ἐξεύρῃ] ὅτε—εὗρον D. ἐξεύροι F.G.

hoc ad demonstrandum affertur, id totum propter eam, quam in omnibus repugnandi solertiam arguti et contentiosi homines repererunt, perfacile ad refellendum videtur. Quid enim tota in philosophia sit, quod ab aliter sentientibus impugnari nequeat, cum in iis etiam quæ perspicua ex sese videbantur, assensionem omnem retinere horum nonnulli maluerint?

4 Postremo, in eo quoque libro, quem De hausta ex oraculorum re-
sponsis philosophia conscripsit, aberrasse Græcos diserte omnino
confitetur, suum etiam deum hanc in rem testatus, qui suis hoc ipsum
oraculis responderit, barbarisque potius quam Græcis hominibus,
veritatis inventæ laudem testimonio suo defenderit, eoque ferendo
5 barbaros ipsos nominatim appellarit. Statim enim post oraculi ex-
positionem ita concludit:

Audisti quantum laboris exhaustum sit, ut corporis tantum caussa piaculare quis sacrificium faceret, non quod animi salutem invenisset? Quippe, vincta enim ære, ardua, et salebrosa via est, qua ad deos itur, cujus barbari quidem complures semitas repererunt, Græci vero ab ea penitus aberra-

οἱ δὲ κρατοῦντες ἤδη καὶ διέφθειραν· τὴν δὲ εὕρεσιν Αἰγυ- ΠΟΡΦΥΡΙΟΥ
πτίοις ὁ θεὸς ἐμαρτύρησε Φοίνιξί τε καὶ Χαλδαίοις (Ἀσσύ-
ριοι γὰρ οὗτοι) Λυδοῖς τε καὶ Ἑβραίοις.
6 Ταῦτα ὁ φιλόσοφος, μᾶλλον δὲ ὁ αὐτοῦ θεός. Ἆρ'
οὖν ἄξιον μετὰ ταῦθ' ἡμῖν ἐπιμέμψασθαι, ὅτι δὴ τοὺς
πεπλανημένους Ἕλληνας καταλείψαντες τὰ Ἑβραίων
εἱλόμεθα, τῶν ἐπ' ἀληθείας καταλήψει μεμαρτυρημένων;
7 Τί δὲ χρὴ παρὰ φιλοσόφων μαθήσεσθαι προσδοκᾶν; b
Ἢ ποία ἐλπὶς τῆς ἐξ αὐτῶν ὠφελείας, εἰ δὴ τὰ λεγό-
μενα παρ' αὐτοῖς ἐκ στοχασμῶν καὶ εἰκασμῶν τὸ πλέον
τὰς ἀρχὰς ἔχοντα τῆς πίστεως τυγχάνει; Λογομαχίας
δὲ τίς ὁ καρπὸς, εἰ δὴ πάντες οἱ τῶν φιλοσόφων λόγοι
εὐανάτρεπτοι καθεστήκασι διὰ τὴν ἐν πᾶσιν εὑρεσιλο-
γίαν; Ταῦτα γὰρ οὐ παρ' ἡμῶν ἀρτίως ἀλλὰ παρ'
8 αὐτῶν εἰρημένα ἠκούετο. Διόπερ εὖ μοι δοκοῦμεν καὶ
μετὰ κρίσεως ἐξητασμένης, οὐχὶ δ' ἀλόγως, ὡς ἂν τοι-
ούτων καταπεφρονηκέναι, τὰ δὲ παρ' Ἑβραίοις ἠγαπη- c

a 5. κρατοῦντες] Christiani. Toup. 6. ὁ αὐτὸς θεὸς F.G. 9. αὐτοῦ] αὐτὸς C.D. 11. καταλείψ.] καταλήψ. C. καταλείψ. F. b 6. εἰ] οἱ D. εὐανάστρεπτοι F.

runt. Quam si qui forte jam tenebant, eandem ipsimet corruperunt. At
ejus inventæ laudem Ægyptiis, Phœnicibus, et Chaldæis, (hos enim Assy-
rios vocat) Lydiis etiam et Hebræis suopte deus testimonio vindicavit.
6 Hæc Græcus iste philosophus, vel ipse potius quem colebat deus.
Quis ergo deinceps nobis jure succenseat, quod aberrantes Græcos
reliquerimus, ut Hebræos, a quibus comprehensam esse veritatem
7 ipso deorum testimonio constiterit, sequeremur? Nam quid tandem
a philosophis doctum iri nos expectemus? aut quam ab iis deinde
opem utilitatemque speremus, si quæ ab iis dicuntur, partem ea
maximam fidei faciendæ principia non aliunde, quam ex conjectu-
rarum quadam probabilitate ducant? Fructus porro verbosæ conten-
tionis quinam ostenditur, si quicquid a philosophis rationum affertur,
id totum propter argutam quandam in omnibus repugnandi solertiam,
perfacile sit ad refellendum. Hæc enim paulo ante non a nobis, sed
8 ab illis ipsis dici audiebantur. Quæ quidem ejusmodi cum sint, ea
profecto non temere, sed maturo admodum prudentique judicio, ne-
glexisse, Hebræis autem hæsisse merito videamur: non quod abs

κέναι, οὐχ ὅτι πρὸς τοῦ δαίμονος μεμαρτύρηται, ἀλλ' ὅτι τῆς ἐνθέου ἀρετῆς τε καὶ δυνάμεως μέτοχα ὄντα
9 ἀποδείκνυται. Ἵνα δ' οὖν καὶ αὐτοῖς ἔργοις τὰς τῶν θαυμαστῶν φιλοσόφων λογομαχίας μάθοις, τάς τε περὶ ἀρχῶν καὶ περὶ θεῶν καὶ τῆς τοῦ παντὸς συστάσεως διαφωνίας μικρὸν μὲν ὕστερον ἐκθήσομαί σοι τὰς αὐτῶν
10 φωνάς. Πρῶτον δ' ἐπειδὴ περιφέρουσιν ἄνω καὶ κάτω θρυλοῦντες τὰ μαθήματα, δεῖν ἐξ ἅπαντος φάσκοντες τοὺς μέλλοντας ἐν πείρᾳ τῆς τοῦ ἀληθοῦς καταλήψεως γίγνεσθαι μετελθεῖν ἀστρονομίαν, ἀριθμητικὴν, γεωμε- d τρίαν, μουσικὴν, αὐτὰ δὴ τὰ παρὰ βαρβάρων εἰς αὐτοὺς ἥκειν ἀποδειχθέντα· (τούτων γὰρ ἄνευ μὴ δύνασθαι λόγιον ἄνδρα καὶ φιλόσοφον ἀποτελεσθῆναι, ἀλλ' οὐδὲ τῆς τῶν ὄντων ἀληθείας ψαῦσαι, μὴ τούτων ἐν ψυχῇ τῆς γνώσεως προτυπωθείσης·) εἶτ' ἐπανατεινάμενοι τῇ μαθήσει τῶν εἰρημένων ἐπ' αὐτοῦ μονονουχὶ τοῦ αἰθέρος βαίνειν μετέωροι ἀρθέντες οἴονται, ὡς δὴ τὸν Θεὸν αὐτὸν ἐν τοῖς ἀριθμοῖς περιφέροντες, ἡμᾶς τε, ὅτι μὴ τὰ ὅμοια

c 3. τε καὶ] τε om. F. 7. μικρὸν μὲν] μικρὸν δὲ D. 11. ἐν πείρᾳ] ἐμπειρίᾳ D.

dæmone testimonium habuerint, sed quod in iis divina plane vis ac
9 potestas eluceat. Atque ut verbosas illas egregiorum philosophorum pugnas, deque principiis, de diis, et universi constitutione dissensiones reapse perspicias, eorum tibi paulo post ipsissima verba subjiciam.
10 Primum tamen, quoniam mathematica illa sua tantopere jactare solent, prorsusque necessarium esse dictitant, ut quisquis comprehendendi veri studio tenebitur, astronomiam, arithmeticam, geometriam, musicam, illa nimirum ipsa, quæ ad eos a barbaris profecta esse jam ostendimus, persequatur: (his enim qui carebit, doctum perfectumque philosophum esse neminem, imo rerum veritatem ne primoribus quidem labris degustare posse, nisi qui harum ante rerum animo cognitionem impresserit:) deinde hanc suarum artium peritiam magnificentius ostentantes, æthere sese medio sublimes propemodum incedere, numerisque suis ipsum quoque Deum circumferre arbitrantur: nos vero qui similium disciplinarum amore non fla-

Mathematicæ quanti a veteribus fierent.

ζηλοῦμεν, βοσκημάτων κατ' οὐδὲν διαφέρειν ἡγοῦνται,
ταύτῃ δέ φασι μηδὲ Θεὸν, μηδέ τι τῶν σεμνῶν ἡμᾶς
δύνασθαι εἰδέναι· φέρε, τοῦτο πρῶτον οὐκ ὀρθῶς ἔχον p. 743
ἀπευθύνωμεν, τὸν ἀληθῆ λόγον ἀντὶ φωτὸς αὐτοῖς παρα-
11 βάλλοντες. Ὁ δὲ μυρίους μὲν Ἕλληνας, μυρία δὲ καὶ
βαρβάρων γένη, τοὺς μὲν σὺν τοῖς εἰρημένοις μαθήμασιν
οὔτε Θεὸν οὔτε σώφρονα βίον οὐθ' ὅλως τι τῶν βελ-
τίστων καὶ συμφερόντων ἐπιγνόντας ἀποδείξει, τοὺς δὲ
τῶν μαθημάτων ἐκτὸς πάντων εὐσεβεστάτους καὶ φιλο-
σοφωτάτους γεγονέναι. Ὁ γοῦν παρὰ πᾶσιν αὐτοῖς
ᾀδόμενος Σωκράτης ὅπως ποτὲ ἐδόξαζε περὶ τῶνδε, μά-
θοις ἂν Ξενοφῶντι πιστεύσας ἐν Ἀπομνημονεύμασιν b
ὧδέ πῃ ἱστοροῦντι·

ΞΕΝΟΦΩΝΤΟΣ

[434]
I I Ἐδίδασκε δὲ καὶ μέχρις ὅ του δέοι ἔμπειρον εἶναι ἑκάστου
πράγματος τὸν ὀρθῶς πεπαιδευμένον. Αὐτίκα γεωμετρίαν
μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν, ἕως ἱκανός τις γένοιτο, c
εἴ ποτε δεήσειε, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν ἢ παραδοῦναι

p. 743. 3. παραβάλλοντες] παραβαλόντες C.D.F.G. Ἕλληνας] πανέλληνας D.F.G. παρ' Ἕλληνας E.I. c 3. ἢ παραλαβεῖν om. F.

gremus, nihil a pecudibus abesse existimant, Deique propterea nunquam, nunquam rei paulo gravioris notitiam percepturos esse pronuntiant: age, hoc ipsum quam pravum sit atque distortum, vera luminis loco ratione proposita, sic tanquam ad libellam ac regulam exigamus.
11 Erit ea quidem ejusmodi, quæ Græcos innumerabiles, infinitosque barbaros complexa; alios tametsi ab his artibus doctrinisque paratos, nec Deum unquam, nec honestæ vitæ rationes, nec omnino præclarum et utile quicquam percepisse; alios, ut ab omnium disciplinarum præsidio destituti essent, religiosissimos tamen ac sapientissimos extitisse demonstret. Enimvero, quænam hoc in genere Socratis illius, qui ab istis omnibus tantopere celebratur, sententia fuerit, e Xenophonte intelliges, si modo ei suis in Memorabilibus hæc scribenti fidem adhibebis.

Xenoph. Mem. 4. 7, 2.

Geometriæ quatenus studendum.

I I Docebat, inquit ille, præterea, quatenus cujusque rei peritum esse hominem bene institutum oporteret. Principio geometriæ dandam eatenus operam esse dicebat, ut si quando res posceret, dimensam rite terram vel accipere ab alio, vel alii tradere, vel eam dividere, vel opus aliquod de-

ΞΕΝΟΦΩΝΤΟΣ

ἢ διανεῖμαι, ἢ ἔργον ἀποδεῖξαι. Οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι
μαθεῖν, ὥστε τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει ἅμα τήν
τε γῆν ὁπόση ἐστὶν εἰδέναι, καὶ ὡς μετρεῖται ἐπιστάμενον
2 ἀπιέναι. Τὸ δὲ μέχρι τῶν δυσξυνέτων διαγραμμάτων γεω-
μετρίαν μανθάνειν ἀπεδοκίμαζεν· ὅ τι μὲν γὰρ ὠφελοίη
ταῦτα, οὐκ ἔφη ὁρᾶν· καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν. Ἔφη
δὲ ἱκανὰ αὐτὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν, καὶ ἄλλων d
3 πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν. Ἐκέλευε
δὲ καὶ ἀστρονομίας ἐμπείρους γίγνεσθαι, καὶ ταύτης μέντοι
μέχρι τοῦ νυκτός τε ὥραν καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι
γινώσκειν, ἕνεκα τοῦ πορείας τε καὶ πλοῦ καὶ φυλακῆς, καὶ
ὅσα ἄλλα ἢ νυκτὸς ἢ μηνὸς ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ'
ἔχειν τεκμηρίοις χρῆσθαι, τὰς ὥρας τῶν εἰρημένων διαγινώ-
σκοντα. Καὶ ταῦτα δὲ ῥᾴδια μαθεῖν παρά τε νυκτοθηρῶν
καὶ κυβερνητῶν καὶ ἄλλων πολλῶν, οἷς ἐπιμελὲς ταῦτα εἰδέ- p. 744
4 ναι. Τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ
καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα, καὶ τοὺς πλανήτας καὶ

c 3. ἢ διανεῖμαι om. D. 4. ἀποδεῖξαι] ἀποδείξασθαι Xen. 5. μαθεῖν εἶναι] εἶναι μάθῃς B. εἶναι μαθεῖν C.F.G. 6. τήν τε] τήν γε D. 7. ἐπιστάμενος F. 8. ἀπιέναι] ἀνιέναι D. G.I. δυσξυνέτων et mox γεωμετρίαν om. B. Mox διὰ γρ. B.C.G. 11. ἄπειρός γε] ἄπειρός τε B.C.D.F.G.I. 12. ἀνθρώπου βίον] ἀνούβιον B. d 3. ἀστρονομίας] ἀστρολογίας Xen. ἐμπ. γίγνεσθαι] δὲ ἐμπ. γενέσθαι B. qui mox om. μέντοι. 8. χρῆσθαι] χρᾶσθαι B. 10. ῥᾴδιον] ῥᾴδια C.D.F.G.I.

p. 744. 2. μέχρι τοῦ—τῆς γῆς om. B. 4. πλανήτας] πλάνητάς τε Xen.

signare posset. Id porro tam esse ad discendum facile, ut qui dimensionem attendere voluerit, idem simul et quanta sit terræ magnitudo assequi possit, et quænam ejus metiendæ ratio breviter admodum expediteque
2 cognoscere. At ejusdem in geometriæ studio, ad illas usque descriptiones intellectu difficiliores quenquam progredi, Socrati non placebat. Cui enim bono futuræ illæ essent, videre se, tametsi ne illarum quidem imperitus esset, negabat. Enimvero, ad exhauriendam hominis vitam cum satis illas esse, tum aliarum interim et plurium et utiliorum doctrinarum studia im-
3 pedire. Astronomiam similiter eatenus complecti solum jubebat, ut noctis, mensis, annique tempora cognosceres, atque hujus cognitionis ope, si quando vel iter, vel navigatio suscipienda esset, vel agendæ forent excubiæ, vel in aliud quidlibet, quod noctis, mensis, annique spatio fieri solet, incumbendum, signis ad ea omnia suis quæque temporibus obeunda, certioribus uterere. Atqui hæc nihilo difficilius tam ex nocturnis venatoribus, quam ex navium gubernatoribus, et aliis quamplurimis resciri posse, a
4 quibus eorum peritiam suæ cujusque partes officiumque deposcat. At

Astronomiæ quatenus studendum.

ΞΕΝΟΦΩΝΤΟΣ

ἀσταθμήτους ἀστέρας γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς γῆς, καὶ τὰς περιόδους, καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντα κατατρίβεσθαι, ἰσχυρῶς ἀπέτρεπεν. Ὠφέλειαν μὲν γὰρ οὐδεμίαν οὐδ' ἐν τούτοις ἔφη ὁρᾶν· καίτοι οὐδὲ τούτων γε ἀνήκοος ἦν. Ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν
5 ἀνθρώπου βίον, καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν. Ὅλως δὲ τῶν οὐρανίων ᾗ ἕκαστα ὁ θεὸς μηχανᾶται, φροντιστὴν γί- b γνεσθαι ἀπέτρεπεν· οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶναι, οὔτε χαρίζεσθαι θεοῖς ἂν ἡγεῖτο τὸν ζητοῦντα, ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ ἐβουλήθησαν. Κινδυνεῦσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι τὸν ταῦτα μεριμνῶντα, οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν, ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν
6 θεῶν μηχανὰς ἐξηγεῖσθαι. Ἐκεῖνος γὰρ λέγων μὲν τὸ αὐτὸ εἶναι πῦρ τε καὶ ἥλιον, ἠγνόει ὅτι τὸ μὲν πῦρ οἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν· c καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμπόμενοι τὰ χρώματα μελάντερα ἔχουσιν, ὑπὸ δὲ τοῦ πυρός, οὔ. Ἠγνόει δὲ καὶ ὅτι τῶν

a 4. ἀσταθμήτους] ἀνασταθμήτους C. πλ. ἐπὶ ἀνασταθμήτους F.G. 6. τὰς περ.] τὰς om. F. 8. οὐδ' ἐν τ.] οὐδεμίαν ἔφη ἐν τοῖς τούτοις B. 9. καί τοι] καί γε C. καίτοι γε B. om. γε paullo infra. 11. πολλῶν καὶ] καὶ om. F. 12. ᾗ] οἷ I. b. γίγνεσθαι] γενέσθαι B. γίν. C.F.G. 2. ἀνθρώποις αὐτὰ] αὐτὰ ἀνθ. ἐνόμιζον (-ζεν F.) C.F.G. 3. ἂν ἡγεῖτο] ἡγοῖτο ἂν D. 4. ἐβουλ.] ἠβουλ. C. 9. ἐκεῖνος—ἀπόλλυται om. B. λέγων μὲν] μὲν om. C. 11. δύνανται] δύναται C.F.G.

eandem artem eo usque persequi, dum ea quæ non eodem motu circumferantur, stellasque simul errantes et vagas distinguere noveris, adeoque in earum abs terra intervallis, conversionibus, caussisque rimandis ætatem viresque consumere; id vero graviter in primis ac serio prohibebat, quod nullum hujus etiam operæ pretium videret, tametsi ne in istis quidem rebus hospes ipse ac peregrinus esset. Addebat, conficiendæ hominis vitæ illas quoque satis futuras, quæ interim a pluribus utilioribusque studiis
5 avocarent. Postremo quibus cœlestia quæque numen rationibus moderetur, investigari nolebat, quod cum eo ab hominibus aspirari non posse, tum minus eum diis probari existimaret, qui quæ prompta notaque esse noluissent, inquireret. Nec minus illi, quem ea vehementius cura distineret, insaniæ periculum imminere dicebat, quam Anaxagoræ, qui explicatas abs
6 se deorum machinas tantopere gloriabatur. Quippe, dum ignem atque solem idem esse diceret, nesciebat utique, ignem homines videre perfacile, solem tamen adversum intueri non posse: qui in sole apricantur, eos colorem inde nigriorem contrahere, qui ex igne non sequatur: eorum quæ

ΞΕΝΟΦΩΝΤΟΣ

ἐκ τῆς γῆς φυομένων ἄνευ μὲν ἡλίου αὐγῆς οὐδὲν δύναται
καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα πάντα ἀπόλ-
λυται· φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον εἶναι, καὶ τοῦτο
ἠγνόει, ὅτι λίθος μὲν ἐν πυρὶ ὢν οὔτε λάμπει, οὔτε πολὺν
χρόνον ἀντέχει· ὁ δὲ ἥλιος πάντα τὸν χρόνον πάντων λαμ-
7 πρότατος ὢν διαμένει. Ἐκέλευε δὲ καὶ λογισμοὺς μαν-
θάνειν· καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάτ- d
τεσθαι τὴν μάταιον πραγματείαν· μέχρι δὲ τοῦ ὠφελίμου
πάντα καὶ αὐτὸς συνεσκόπει καὶ συνδιεξῄει τοῖς συνοῦσι.

Ταῦτα Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν. Ἐν Ἐπι-
στολῇ δὲ ὁ αὐτὸς τῇ πρὸς Αἰσχίνην περὶ Πλάτωνος καὶ
τῶν αὐχούντων τὴν τοῦ παντὸς φυσιολογίαν τοιαῦτα
γράφει·

12 Ὅτι μὲν γὰρ τὰ θεῖα ὑπὲρ ἡμᾶς, παντὶ δῆλον· ἀπόχρη δὲ p. 745
[435] τῷ κρείττονι τῆς δυνάμεως αὐτοὺς σέβειν· οἷοι δέ εἰσιν, οὔτε
εὑρεῖν ῥᾴδιον, οὔτε ζητεῖν θεμιτόν. Οὐδὲ γὰρ δεσποτῶν b

c 11. λαμπρότατος] λαμπρότερος B. δὲ καὶ] καὶ om. B.C.F.G. d. μάταιον] ματαίαν B. 4. συνοῦσι] συνιοῦσι B.F.G. Seqq. om. B. ἐν Ἀπομ.] ἐν τοῖς Ἀπομ. D. 5. Ἐπιστολῇ τῇ πρὸς Αἰσχίνην] De hac Epistola legendus Bentleius Diss. de Epistolis Socratis p. 111=413. 7. τοιαῦτα] τοιάδε C.

p. 745. 6. τῷ κρείττονι] τὸ κρεῖττον Stobæus 80, 12. et mox αὐτοῦ. 7. οἷοι] οἱ Stob. et mox ῥᾴδιοι. 8. οὔτε ζητεῖν] οὔτ' εἰπεῖν B.

nascantur e terra, sine solis splendore augeri crescereque nihil, nihil contra non ignis ardore languescere. Idem præterea solem ignitum lapidem esse cum diceret, non videbat, lapidem in ignem conjectum nec fulgere, nec diu resistere; solem ex omni ævo suum illum splendorem, quo cuncta superat,
7 constantem perennemque retinere. Suis etiam auctor erat, ut in computandi arte discenda, perinde ut in aliis inanem ac supervacaneam operam caverent. Id quod in primis ab eo servabatur, qui commentationes ac disputationes suas omnes, quas cum discipulis habebat suis, unius utilitatis finibus includebat.

Hactenus Xenophon in Memorabilibus. Idem epistola quadam ad Æschinem scripta, de Platone, deque iis, qui suam in explicanda universi natura physiologiam venditabant, hæc habet:

12 Captum, inquit, nostrum a rebus divinis superari nemo non videt. Satis autem nobis fuerit, eas quanta possumus maxima pietate venerari: cujusmodi vero sint, nec assequi facile est, nec fas investigare. Nec enim

ΞΕΝΟΦΩΝΤΟΣ

φύσιν ἢ πρᾶξιν δούλοις εἰδέναι πλέον ὑπηρεσίας προσήκει. Καὶ τὸ μέγιστον, ὅσῳ χρὴ ἄγασθαι τἀνθρώπινα διαπονουμένων, τοσῷδε τοῖς δόξης ἐκ πολλῶν ἀκαίρων καὶ κενῶν γλιχομένοις ἄχθος φέρει. Πότε γὰρ, ὦ Αἰσχίνη, Σωκράτους ἀκήκοέ τις οὐρανίων πέρι λέγοντος, ἢ γραμμὰς εἰς ἐπανόρθωσιν παραινοῦντος μανθάνειν; Μουσικὴν μὲν γὰρ ἴσμεν αὐτὸν μέχρι ὤτων συνιέντα· διετέλει δὲ ἑκάστοτε αὐτοῖς λέγων τί καλὸν, καὶ τί ἀνδρία δικαιοσύνη τε καὶ ἄλλαι ἀρεταί· ἀνθρώ- c πινα γοῦν αὐτὰ ἀγαθὰ ἐκάλει· τὰ δ' ἄλλα, ἢ ἀδύνατον ἀνθρώποις ἁλῶναι ἔφασκεν, ἢ μύθων εἶναι συγγενῆ, μετ' ὀφρύος σοφιστῶν παίγνια διεξιόντων. Καὶ οὐκ ἔλεγε μὲν ταῦτα, οὐχὶ δὲ ἔπραττε. Γράφειν δὲ τὰ πραχθέντα εἰδότι σοι, καίπερ οὐκ ἀηδὲς ἐσόμενον, χρόνον ἔχει, ἀνέγραψά τε ἄλλοθι. Παυσάσθωσαν οὖν ἐλεγχόμενοι, ἢ πρὸς τὸ εἰκὸς ἴτωσαν, οἷς

b. δούλους δεῖ εἰδέναι οἷς οὐδὲν π. ὑ. π. Stob. qui om. καὶ τὸ μ.—φέρει. 2. ὑπηρεσίας] ὑπ. τρόπον B. qui om. προσήκει—φέρει. 3. ὅσῳ] ὅσον C.F.G. ἄγασθαι] ἄγεσθαι D. διαπονουμένων] διαπονουμένῳ C.E. G.I. 4. τοῖς δόξης] ταῖς δόξαις C.D.F.G. τοῖς δόξαις I. 5. ἀκαίρων καὶ κενῶν] ἀκαίροις καὶ κεναῖς C.D.F.G. ἀκαίροις καὶ κενοῖς E.I. 6. ὦ] εἶναι B. 8. Μουσικὴν] Μουσικῆς Stob. 11. ἀνδρία] ἀνδρεία B. ἀνδρείαν D. ἄλλαι] αἱ ἄλλαι Stob. c. γὰρ] γοῦν B.C.D. F.G. Stob. τὰ δ' ἄλλα—ἄλλοθι om. B. τί δ' ἄλλα D. 2. ἀδύνατον] ἀδύνατα D. Stob. 3. ὀφρύος] ὀφρύων D. ὀφρύστος F. 4. παίγνια om. Stob. 5. οὐχὶ δὲ ἔπραττε] οὐκ ᾔδει δὲ πράττειν Stob. qui om. γράφειν—ἄλλοθι. γράφειν δὲ om. D. 8. πρὸς—ἴτωσαν] ἢ πρὸς—ἴσως ἂν Stob. 9. εἰκὸς] εἰκὸς δὲ C.F.G. οἷς] οὓς C.F.G. In B. mox om. τὸ δὲ καλὸν usque ad fin. cap.

servis licet herorum aut ingenium, aut rationes tenere, nisi quatenus ad obsequium necesse sit. Quodque maximum est, quo majorem ii laudem merentur, qui rerum humanarum tractationem suscipiunt, eo gravius in alios pondus incumbit, qui ex alienis inutilibusque permultis gloriam aucupantur. Quis enim, mi Æschines, Socratem unquam audivit, aut cœlestibus de rebus disputantem, aut corrigendis moribus linearum figuras discere suadentem? Nam musicæ quidem, aurium tenus peritum illum fuisse constat. At vero inter suos perpetuo, de honesto, fortitudine, justitia, cæterisque virtutibus disserebat. Enimvero bona hæc proprie humana vocabat; cætera vel ab hominibus capi non posse, vel proxima fabulis esse dicebat, cujusmodi a sophistis ridicula pleraque cum supercilio tractari solerent. Nec aliter faciebat ipse quam loquebatur. Verum res ab eo gestas ad te, cui notæ satis illæ sunt, perscribi, ut injucundum tibi non esset, tamen et longioris id temporis fuerit, et jam ipsas alibi perscripsimus. Convicti ergo isti vel acquiescant penitus, vel æquitatis in

ΞΕΝΟΦΩΝΤΟΣ

Σωκράτης οὐκ ἤρεσεν, ᾧ ζῶντι μὲν ὁ θεὸς σοφίαν ἐμαρτύρησεν, οἱ δὲ κτείναντες τῆς μετανοίας ἀποκάθαρσιν οὐχ εὗρον. d
Τὸ δὲ καλὸν ἄρα, Αἰγύπτου ἠράσθησαν, καὶ τῆς Πυθαγόρα τερατώδους σοφίας, ὧν τὸ περιττὸν καὶ μὴ μόνιμον ἐπὶ Σωκράτει ἤλεγξεν ἔρως τυραννίδος, καὶ ἀντὶ διαίτης λιτῆς Σικελιῶτις γαστρὸς ἀμέτρου τράπεζα.

Ταῦτα Ξενοφῶν, τὸν Πλάτωνα αἰνιττόμενος. Ὁ δέ γε Πλάτων ἐν Πολιτείᾳ περὶ γυμναστικῆς καὶ μουσικῆς τάδ' ἱστορεῖ φάναι τὸν Σωκράτην·

ΠΛΑΤΩΝΟΣ

13 Τί ἂν οὖν εἴη, ὦ Γλαύκων, μάθημα ψυχῆς ὁλκὸν ἀπὸ τοῦ p. 746
γιγνομένου ἐπὶ τὸ ὄν; Τόδε δ' ἐννοῶ λέγων ἅμα· οὐκ ἀθλητὰς μέντοι πολέμου ἔφαμεν τούτους ἀναγκαῖον εἶναι νέους ὄντας; Ἔφαμεν γάρ. Δεῖ ἄρα καὶ τοῦτο προσέχειν τὸ μάθημα ὃ ζητοῦμεν πρὸς ἐκείνῳ. Τὸ ποῖον; Μὴ ἄχρηστον b
πολεμικοῖς ἀνδράσιν εἶναι. Δεῖ μέντοι, ἔφη, εἴπερ οἷόν τε. Γυμναστικῇ πη καὶ μουσικῇ ἔν γε τῷ πρόσθεν ἐπαιδεύοντο

c 9. ἤρεσεν] ἤρεσκεν F. Stob. d. Αἰγύπτου] Αἰγύπτου γὰρ Stob. necnon Theodoret. p. 25, 8. 175, 35. Mox Πυθαγόρου Stob. 3. ὧν] ὡς D.F.G. cum Steph. et al. Mutavit Vigerus. σωκράτην] σωκράτη C.D.F.G.I. et sic infra. Σωκράτει Stob. Theod.

p. 746. Τί ἂν οὖν] B. om. hinc usque ad ἐλέγομεν. 6. τόδε δ'] τὸ δ' C.I. Mox ἐννοῶν D. 7. μέντοι] μὲν D. τούτους] τοὺς τοιούτους C.F.G. b 3. ἔφη om. C.D.F.G.I. Mox οἴονται D. 4. πη] τῃ C. μὴν Plato.

partes aliquando concedant, quibus Socrates ille non placet, cui vivo sapientiæ testimonium deus ipse dedit, cujus necis auctores nullam pœnitendo sceleris expiandi rationem invenire potuerunt. Illud vero præclarum, quod Ægyptum isti, et prodigiosam Pythagoræ sapientiam adamarunt: quorum sane quam inanis et inconstans erga Socratem voluntas fuerit, amor ille tyrannidis, et pro tenui frugalique victu, Sicula mensa immoderato abdomini serviens, manifeste palamque convincit.

Hæc Xenophon, Platonem subobscure significans. At ipsemet Plato in Republica, quæ sequuntur de gymnasticæ ac musicæ artibus ab Socrate dicta commemorat:

Plato de Rep. p. 521.

13 Ecquod tandem, inquit, disciplinæ genus, mi Glauco, animum ab iis quæ fiunt ad id quod est traducere ac transferre possit? Mihi quidem illud, dum loquor, in mentem venit. Numquid nostros illos reipublicæ custodes, in bellica exercitatione jam usque ab adolescentia necessario versatos esse debere jam diximus? Diximus utique. Ergo præter illud, habeat hoc etiam necesse est disciplina quam quærimus. Quid tandem? Uti ne bellicosis hominibus inutilis ea sit. Necesse id vero, inquit, si modo fieri potest. Atqui gymnasticæ ac musicæ artibus illos ante jam erudiimus. Sic

2 ἡμῖν. Ἦν ταῦτα, ἔφη. Καὶ γυμναστικὴ μέν που περὶ ΠΛΑ-ΤΩ-ΝΟΣ
γιγνόμενον καὶ ἀπολλύμενον τετεύτακε, σώματος γὰρ αὔξης
καὶ φθίσεως ἐπιστατεῖ. Φαίνεται. Τοῦτο μὲν δὴ οὐκ ἂν εἴη
ὃ ζητοῦμεν μάθημα. Οὐ γάρ. Ἀλλ' ἄρα μουσικὴ ὅσην τὸ
3 πρότερον διήλθομεν; Ἀλλ' ἦν ἐκείνη γ', ἔφη, ἀντίστροφος c
τῆς γυμναστικῆς, εἰ μέμνησαι, ἔθεσι παιδεύουσα τοὺς φύλα-
κας, κατά τε ἁρμονίαν εὐαρμοστίαν τινὰ, οὐκ ἐπιστήμην,
παραδιδοῦσα, καὶ κατὰ ῥυθμὸν εὐρυθμίαν, ἔν τε τοῖς λόγοις
ἕτερα τούτων ἀδελφὰ ἔθη ἄττα ἔχουσα, καὶ ὅσοι μυθώδεις
τῶν λόγων καὶ ὅσοι ἀληθινώτεροι ἦσαν· μάθημα δὲ πρὸς
τοιοῦτόν τι ἄγον, οἷον σὺ νῦν ζητεῖς, οὐδὲν ἦν ἐν αὐτῇ.
4 Ἀκριβέστατα, ἦν δ' ἐγὼ, ἀναμιμνήσκεις με· τῷ γὰρ ὄντι
τοιοῦτον οὐδὲν εἶχεν. Ἀλλ', ὦ δαιμόνιε Γλαύκων, τί ἂν εἴη d
τοιοῦτον; Αἵ τε γὰρ τέχναι βάναυσοί που ἅπασαι ἔδοξαν
εἶναι. Πῶς δ' οὔ;

5 Εἶθ' ἑξῆς προϊὼν ἐπιλέγει,

Μή ποτ' αὐτῶν τι ἀτελὲς ἐπιχειρῶσιν ἡμῖν μανθάνειν οὓς θρέψομεν, καὶ οὐκ ἐξῆκον ἐκεῖσε ἀεὶ οἷ πάντας δεῖ ἀνήκειν,

b 5. γυμναστικὴ] γυμναστικὴν C.D.F.G. 7. τετεύκακε D. 10. μουσικὴν D. πρότερον] πρῶτον C.F.G. qui mox ἄλλην. c. τῆς γυμ.] τῆς om. F. c 6. ἄττα] αὐτὰ C.D.F.G.I. ἔφη Plato pro ἔθη. 8. τοιοῦτόν τι] τι om. I. ἄγον] ἀγαθὸν Plato. 9. σὺ νῦν om. D. νῦν om. E.F.G.I. d 7. δεῖ ἀνήκειν] δὴ αὖ ἥκειν C.D.E.F.G. δεῖ αὖ ἥκειν I. πάντα δεῖ ἀφήκειν Plato.

2 est, inquit. Gymnastica porro circa id quod oritur quodque interit tota
versatur, corporum enim incremento ac diminutioni præest. Certe. Non
est igitur ea disciplina, quam quærimus. Minime vero. An forte musica
3 illa sit, qua de superius loquuti sumus? At illa, inquit, si meministi, usum
habet gymnasticæ in dissimili genere simillimum: utpote quæ moribus
tantum reipublicæ custodes informet, atque ut in concentu fieri solet,
aptam quandam cohærentiam, ac persimilem numeris compositionem sup-
peditet, non veram propriamque scientiam; atque in ipso dicendi genere
alia quædam habeat moribus illis affinia, verasque narrationes a fabulosis
distinguat. Cæterum habet ea nihil, cujus nos cognitio ad aliquid per-
4 ducat ejusmodi, quod nunc abs te quæritur. Me vero, inquam, admodum
opportune mones: prorsus enim simile nihil habet. Sed, quid igitur,
optime Glauco, tale esse possit? Nam artes quidem omnes sordidæ nobis
et illiberales visæ sunt. Ac merito quidem.

5 Tum pluribus interjectis ita prosequitur:

Dabimus operam, inquit, ne qui a nobis educantur, aliquid ab iis hoc in Plato
genere perfectum minus maturumque doceantur; quodque non eo semper, de Rep.
p. 530.

ΠΛΑ-
ΤΩ-
ΝΟΣ

οἷον ἄρτι περὶ τῆς ἀστρονομίας ἐλέγομεν. Ἢ οὐκ οἶσθ' ὅτι
καὶ περὶ ἁρμονίας ἕτερον τοιοῦτον ποιοῦσι; Τὰς γὰρ ἀκουο-
μένας αὖ συμφωνίας καὶ φθόγγους ἀλλήλοις ἀναμετροῦντες
6 ἀνήνυτα, ὥσπερ οἱ ἀστρόνομοι ποιοῦσι. Νὴ τοὺς θεούς, ἔφη,
καὶ γελοίως γε, πυκνώματ' ἄττα ὀνομάζοντες καὶ παραβάλ- p. 747
λοντες τὰ ὦτα, οἷον ἐκ γειτόνων φωνὴν θηρευόμενοι, οἱ μέν
φασιν ἔτι κατακούειν ἐν μέσῳ τινὰ ἠχὴν καὶ σμικρότατον εἶναι
[436] τοῦτο διάστημα ᾧ μετρητέον, οἱ δ' ἀμφισβητοῦντες ὡς ὅμοιον
ἤδη φθεγγομένων, ἀμφότεροι ὦτα τοῦ νοῦ προστησάμενοι.
7 Σὺ μέν, ἦν δ' ἐγώ, τοὺς χρηστοὺς λέγεις τοὺς ταῖς χορδαῖς
πράγματα παρέχοντας καὶ βασανίζοντας, ἐπὶ τῶν κολλόπων
στρεβλοῦντας. Ἵνα δὲ μὴ μακροτέρα ἡ εἰκὼν γίγνηται,
πλήκτρῳ τε πληγῶν γιγνομένων καὶ κατηγορίας πέρι καὶ b
ἐξαρνήσεως καὶ ἀλαζονείας χορδῶν, παύομαι τῆς εἰκόνος, καὶ
οὔ φημι τούτους λέγειν, ἀλλ' ἐκείνους οὓς ἔφαμεν νῦν δὴ περὶ
8 ἁρμονίας εἰρῆσθαι. Ταὐτὸν γὰρ ποιοῦσι τοῖς ἐν τῇ ἀστρο-
νομίᾳ. Τοὺς γὰρ ἐν ταύταις ταῖς συμφωνίαις ταῖς ἀκουομέ-

d 9. τοιοῦτον] τι τοι. B. Mox γὰρ om. F. 11. ἀλλήλοις] ἀλλήλων B. qui mox πονοῦσι cum multis libris Platonis et G. ἀλλήλους D.I.
p. 747. ἐκ γειτ.] ἐν γειτ. C.F.G.I. 3. ἔτι] ὅτι B.C.D.F.G.I. 4. τοῦτο] τούτῳ C. Mox ᾧ μετρητέον om. B. 6. ἀμφότερα] ἀμφότεροι B.I. Viger. 9. ἐπὶ τῶν—ἀνιᾶσιν om. B. 10. καὶ στρεβ.] καὶ om. C.D.E.F.G.I. b 4. νῦν δὴ περὶ] δὴ νῦν τε C. νῦν δὲ περὶ D. δὴ νῦν περὶ F.G. εἰρῆσθαι] ἐρήσεσθαι Plato.

quo tendere omnes debeant, referatur, uti jamjam de astronomia dicebamus. Ignoras tu vero, simile quid aliud in harmonia homines istos agere? Quippe dum illos vocum sonorumque concentus, qui auribus percipiuntur, inter sese metiendo componunt, inutilibus in rebus, quemad-
6 modum et astronomi, studium operamque ponunt. Ita per deos, inquit; ac ridiculi plane sunt, dum frequentamenta nescio quæ nominant, admotisque auribus vocem quasi propius aucupantes: alii se in medio sonum aliquem exaudire, ac minimum illud, cujus in metiendo usus esse debeat, intervallum esse dictitant; alii vero dubitant, quasi a vocibus illis jam similis quidam sonus existat. In quo utrique menti aures anteponunt.
7 Tu vero, inquam, alios illos admodum utiles arbitraris, qui fides perpetuo vexant, distendunt, claviculisque contorquent? Verum ne longius hæc nos imago detineat, dum plectro pulsatæ fides aut affirmant, aut negant, aut superbius refragantur, mittam eam modo: tantum dicam non jam istos, sed alios illos potius, de quibus paulo ante loquebamur, musicæ præ-
8 ceptores deligendos esse. Nam isti quidem id ipsum quod astronomi

ΠΛΑΤΩΝΟΣ

ναις ἀριθμοὺς ζητοῦσιν, ἀλλ' οὐκ εἰς προβλήματα ἀνίασιν ἐπισκοπεῖν τίνες ξύμφωνοι ἀριθμοὶ, καὶ τίνες οὔ, καὶ διὰ τί ἑκάτεροι.

9 Ἀλλὰ γὰρ καὶ ταῦθ' ἡμῖν πρὸ ὁδοῦ κείσθω, ἀπολογουμένοις ὅτι μὴ δίχα διανοίας ὀρθῆς καὶ τῆς τῶν c
τοιῶνδε ἀχρηστομαθείας ὠλιγωρήσαμεν. Σκεψώμεθα δῆτα λοιπὸν ἤδη ἄνωθεν ἀρξάμενοι τὰς τῶν εἰρημένων φυσικῶν φιλοσόφων δογματικὰς πρὸς ἀλλήλους ἀντιδοξίας. Γράφει δὴ ἀθρόως ἁπάντων τῶν Πλατωνικῶν ὁμοῦ καὶ Πυθαγορείων τῶν τε ἔτι πρεσβυτέρων φυσικῶν φιλοσόφων ἐπικεκλημένων καὶ αὖ πάλιν τῶν νεωτέρων Περιπατητικῶν τε καὶ Στωϊκῶν καὶ Ἐπικουρείων τὰς δόξας συναγαγὼν ὁ Πλούταρχος, ἐν οἷς ἐπέγραψε Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις φυσικῶν δογμάτων, ἐξ d
ὧν παραθήσομαι ταῦτα·

ΠΛΟΥΤΑΡΧΟΥ

14 Θαλῆς ὁ Μιλήσιος, εἷς τῶν ἑπτὰ σοφῶν, ἀρχὴν τῶν ὄντων ἀπεφήνατο εἶναι τὸ ὕδωρ. Δοκεῖ δὲ ὁ ἀνὴρ οὗτος ἄρξαι τῆς

b 8. ἐπισκ.] καὶ ἐπισκ. B. c. τῆς τῶν] τῆς om. C.F.G. Mox ἀχρηστομυθίας B. 6. τῶν Πλατ.] τῶν om. B.C.F.G. 10. συναγαγὼν] ἀναγαγὼν B.C.F.G. 12. τοῖς φιλ.] φιλ. πᾶσι C. τοῖς om. F.G. pen. εἶναι om. Plut.

faciunt, dum ita concentus ejus qui aure percipitur numeros attendunt, ut nunquam ad veras illas quæstiones veniant, quinam e numeris inter se conveniant, quive secus; et quamobrem utrique tales habeantur.

9 Hactenus Plato. Atque hæc a nobis etiam præmissa sunto, ex quibus accusatores nostri intelligant, non sine maturo consilio nos inania rerum ejusmodi studia neglexisse. Jam vero pugnantia illa philosophorum, quos physicos vocant, decreta altius repetendo spectemus. Complectitur sane Plutarchus philosophorum simul omnium tam Platonicorum, quam Pythagoreorum, nec non antiquiorum etiam illorum, qui physici dicti sunt, unaque recentiorum, tam Peripateticorum, quam Stoicorum, et Epicureorum sententias, eo libro quem De philosophorum decretis ad res physicas pertinentibus conscripsit. Ego hæc tantum dabo:

14 Thales Milesius, inquit, septem sapientum unus, rerum principium aquam esse pronunciavit. Is et philosophiæ initium, et Ionicæ sectæ

Plutarch. Plac.Phil. p. 875.

ΠΛΟΥΤΑΡΧΟΥ

φιλοσοφίας, καὶ ἀπ' αὐτοῦ ἡ Ἰωνικὴ αἵρεσις προσηγορεύθη· p. 748 ἐγένοντο γὰρ πλεῖσται διαδοχαί. Φιλοσοφήσας δὲ ἐν Αἰγύπτῳ, πρεσβύτερος ἦλθεν εἰς Μίλητον. Ἐξ ὕδατός δέ φησι πάντα εἶναι, καὶ εἰς ὕδωρ πάντα ἀναλύεσθαι. Στοχάζεται δὲ ἐκ τούτου πρῶτον, ὅτι πάντων ζῴων ἡ γονὴ ἀρχή ἐστι, ὑγρὰ οὖσα· οὕτως εἰκὸς καὶ τὰ πάντα ἐξ ὑγροῦ τὴν ἀρχὴν ἔχειν. Δεύτερον, ὅτι πάντα τὰ φυτὰ ὑγρῷ τρέφεταί τε καὶ καρποφορεῖ, ἀμοιροῦντα δὲ ξηραίνεται. Τρίτον δέ, ὅτι καὶ αὐτὸ τὸ πῦρ τὸ τοῦ ἡλίου καὶ τῶν ἄστρων ταῖς τῶν ὑδάτων ἀναθυμιάσεσι τρέφεται, καὶ αὐτὸς ὁ κόσμος. Διὰ b τοῦτο καὶ Ὅμηρος ταύτην τὴν γνώμην ὑποτίθεται περὶ τοῦ ὕδατος,

Ὠκεανόν, ὅσπερ γένεσις πάντεσσι τέτυκται.

Ταῦτα μὲν ὁ Θαλῆς.

2 Ἀναξίμανδρος δὲ ὁ Μιλήσιός φησι, τῶν ὄντων τὴν ἀρχὴν εἶναι τὸ ἄπειρον· ἐκ γὰρ τούτου πάντα γίνεσθαι, καὶ εἰς τοῦτο πάντα φθείρεσθαι· διὸ καὶ γεννᾶσθαι ἀπείρους κόσμους,

p. 748. διαδοχαὶ φιλοσοφίας Plut. 3. ἐξ ὕδατος δὲ] ὃς ἐξ ὕδατος Plut. 5. πρῶτον] πρώτου B.C.F.G.I. 6. ἡ γονὴ] ὁ γονὸς B. ἀρχὴ ἐ.] ἐ. ἀρχὴ C.F.G. οὖσα] οὐσία C.D.F.G.I. 8. ὅτι πάντα] ὅτι om. B.C.F.G.I. ὑγρῷ] ἀγρῷ B. et mox ἀμυροῦντα. 11. τὸ τῶν] τὸ om. B.C.F.G.I. Mox τοῦ ὕδατος C.F.G. b. γένεσιν] γνώμην B.C.D.F.G.I. 3. ὠκεανὸν] ὠκεανὸς B. qui ὅπερ γένεσιν. 5. ταῦτα μ. ὁ Θαλῆς om. Plut. 6. φησὶ om. F. 7. τούτων F.G.

nomen dedisse videtur, a quo plures deinceps successiones propagatæ sunt. Idem post navatam in Ægypto philosophiæ operam, Miletum rediit jam senior. Porro, ut ex aqua nata esse omnia, et in aquam omnia dissolvi statuat, his conjecturis adducitur. Primum, semen animantium omnium principium, humidum est: probabile igitur est ex humore omnia principium ducere. Deinde, humore stirpes aluntur omnes: ex eo fœcunditatem hauriunt: eo si careant, exarescunt. Tertio, ipse quoque solis ac reliquorum astrorum ignis, mundusque adeo totus aquarum exhalationibus alitur. Itaque Homerus etiam hos rerum ortus aquæ proprios esse ponit, hoc versu,

Oceanum cunctis præbentem exordia rebus.

Hæc Thales.

2 Anaximander itidem Milesius, rerum principium esse vult infinitum. Quippe cum inde nasci omnia, tum eodem omnia redire, dum intereunt. Quare mundos infinitos generari vicissim, ac vicissim in illud intereundo

ΠΛΟΥΤΑΡΧΟΥ

καὶ πάλιν φθείρεσθαι εἰς τὸ ἐξ οὗ γίνεται. Λέγει δ' οὖν, διότι τὸ ἀπέραντόν ἐστιν, ἵνα μηδὲν ἐλλείπῃ καὶ ἡ γένεσις ἡ ὑφισταμένη. Ἁμαρτάνει δὲ καὶ οὗτος, μὴ λέγων τί ἐστι τὸ c ἄπειρον, πότερον ἀήρ ἐστιν, ἢ ὕδωρ, ἢ γῆ, ἢ ἄλλα τινὰ σώματα· ἁμαρτάνει οὖν τὴν μὲν ὕλην ἀποφαινόμενος, τὸ δὲ ποιοῦν αἴτιον ἀναιρῶν. Τὸ γὰρ ἄπειρον οὐδὲν ἄλλο ἢ ὕλη ἐστίν· οὐ δύναται δὲ ἡ ὕλη εἶναι ἐνεργείᾳ, ἐὰν μὴ τὸ ποιοῦν ὑπόθηται.

3 Ἀναξιμένης δὲ ὁ Μιλήσιος ἀρχὴν τῶν ὄντων τὸν ἀέρα ἀπεφήνατο· ἐκ γὰρ τούτου πάντα γίνεσθαι, καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι. Οἷον ἡ ψυχὴ, φησὶν, ἡ ἡμετέρα, ἀὴρ ἐστι· συγκρατεῖ γὰρ ἡμᾶς· καὶ ὅλον δὲ τὸν κόσμον πνεῦμα d καὶ ἀὴρ ἐμπεριέχει· λέγεται δὲ συνωνύμως ἀὴρ καὶ πνεῦμα. Ἁμαρτάνει δὲ καὶ οὗτος, ἐξ ἁπλοῦ καὶ μονοειδοῦς ἀέρος καὶ πνεύματος δοκῶν συνεστάναι τὰ ζῷα. Ἀδύνατον γὰρ ἀρχὴν [437] μίαν τὴν ὕλην τῶν ὄντων ὑποστῆναι· ἀλλὰ καὶ τὸ ποιοῦν αἴτιον χρὴ τιθέναι. Οἷον, οὐκ ἄργυρος ἀρκεῖ πρὸς τὸ ἔκπωμα

b 9. εἰς τὸ] εἰς om. B.C.E.F. 10. ἄπειρον] ἀπέραντον B.C.D.E. F.G.I. 11. μηδὲν] μηδὲ ἓν B.I. c 4. ἀποφαινόμενος] ἀποφηνάμενος B. 6. ἡ ὕλη ἐστίν] ἔστιν ἡ ὕ. B. Mox ἐνέργεια D. ἐνεργείᾳ edd. 9. τὰ πάντα] τὰ om. B.C.D.F.G.I. d. λέγεται δὲ σ.] σ. δὲ λέγ. B. 4. συνιστάναι] ἑστᾶναι B. συνεστάναι D.F. Plut. 6. ὑποστῆναι] ὑποστῆσαι D.F.G.I. 7. οὐκ ἄργ.] οὐκ om. B.C.D.E.F.G.I. qui mox οὐ pro ἀρκεῖ.

dissolvi, ex quo primum extiterint. Enimvero infinitum esse propterea docet, ne quid unquam deficiat, ac rerum ortus aliquid semper habeat quo nitatur. Sed hoc peccat ille, quod infinitum quid sit non aperiat; utrum aër, an aqua, vel terra, vel alia quædam corpora. Peccat præterea, dum materiam ita ponit, ut caussam tollat efficientem. Nam infinitum quidem aliud nihil quam materia est: materia vero, nisi caussa efficiens adfuerit, re ipsa et actu esse non potest.

3 Anaximenes indidem Mileto, aërem ejusmodi principium esse docuit: ex eo enim cuncta nasci, in eumque vicissim cuncta dissolvi. Nam animus, inquit, noster exempli caussa, aër est, nosque fovet ac tuetur; cunctumque adeo mundum spiritus aërque complectitur. Est autem spiritus eadem aërisque significatio. At peccat etiam hic, dum ex simplici et formæ unius aëre ac spiritu, ipsas etiam animantes constare vult. Nec enim fieri potest, ut materia una rerum principium sit; accedat necesse est caussa efficiens. Argentum exempli gratia, ut existat poculum, satis per sese non est, nisi

ΠΛΟΥΤΑΡΧΟΥ

γενέσθαι, ἐὰν μὴ τὸ ποιοῦν ᾖ, τοῦτ' ἔστιν ὁ ἀργυροκόπος· ὁμοίως καὶ ἐπὶ τοῦ χαλκοῦ, καὶ ξύλων, καὶ τῆς ἄλλης ὕλης.

4 Ἡράκλειτος καὶ Ἵππασος ὁ Μεταποντῖνος, ἀρχὴν τῶν πάντων τὸ πῦρ. Ἐκ τοῦ πυρὸς γὰρ τὰ πάντα γίνεσθαι, καὶ εἰς πῦρ πάντα τελευτᾶν λέγουσι· τούτου δὲ κατασβεν- p. 749 νυμένου, κοσμοποιεῖσθαι τὰ πάντα. Πρῶτον μὲν γὰρ τὸ παχυμερέστατον αὐτοῦ εἰς αὐτὸ συστελλόμενον γῆ γίγνεται· ἔπειτα ἀναχαλωμένην τὴν γῆν ὑπὸ τοῦ πυρὸς φύσει ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δὲ ἀέρα γίνεσθαι. Πάλιν δὲ τὸν κόσμον καὶ πάντα τὰ σώματα, ὑπὸ πυρὸς ἀναλοῦσθαι [ἐν τῇ] ἐκπυρώσει· ἀρχὴ οὖν τὸ πῦρ, ὅτι ἐκ τούτου τὰ πάντα, τέλος δὲ καθότι εἰς τοῦτο ἀναλύεται τὰ πάντα.

5 Δημόκριτος, ᾧ μετὰ πλεῖστον Ἐπίκουρος ἠκολούθησεν, ἀρχὰς τῶν ὄντων, σώματα ἄτομα, λόγῳ δὲ θεωρητὰ, ἀμέ- b τοχα κενοῦ, ἀγέννητα, ἀΐδια, ἄφθαρτα, οὐδὲ θραυσθῆναι δυνάμενα, οὔτε διαπλασμὸν ἐκ τῶν μερῶν λαβεῖν, οὔτε ἀλλοιωθῆναι, εἶναι δ' αὐτὰ λόγῳ θεωρητὰ, ταῦτα μέντοι κινεῖσθαι

d 8. γενέσθαι] γίνεται B.C.F.G.I. 9. ὁμοίως] ὁμοίως δὲ B. 10. Ἡράκλειτος—τὰ πάντα om. B. 11. ἀρχὴ F.G.
p. 749. 2. γὰρ τὸ] γὰρ om. C. 3. αὐτὸ συστελλόμενον] αὐτὸ στελλόμενον D.F.G.I. 5. ἀποτ.] ὑποτ. D. 8. ἐν τῇ ἐκπ.] ἐν τῇ om. C. D.E.F.G.I. 9. ὅτι] καθότι C.D.E.F.G.I. b 3. ἀΐδια ἄφθαρτα] ἀδιάφθαρτα B.C.F.G.I. Stobæus. ἀΐδια om. E. 4. διαπλασμὸν] διπλάσιον B.C.D.F.G.I.

faber argentarius effector accesserit: idemque de ære, lignis, cæteraque materia statuendum.

p. 877 c. 4 Heraclitus et Hippasus Metapontinus, hunc igni principatum attribuunt. Nam ex igne oriri omnia, et in ignem omnia desinere confirmant. Quippe dum extinguitur, partes inde mundi omnes existere. Primum enim quod in eo crassissimum est, compressum et collectum in sese, terram fieri: deinde terram, cum ignis vi solvitur, in aquam effluere: quod autem exspirat, abire in aërem: rursus vero mundum corporaque omnia in conflagratione, ignis ardore consumenda. Ignis igitur et principium est, quod ex eo prodeant omnia, et finis, quod in eundem omnia dissolvantur.

5 Democritus, quem Epicurus longo deinceps intervallo sequutus est, rerum principia statuebat corpora quædam individua, quæ ratione caperentur, vacui haberent nihil, sine ortu, sine interitu, sempiterna, quæ nec frangi, nec multis e partibus conformari, nec omnino mutari, sed mente sola videri possent. Eadem tamen in inani, ac per inane ferri, quod ipsum

ΠΛΟΥΤΑΡΧΟΥ

ἐν τῷ κενῷ, καὶ διὰ τοῦ κενοῦ· εἶναι δὲ καὶ αὐτὸ τὸ κενὸν ἄπειρον, καὶ τὰ σώματα ἄπειρα. Συμβεβηκέναι δὲ τοῖς σώμασι τρία ταῦτα, σχήματα, μέγεθος, βάρος· ἀλλ' ὁ μὲν c Δημόκριτος ἔλεγε δύο, μέγεθος καὶ σχῆμα· ὁ δὲ Ἐπίκουρος τούτοις καὶ τρίτον βάρος προσέθηκεν. Ἀνάγκη γάρ φησι, κινεῖσθαι τὰ σώματα τῇ τοῦ βάρους πληγῇ, ἐπεὶ οὐ κινηθήσεται. Εἶναι δὲ τὰ σχήματα τῶν ἀτόμων περιληπτὰ, οὐκ ἄπειρα· μὴ γὰρ εἶναι μήτε ἀγκιστροειδεῖς, μήτε τριαινοειδεῖς, μήτε κρικοειδεῖς· ταῦτα γὰρ τὰ σχήματά ἐστιν εὔθραυστα, αἱ δὲ ἄτομοι ἀπαθεῖς, ἄθραυστοι· ἴδια δὲ ἔχειν σχήματα λόγῳ θεωρητά. Καὶ εἴρηται ἄτομος, οὐχ ὅτι ἐστὶν ἐλα- d χίστη, ἀλλ' ὅτι οὐ δύναται τμηθῆναι, ἀπαθὴς οὖσα καὶ ἀμέτοχος κενοῦ· ὥστε ἐὰν εἴπῃ ἄτομον, ἄθραυστον λέγει, ἀπαθῆ, ἀμέτοχον κενοῦ. Ὅτι δέ ἐστιν ἄτομος, σαφές· καὶ γάρ ἐστι στοιχεῖα, καὶ ζῷα κενὰ, καὶ ἡ μόνας.

6 Ἐμπεδοκλῆς Μέτωνος, Ἀκραγαντῖνος, τέτταρα μὲν στοιχεῖα, πῦρ, ἀέρα, ὕδωρ, γῆν, δύο δὲ ἀρχὰς καὶ δυνάμεις, φιλίαν

b 7. κενῷ καὶ om. D. 8. αὐτὸ τὸ om. D. τὰ σώματα] ἀσώματα F. 9. συμβεβηκέναι] συμβεβληκέναι F. c. δύο et mox καὶ τρίτον om. B. δύο om. E.F.G. 3. προσέθηκεν] προστέθεικεν C.F.G. 5. αὐτῶν] τῶν C. F.G.I. 7. τριαινοειδεῖς] τριηροειδεῖς B.F.G. τρικοειδεῖς D. τρικροηδεῖς I. 9. εὔθραυστα] ἄθραυστα B. qui om. ἀπαθεῖς—μονάς. εὔθραστα F. 10. δὲ om. E. d 3. εἴπῃ] εἴποι D. 6. Μέτωνος] Addunt B.C.D.E.F.G.I. πολιστὴς Σικελίας. 8. γῆν] καὶ γῆν B. ἀρχικὰς] ἀρχὰς καὶ B.C.D. E.F.G.I. ἀρχικὰς Plutarchus.

et infinitum sit, et infinita ejusmodi corpuscula complectatur. In iis tria hæc inesse, figuram, magnitudinem, et pondus, ex quibus priora illa duo, magnitudinem et figuram Democritus posuerat; tertium, id est pondus, Epicurus adjecit. Corpora enim quæ moventur, inquit, suum quæque pondus impellat necesse est, alioqui nunquam moverentur. Atomorum porro figuras certo numero comprehensas, non infinitas esse; nec enim aut hamorum, aut tridentium, aut annulorum similes esse; cum eæ figuræ frangi facile, atomi, nec frangi, nec detrimenti genus ullum subire possint. Figuras igitur proprias habere, quas ratio percipiat. Et vero atomum appellari, non quod minimum quiddam sit, sed quod secari, utpote nec patibilis, nec ullo modo vacua, non possit. Ita qui atomum dicat, rem ab eo dici, quæ nec frangi queat, nec perpessionis quicquam aut inanis subire. Esse vero atomos vel ex eo liquere, quod elementa perpetua, quod inanes animantes, et unitatem esse constet.

6 Empedocles Metonis filius, Agrigentinus, elementa quatuor, ignem, aërem, aquam, et terram, principia duo, amicitiam et contentionem as-

ΠΛΟΥΤΑΡΧΟΥ

τε καὶ νεῖκος, ὧν ἡ μέν ἐστιν ἑνωτικὴ, τὸ δὲ, διαιρετικόν. Φησὶ δὲ οὕτως,

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς,
Νῆστίς θ', ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.

Δία μὲν γὰρ λέγει, τὴν ζέσιν καὶ τὸν αἰθέρα· Ἥραν δὲ φε- p. 750
ρέσβιον, τὸν ἀέρα· τὴν γῆν, τὸν Ἀϊδωνέα· Νῆστιν δὲ, καὶ κρούνωμα βρότειον, οἱονεὶ τὸ σπέρμα καὶ τὸ ὕδωρ.

7 Τοσαύτη μὲν ἡ τῶν πρώτων φυσικῶν φιλοσόφων διαφωνία· τοιαύτη δὲ αὐτῶν καὶ ἡ περὶ ἀρχῶν δόξα, οὐ θεὸν, οὐ ποιητὴν, οὐ δημιουργὸν, οὐδέ τι τῶν ὅλων αἴτιον, οὐδὲ μὴν θεοὺς, οὐδ' ἀσωμάτους δυνάμεις, οὐ νοερὰς φύσεις, οὐ λογικὰς οὐσίας, οὐδ' ὅλως τι τῶν
8 ἐκτὸς αἰσθήσεων ἐν ταῖς ἀρχαῖς ὑποθεμένων. Μόνος δ' οὖν πρῶτος Ἑλλήνων Ἀναξαγόρας μνημονεύεται ἐν b
τοῖς περὶ ἀρχῶν λόγοις νοῦν τὸν πάντων αἴτιον ἀποφήνασθαι. Φασὶ γοῦν ὡς ἄρα οὗτος μάλιστα παρὰ

d 9. ἡ μὲν] ὁ μὲν B. 10. ἑνωτικὴ] ἑνωτικὸς B. 11. πρῶτον ἄκουε om. B. τῶν πρώτων ῥιζώ. πάντων et corr. πρῶτον D. 13. αἰθὴρ] ἄρης B.C.D.E.F.G.I. Hinc reposui ἀργὴς cum Stobæo.

p. 750. 6. αὐτῶν om. h. l. B. qui addit καὶ αὐτῶν post ἀρχῶν. 8. ἀσωμάτους] ἀσωμάτων C. 10. αἰσθήσεων om. B. αἰσθήσεως C.F.G. 11. μόνος δ' οὖν—ἤγαγε om. B. b 2. τῶν πάντων] τὸν πάντων C. 4. μάλιστα in D. post αὐτοῦ.

signat, et amicitiam quidem uniendi, contentionem dirimendi vim habere docet, his versibus,

Rerum radices in primis quatuor audi.
Jupiter ætherius, vitalis Juno, profundi
Pluto pater, Nestis lacrymas mortalibus ultro
Infundens scatebris.

Quippe Jovis nomine ardorem atque ætherem, Junonis vitalis aërem, Plutonis terram, Nestis denique scatebræque mortalis, semen et aquam significat.

7 Ea primorum physicorum dissensio fuit, ea de principiis opinio, qui non deum, non effectorem, non molitorem ullum, non aliquem universitatis auctorem, imo, ne deos quidem, nec incorporeas, spiritales, rationisque participes naturas, denique nihil omnino quod sen-
8 suum fines captumque superet, in principiis numerarunt. Sane Græcorum omnium principem Anaxagoram, in suis de principiis disputationibus, mentem rerum universarum caussam posuisse ferunt. Et

τοὺς πρὸ αὐτοῦ ἐθαύμασε φυσιολογίαν· μηλόβοτόν γε τοι τὴν ἑαυτοῦ χώραν δι' αὐτὴν εἴασε, τόν τε περὶ ἀρχῶν λόγον πρῶτος Ἑλλήνων διήρθρωσεν. Οὐ γὰρ μόνον περὶ τῆς πάντων οὐσίας ἀπεφήνατο, ὡς οἱ πρὸ αὐτοῦ,
9 ἀλλὰ καὶ περὶ τοῦ κινοῦντος αὐτὴν αἰτίου. Ἦν γὰρ ἐν ἀρχῇ, φησὶν, ὁμοῦ τὰ πράγματα πεφυρμένα· νοῦς δὲ
[438] εἰσελθὼν αὐτὰ ἐκ τῆς ἀταξίας εἰς τάξιν ἤγαγε. Θαυμάσαι δ' ἐστὶν, ὡς οὗτος πρῶτος παρ' Ἕλλησι τοῦτον c
θεολογήσας τὸν τρόπον, δόξας Ἀθηναίοις ἄθεος εἶναι, ὅτι μὴ τὸν ἥλιον ἐθεολόγει τὸν δὲ ἡλίου ποιητὴν, μικροῦ
10 δεῖν καταλευσθεὶς ἔθανε. Λέγεται δὲ μηδὲ οὗτος σῶον φυλάξαι τὸ δόγμα. Ἐπιστῆσαι μὲν γὰρ νοῦν τοῖς πᾶσι, οὐκέτι δὲ κατὰ νοῦν καὶ λογισμὸν τὴν περὶ τῶν ὄντων ἀποδοῦναι φυσιολογίαν. Ἐπάκουσον δ' οὖν οἷα ὁ Σωκράτης ἐν τῷ Πλάτωνος Περὶ ψυχῆς αἰτιᾶται τὸν ἄνδρα ἐν τούτοις·

b 5. φυσιολογίαν] φιλοσοφίαν I. 6. ἑαυτοῦ] αὐτοῦ C. 10. αὐτὴν] αὐτὸν D. c 5. μηδὲ] μὴ B.C.F.G. ἐπιστῆσαι—φυσιολογίαν om. B. 6. νοῦν] τὸν νοῦν F.G. 8. ἐπάκουσον] ἄκουσον γοῦν B. δ' οὖν om. D. οἷα] οἷς I.

vero superiores omnes quantum is physiologiæ studio superarit, vel ex eo intelligi quod agros ipse suos magnitudine pastionis uberrimos ejus amore reliquerit, Græcorumque primus de principiis enucleate disputarit. Nec enim tantum de natura rerum omnium, ut superiores illi, sed etiam de caussa quæ illam moveat, pronuntiavit.
9 Erant enim, inquit ille, initio cuncta permixta. Mens autem ea permeans, in ordinem ex illa perturbatione digessit. In quo sane permirum illud est, qui princeps apud Græcos eam theologiæ rationem intulerat, eum Atheniensibus, quod non jam solem, at solis ipsius effectorem deum statueret, atheum esse visum, ac propterea
10 parum abfuisse, quin ab iis lapidibus necaretur. Verumtamen ne ipse quidem sanum illud suum dogma retinuisse fertur. Mentem enim cunctis ita præfecisse, ut tamen de rerum natura ex mentis rationisque regula minime disputaret. Enimvero audi sis, quænam ipsi hoc in genere, in dialogo Platonis De animo, a Socrate vitio tribuantur :

ΠΛΑΤΩΝΟΣ

15 Ἀλλʼ ἀκούσας μέν ποτε ἐκ βιβλίου τινὸς, ὡς ἔφη, Ἀνα- d
ξαγόρου ἀναγινώσκοντος, καὶ λέγοντος ὡς ἄρα νοῦς ἐστιν ὁ
διακοσμῶν τε καὶ πάντων αἴτιος, ταύτῃ δὴ τῇ αἰτίᾳ ἥσθην τε
καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων
αἴτιον, καὶ ἡγησάμην, εἰ τοῦτο οὕτως ἔχει, τόν γε νοῦν p. 751
κοσμοῦντα πάντα κοσμεῖν, καὶ ἕκαστον τιθέναι ὅπῃ ἂν βέλ-
2 τιστα ἔχῃ. Εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ
ἑκάστου, ὅπῃ ἢ γίνεται ἢ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ
αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτόν ἐστιν ἢ εἶναι ἢ ἄλλο
ὁτιοῦν πάσχειν ἢ ποιεῖν. Ἐκ δὴ τοῦ λόγου τούτου οὐδὲν
ἄλλο σκοπεῖν προσήκειν ἀνθρώπῳ καὶ περὶ αὐτοῦ καὶ περὶ
τῶν ἄλλων, ἀλλʼ ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον. Ἀναγ-
καῖον δὴ εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι· τὴν
3 αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. Ταῦτα δὴ λογι- b
ζόμενος ἄσμενος εὑρηκέναι ᾤμην διδάσκαλον τῆς αἰτίας περὶ
τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, τὸν Ἀναξαγόραν, καί μοι
φράσειν πρῶτον μὲν πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογ-

d 5. *μέν ποτε*] *μὲν* om. C.D.G.I. 9. *τὸ τὸν*] *τὸ* om. C.F.G. *τὸν* om. B. *ἔχειν τὸ* om. D. *τὸ τὸν νοῦν—ἔχει* om. I. qui mox om. *περὶ ἑκ.—εὑρεῖν*.

p. 751. 2. *καὶ ἕκαστον—ἔχῃ* om. B. *τιθέναι ὅπῃ ἂν*] *τιθέντα ὅπῃ* D.F.G. 3. *βέλτιστα ἔχῃ*] *βέλτιστον ἔχει* D. 4. *ὅπῃ*] *ὅποι* D. 6. *ἐστιν αὐτὸν*] *αὐτόν ἐστιν* C.F.G. Mox *ὁτοιοῦν* C. 7. *πάσχειν*] *ἢ π.* C. *ποιεῖν ἢ πάσχειν* F.G. Mox *τούτου τοῦ λ.* B. 8. *σκοπεῖν* om. I. qui mox *προσήκει*. *καὶ περὶ αὐτοῦ*] *περὶ ἀνθρώπου* B. b. *γὰρ* om. E. *εἶναι* om. I.

Plato Phæd. p. 97.

15 At vero, inquit ille, cum aliquem aliquando ex libro quodam, quem
Anaxagoræ esse dicebat, legentem audiissem, mentem omnium effectricem
regere ac moderari omnia, equidem hoc in caussæ genere summa cum
voluptate acquievi, quod ex eo, si verum modo esset, futurum putarem, uti
moderatrix illa mens cuncta disponeret, ac prout optimum singulis esset
2 futurum, suo quæque loco et ordine collocaret. Enimvero si caussam
nosse quis velit, quamobrem hoc eove modo singula vel nascantur, vel
intereant, vel omnino sint: de singulis etiam illi statuendum esse, quo
quæque modo vel futura sint optime, vel optime subitura quidlibet atque
factura. Quare, aliud homini aut de se ipso, aut de cæteris omnibus pervidendum
esse nihil, quam quid præstantissimum sit atque optimum:
simul tamen ei, quod deterrimum quoque sit, necessario cognoscendum
3 esse, quod eadem scientia in utroque versetur. Hæc mecum ipse reputans,
eum me aliquando præceptorem, qui mihi plane in caussa rerum
assignanda satisfaceret, Anaxagoram nactum esse, jucundissime cogitabam.
Ex eo quippe intellecturum me primum esse, utrum plana sit an

ΠΛΑΤΩΝΟΣ

γύλη, ἐπειδὴ δὲ φράσειεν, ἐπεκδιηγήσασθαι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην, λέγοντα τὸ ἄμεινον, καὶ ὅτι αὐτὴν ἄμεινον ἦν τοιαύτην εἶναι· καὶ εἰ ἐν μέσῳ φαίη εἶναι αὐτὴν, ἐπεκδιηγήσεσθαι ὡς ἄμεινον ἦν αὐτὴν ἐν μέσῳ εἶναι· καὶ εἴ μοι ταῦτα ἀποφαί- c νοιτο, παρεσκευάσμην ὡς οὐκέτι ποθεσόμενος αἰτίας ἄλλο
4 εἶδος. Καὶ δὴ καὶ περὶ ἡλίου οὕτω παρεσκευάσμην ὡσαύτως πευσόμενος, καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, τάχους τε πέρι πρὸς ἄλληλα καὶ τροπῶν καὶ τῶν ἄλλων παθημάτων, πῇ ποτὲ ταῦτ' ἄμεινόν ἐστιν ἕκαστον καὶ ποιεῖν καὶ πάσχειν ἃ πάσχει. Οὐ γὰρ ἄν ποτ' αὐτὸν ᾤμην, φάσκοντά γε ὑπὸ νοῦ αὐτὰ κεκοσμῆσθαι, ἄλλην τινὰ αὐτοῖς αἰτίαν ἐπενεγκεῖν
5 ἢ ὅτι βέλτιστον αὐτὰ οὕτως ἔχειν ἐστὶν, ὥσπερ ἔχει. Ἑκάστου οὖν [αὐτῶν] ἀποδιδόντα τὴν αἰτίαν καὶ κοινῇ πᾶσι τὸ d ἑκάστῳ βέλτιστον ᾤμην καὶ τὸ κοινὸν πᾶσιν ἐπιδιηγήσασθαι ἀγαθόν. Καὶ οὐδ' ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλπίδας, ἀλλὰ πάνυ σπουδῇ λαβὼν τὰς βίβλους, ὡς τάχιστα οἷός τ' ἦν

b 6. ἐπειδὴ—λέγεται Σωκράτης om. B. 7. ἐπεκδιηγήσεσθαι] ἐπεκδιηγήσασθαι C.D.F.G.I. 10. ἐπεκδιηγεῖσθαι D.F.G. c. ἀποφαίνοιτο] ἀποφαίνοι C.D.F. Tum παρεσκευασμένην D. ταῦτα ἀποφαίνοιτο το I. ni fallor. 2. ὑποθησόμενος] ποτ' ἐσομένης C.D.F.G.I. Reponendum videtur ποθεσόμενος cum Heindorfio. 3. παρεσκευάσμην] οὕτω παρεσκευασμένην D. οὕτω π. E. sc. οὕτω excidit ex ed. Viger. οὕτως π. F.G. 9. φάσκοντά γε] φ. τε C.F. qui mox om. αὐτά. D.G.I. om. αὐτά. 10. αὐτοῖς om. D. 11. ἢ ὅτι] καὶ ἔτι C. ὡς ἔχει] ὥσπερ ἔχει C.D.F.G. 12. ἑκάστῳ οὖν αὐτῶν] ἑκάστου οὖν C.F.G.I. αὐτῶν om. D.I. d 2. ἐπιδιηγήσεσθαι] ἔτι διηγ. C. ἐπιδιηγήσασθαι D.F.G.I. ἐπεκδ. Plat. 4. σπουδῇ] σπ. πολλῇ C.F.G. 5. οἷος (οἷός) τὴν ἀνεγ. F.

rotunda terra; tum hoc ubi statuisset, futurum, ut caussam ac necessitatis vim explicaret, quodque optimum esset dicendo complexus, terræ quoque, talis ut esset, optimum esse ostenderet. Ita, si quidem eam in medio sitam esse diceret, quamobrem hic ei situs optimus esset, exponeret. Quæ si ex illo perspicue discerem, sic animo plane comparatus eram, nullum ut
4 præterea caussæ genus aliud esse statuerem. Similiter ex eodem me postea de sole, luna, cæterisque sideribus quæsiturum esse decreveram, qua velocitatis inter se, qua conversionum proportione moverentur, cæteraque id genus, quæ optima cuique vel efficiendi ratio, vel subeundi esset. Nec enim unquam in animum induxissem, cum mentem illa regere ac moderari dixisset, aliam deinde caussam assignaturum eum esse, quam ut
5 quo se modo haberent, eo se quam optime habere confirmaret. Quin ubi et caussam singulis propriam, et quod optimum cuique foret, æqualiter statuisset, tum vero quidnam simul omnibus conduceret, universe definiturum. Quam ego spem ut ne maximo quidem pretio permutassem, ita libros illos vehementi quodam arreptos studio, quam celerrime poteram

ΠΛΑ-ΤΩ-ΝΟΣ

ἀνεγίνωσκον, ἵν' ὡς τάχιστα εἰδείην τὸ βέλτιστον καὶ τὸ
χεῖρον. Ἀπὸ δὴ θαυμαστῆς, ὦ ἑταῖρε, ἐλπίδος ᾠχόμην φερό-
μενος· ἐπεὶ δὲ προϊὼν καὶ ἀναγινώσκων ὁρῶ ἄνδρα τῷ μὲν νῷ
οὐδὲν χρώμενον οὐδέ τινας αἰτίας ἐπαιτιώμενον εἰς τὸ δια-
κοσμεῖν τὰ πράγματα, ἀέρας δὲ καὶ αἰθέρας καὶ ὕδατα
6 αἰτιώμενον καὶ ἄλλα πολλὰ καὶ ἄτοπα. Καί μοι ἔδοξεν
ὁμοιότατον πεπονθέναι, ὥσπερ ἂν εἴ τις λέγων, ὅτι Σωκράτης p. 752
πάντα ὅσα πράττει νῷ πράττει, κἄπειτα ἐπιχειρήσας λέγειν
τὰς αἰτίας ἑκάστων ὧν πράττω, λέγοι πρῶτον μὲν ὅτι ἐν-
θάδε διὰ ταῦτα νῦν κάθημαι, ὅτι σύγκειταί μου τὸ σῶμα ἐξ
ὀστῶν καὶ νεύρων, καὶ τὰ μὲν ὀστᾶ ἐστὶ στερεὰ, καὶ διαφυὰς
ἔχει χωρὶς ἀπ' ἀλλήλων, τὰ δὲ νεῦρα, οἷα ἐπιτείνεσθαι καὶ
ἀνίεσθαι, περιαμπέχοντα τὰ ὀστᾶ μετὰ τῶν σαρκῶν τε καὶ
[439] 7 δέρματος, ὃ συνέχειν αὐτά. Αἰωρουμένων οὖν τῶν ὀστῶν ἐν
ταῖς αὑτῶν ξυμβολαῖς, χαλῶντα καὶ συντείνοντα τὰ νεῦρα b
κάμπτεσθαί που ποιεῖ οἷόν τε εἶναι ἐμὲ νῦν τὰ μέλη, καὶ διὰ
ταύτην τὴν αἰτίαν συγκαμφθεὶς ἐνθάδε κάθημαι. Καὶ αὖ
περὶ τοῦ διαλέγεσθαι ὑμῖν ἑτέρας τοιάσδε αἰτίας λέγοι,

d 10. ἐπαιτιώμενον] ἐπαιτιώμενος C.F.G.
p. 752. 3. πράττοι λέγοι] πράττει λέγει C.F.G. πράττω λέγοι Viger. Cum Steph. consentiunt D.I. 11. χαλῶντα καὶ συν.] χαλόντα καὶ ξυν. C.
b 2. τὰ νῦν] τὰ om. C.F.G.I. ἐμὲ τὰ om. D. 4. ὑμῖν] ἡμῖν D. ἑτέρας τοιάσδε αἰ.] αἰτίας ἑτέρας τοίας λέγει C.F.G. τοίας item I.

evolvebam, ut quid optimum esset, quidve deterrimum, quam citissime cognoscerem. Hac ego spe tam egregia, mi Cebes, incitatus atque ardens ferebar. At vero, dum legendo progredior, hominem video mente nusquam uti, ornatusque rerum caussas afferre nullas, sed tantum ad quædam aëris, vel ætheris, vel aquarum, similiaque genera, tanquam ad originem,
6 absurde omnia revocare. In quo perinde mihi facere visus est, ac si quis Socratem quicquid agat, mente agere cum diceret, idem quæ agerem caussas exponens singulorum, ita dictitaret: primum hîc me propterea sedere, quod corpus habeam ex ossibus nervisque compactum, et ossa quidem solida sint, ac certis discriminibus intervallisque distincta, nervi autem, qui et contendantur facile, et facile remittantur, cum ipsa carne simul et cute, quæ illa præcipue continet, ossa undique complectantur.
7 Nam dum suis in commissuris attolluntur ossa: nervi, quorum et laxare proprium est et contendere, membra ut inflectere nunc et curvare possim efficiunt, eaque de caussa incurvus hîc sedeo. Tum quod vobiscum etiam colloquar, id vocibus, aëri, auditioni, ac cæteris id genus sexcentis, quasi

ΠΛΑ-ΤΩ-ΝΟΣ

φωνάς τε καὶ ἀέρας καὶ ἀκοὰς καὶ ἄλλα ἄττα μυρία τοιαῦτα
αἰτιώμενος, ἀμελήσας τὰς ὡς ἀληθῶς αἰτίας λέγειν, ὅτι
ἐπειδὴ Ἀθηναίοις ἔδοξε βέλτιον εἶναι ἐμοῦ καταψηφίσασθαι,
διὰ ταῦτα δὴ καὶ ἐμοὶ βέλτιον αὖ δέδοκται ἐνθάδε καθῆσθαι,
καὶ δικαιότερον παραμένοντα ὑπέχειν τὴν δίκην, ἣν ἂν κελεύ- c
8 σωσιν. Ἐπεὶ νὴ τὸν κύνα, ὡς ἐγᾦμαι, πάλαι ἂν ταῦτα τὰ
νεῦρα καὶ τὰ ὀστᾶ ἢ περὶ Μέγαρα ἢ περὶ Βοιωτοὺς ἦν, ὑπὸ
δόξης φερόμενα τοῦ βελτίστου, εἰ μὴ δικαιότερον ᾤμην καὶ
κάλλιον εἶναι πρὸ τοῦ φεύγειν τε καὶ ἀποδιδράσκειν ὑπέχειν
9 τῇ πόλει δίκην ἥντιν' ἂν τάττῃ. Ἀλλ' αἴτια μὲν τὰ τοιαῦτα
καλεῖν λίαν ἄτοπον· εἰ δέ τις λέγοι ὅτι ἄνευ τοῦ τὰ τοιαῦτα
ἔχειν καὶ ὀστᾶ καὶ νεῦρα καὶ ὅσα ἄλλα ἔχω, οὐκ ἂν οἷός τε ἦ
ποιεῖν τὰ δόξαντά μοι, ἀληθῆ ἂν λέγοι· ὡς μέντοι διὰ ταῦτα
ποιῶ ἃ ποιῶ, καὶ ταῦτα νῷ πράττω, ἀλλ' οὐ τῇ τοῦ βελ- d
τίστου αἱρέσει, πολλὴ ἂν καὶ μακρὰ ῥαθυμία εἴη τοῦ λόγου.

10 Εἶτα ἐπιλέγει,

Διὸ δὴ καὶ ὁ μέν τις δίνην περιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ

b 10. ἐνθάδε] ἐνταῦθα F.G. c. ἣν ἂν] ἂν om. I. κελεύσωσιν] κελεύουσιν C.D.F.G. 4. ὑπὸ δόξης] ὑποδείξεις D. 7. ἥντιν' ἂν τάττῃ] ἥντινα ταύτην C.D.E.F.G.I. 10. οἷόν τε ἦν] οἷός τε ἦ C.F.G. Cum Steph. consentit E. 12. ταῦτ' ἃ νῷ] ταῦτα ἃ νῦν C.F.G. ταῦθ' ἃ Vigerus, cum γρ. ταύτῃ in marg. sc. ex Platone. Supra ἃ ποιῶ om. D. d. αἱρέσει] ἀναιρέσει D.F.G.I.

caussis attribuat, veris interim quæ sequuntur omissis: nimirum, quando
Atheniensibus uti me damnarent præstare visum est, mihi quoque hîc ut
sederem, quodque supplicium imperarent, eodem in loco subirem, præ-
8 stare ac justius esse, visum. Enimvero dudum per canem, opinor, hi
nervi atque hæc ossa, vel Megaris, vel in Bœotia, quo illa optimi opinio
detulisset, versarentur, nisi quam respublica pœnam imposuerit, sustinere,
multo quam servilem in modum aufugere, justius putarem atque honestius
9 futurum. Enimvero similes proferre caussas, perabsurdum fuerit. Nam
si quis objiciet, nisi ossibus, nervis, partibusque cæteris instructus essem,
fieri abs me quæ velim nullo modo posse, vere hoc dicat ille quidem; idem
tamen, si propter illa ipsa fieri volet, quæ abs me fiunt, atque ita me
demum mente agere, non optimi delectu quodam et studio, negligens ad-
modum ac supina futura est hæc ejus oratio.

10 Et paucis interjectis:

Itaque alius, inquit, terram dum aëris agitatione circumfudit, vi tamen

ΠΛΑΤΩΝΟΣ

μένειν δὴ ποιεῖ τὴν γῆν, ὁ δὲ ὥσπερ καρδόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει· τὴν δὲ τοῦ ὡς οἷόν τε βέλτιστα αὐτὰ τεθῆναι δύναμιν οὕτω νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν, οὔτε τινὰ οἴονται δαιμονίαν ἰσχὺν ἔχειν, ἀλλὰ ἡγοῦνται τούτου ἄν ποτε Ἄτλαντα ἰσχυρότερον καὶ ἀθανατώτερον καὶ μᾶλλον ἅπαντα συνέχοντα ἐξευρεῖν, καὶ ὡς ἀληθῶς τὸ ἀγαθὸν καὶ δέον ξυνδεῖν καὶ συνέχειν οὐδὲν οἴονται.

11 Τοσαῦτα ὁ Σωκράτης περὶ τῆς Ἀναξαγόρου δόξης. Ἦν δὲ Ἀναξαγόρου μὲν διάδοχος τῆς τε διατριβῆς p. 753 ὁμοῦ καὶ τῆς δόξης Ἀρχέλαος, Ἀρχελάου δὲ ἀκουστὴς γεγονέναι λέγεται Σωκράτης. Πλὴν ἀλλὰ φυσικοὶ καὶ ἄλλοι Ξενοφάνης καὶ Πυθαγόρας, συνακμάσαντες Ἀναξαγόρᾳ, περὶ ἀφθαρσίας Θεοῦ καὶ ψυχῆς ἀθανασίας ἐφιλοσόφησαν· ἐκ τούτων τε καὶ μετὰ τούτους αἱ τῆς Ἑλλήνων φιλοσοφίας ὑπέστησαν αἱρέσεις· τῶν μὲν τοῖσδε, τῶν δὲ ἑτέροις ἐξηκολουθηκότων, τινῶν δὲ καὶ ἰδίας δόξας ἐπινενοηκότων. Πάλιν δ' οὖν ὁ Πλού-

d 4. μένειν δὴ] δὴ μένειν C.F.G. qui mox κερδόπω πλάττει ἄβαθρον (ἄβατρον F.) ubi καρδόπῳ πλάττει ἄβαθρον D. καρδωποπλάττειν ἄβροτον E. κερδόπῳ πλάτει ἄβαθρον I. ποιεῖ] ποιεῖν D. 8. ταυτὸν οὔτε D. 9. ἰσχὺν ἔχειν] ἔχ. ἰσ. C.F.G. 10. καὶ ἀθανατώτερον om. C.F.

p. 753. 7. δὲ καὶ] τε καὶ B.C.D.F.G.I. 10. ἐξηκολουθηκότων] ἐξηκολούθησαν B. 11. δόξης F.

cœli firmam et immotam contineri putat: alius quadam veluti latiore mactra, fundamentum ejus aërem fulcire mavult. At vero quanam ista vi, quam optime fieri potuit, sese nunc habeant, suo quæque loco situque collocata, nec illi quærunt, nec omnino dei cujusquam ea numine contineri arbitrantur: sed potius Atlantem nescio quem et firmiorem viribus, et immortalitate potentiorem, qui tenacius universa devinciat, excogitant; atque ita boni prorsus honestique nihil, quo apta illa nexaque teneantur, agnoscunt.

11 Hæc Socrates de Anaxagoræ sententia. Fuit autem Anaxagoræ tam scholæ, quam opinionis successor Archelaus, quem Socrates audiisse fertur. Cæterum alii quoque physici, Xenophanes et Pythagoras, qui cum Anaxagora florebant, de Dei simul incorruptione, et animi immortalitate philosophati sunt. A quibus postea variæ sunt philosophorum sectæ opinionesque profectæ, cum alios alii sequerentur, nonnulli privatas etiam excogitarent ac proprias. Itaque

ταρχος τὰς περὶ θεῶν ὑπολήψεις τὸν αὐτὸν τοῦτον b γράφει τὸν τρόπον·

16 ῎Ενιοι τῶν φιλοσόφων, καθάπερ Διαγόρας ὁ Μήλιος, καὶ Θεόδωρος ὁ Κυρηναῖος, καὶ Εὐήμερος ὁ Τεγεάτης, καθόλου φασὶ μὴ εἶναι θεούς· τὸν δὲ Εὐήμερον καὶ Καλλίμαχος ὁ c Κυρηναῖος αἰνίττεται ἐν τοῖς ἰάμβοις. Καὶ Εὐριπίδης ὁ τραγῳδοποιὸς ἀποκαλύψασθαι μὲν οὐκ ἠθέλησε, δεδοικὼς τὸν ῎Αρειον πάγον, ἐνέφηνε δὲ τοῦτον τὸν τρόπον· τὸν γὰρ Σίσυφον εἰσήγαγε προστάτην ταύτης τῆς δόξης, καὶ συνηγόρησεν αὐτοῦ τῇ γνώμῃ.

ΠΛΟΥΤΑΡΧΟΥ

2 Ἐπὶ τούτοις πάλιν τὸν Ἀναξαγόραν εἰσάγει, πρῶτον φάσκων αὐτὸν ὀρθῶς φρονῆσαι περὶ θεοῦ. Λέγει δὲ οὕτως,

Ὁ δὲ Ἀναξαγόρας φησὶν, ὡς εἱστήκει κατ' ἀρχὰς τὰ σώματα, νοῦς δὲ αὐτὰ διεκόσμησε θεοῦ, καὶ τὰς γενέσεις τῶν ὅλων ἐποίησεν. Ὁ δὲ Πλάτων οὐχ ἑστηκότα ὑπέθετο τὰ πρῶτα d σώματα, ἀτάκτως δὲ κινούμενα· διὸ, φησὶν, ὁ θεὸς ἐπιστήσας ὡς τάξις ἀταξίας ἐστὶ βελτίων, διεκόσμησεν αὐτά.

b. ὑπολήψεις—τρόπον] δόξας οὕτως ἱστορεῖ B. τῶν αὐτῶν] τὸν αὐτὸν D. 7. μήλιος] μιλήσιος B.C.I. Viger. Recte Stephanus, licet codices repugnent. κυρηναῖος] κυρηναϊκὸς B.C.D.F.G.I. et infra B.D.F. c 2. Καλλίμαχος] Καλλίμαχον D. 3. Εὐριπίδης δὲ F.G. 5. τοῦτον] τοῦτο B.F.G.I. qui om. τὸν τρόπον. 6. ταύτης τῆς δ.] τῆς δ. ταύτης B. d 3. φησιν ὁ θεὸς] ὁ θ. φησὶν B.C.F.G.

Plutarchus eorum de diis opiniones his verbis iterum commemorat :

16 Fuerunt, inquit, e philosophis nonnulli, ut Diagoras Milesius, Theodorus Cyrenæus, et Euemerus Tegeates, qui deos funditus omnes sustulerunt. Euemerum sane Callimachus Cyrenæus in suis iambis subobscure significat. Tragicus autem Euripides, ut sensum plane suum Areopagi metu aperire non auderet, hoc modo tamen indicavit. Quippe Sisyphum introducit, opinionis hujus vindicem, cui suffragatur ipse quoque.

Plut. Plac. Phil. p. 880.

2 Tum Anaxagoram contra laudat, quem omnium primum recte de deo sensisse testatur, his verbis :

Anaxagoras, inquit, principio corpora stetisse docet, quæ divina mens postea digesserit, rerumque omnium ortus effecerit. At Plato prima illa corpora non jam stetisse vult, sed confuse potius ac perturbate agitata fuisse ; deumque propterea, qui optime nosset, quam sit ordo confusione præstantior, suis quæque locis magno cum ornatu collocasse.

3 Οἷς ἐπιλέγει,

ΠΛΟΥΤΑΡΧΟΥ

[Κοινῶς οὖν] ἁμαρτάνουσιν ἀμφότεροι, ὅτι τὸν θεὸν ἐποίησαν ἐπιστρεφόμενον τῶν ἀνθρωπίνων, καὶ τούτου χάριν τὸν κόσμον κατασκευάζοντα· τὸ γὰρ μακάριον καὶ ἄφθαρτον ζῷον, [συμ]πεπληρωμένον τε πᾶσι τοῖς ἀγαθοῖς, καὶ κακοῦ
[440] παντὸς ἄδεκτον, ὅλον ὂν περὶ τὴν συνοχὴν τῆς ἰδίας εὐδαιμονίας τε καὶ ἀφθαρσίας, ἀνεπιστρεφές ἐστι τῶν ἀνθρωπίνων πραγμάτων. Κακοδαίμων δ' ἂν εἴη, ἐργάτου δίκην καὶ τέκτονος ἀχθοφορῶν καὶ μεριμνῶν εἰς τὴν τοῦ κόσμου κατασκευήν.
4 Καὶ πάλιν, ὁ θεὸς ὃν λέγουσιν, ἤτοι τὸν ἔμπροσθεν αἰῶνα p. 754
οὐκ ἦν, ὅτε ἦν ἀκίνητα τὰ σώματα, ἢ ὅτε ἀτάκτως ἐκινεῖτο, ἢ ἐκοιμᾶτο, ἢ ἐγρηγόρει, ἢ οὐδέτερον τούτων. Οὐδὲ τὸ πρῶτόν ἐστι δέξασθαι· πᾶς γὰρ θεὸς αἰώνιος· οὔτε τὸ δεύτερον· εἰ γὰρ ἐκοιμᾶτο ἐξ αἰῶνος ὁ θεὸς, ἐτεθνήκει· αἰώνιος γὰρ ὕπνος θάνατός ἐστιν. Ἀλλά γε ἄδεκτος ὕπνου ὁ θεός· τὸ
5 γὰρ ἀθάνατον καὶ τοῦ θεοῦ ἐγγὺς ὕπνου κεχώρισται. Εἰ

d 5. κοινῶς οὖν om. B.C.D.F.G.I. addunt B.C.F.G.I. δὲ post ἁμαρτάνουσιν. 7. τούτων] τούτου B.C.D.F.G.I. 8. συμπεπ.] πεπ. B.C.D.F.G.I. 9. τε πᾶσι] τε om. B.C.I. 10. ὅλον om. D. 11. ἰδίας] ἀϊδίας B. qui om. εὐδαιμονίας—κατασκευήν.

p. 754. ὃν λέγουσιν om. B. 4. οὐδέτερον τούτων om. D. 5. οὔτε] οὐδὲ B.C.D.E.F.G.I. καὶ οὔτε Plut. ὁ γὰρ] πῶς γὰρ B.C.F.G.I. πᾶς γὰρ D. qui mox αἰώνιον. 9. τοῦ θεοῦ καὶ τὸ ἐγγὺς θανάτου ὕπνου πολὺ] καὶ τοῦ θεοῦ ἐγγὺς ὕπνου B.C.D.E F.G.I. Vigerus dedit ex Plutarcho, τοῦ θεοῦ καὶ τὸ ἐγγὺς θανάτου πολὺ κεχώρισται.

3 Quibus ita subdit:

Eodem, inquit, ambo errore laborarunt, quod rerum humanarum curam deo tribuerent, earumque caussa mundum ab eo conditum et ornatum esse statuerent. Nam beatum illud animal omnis corruptionis expers, omni bonorum genere plenum, nec ullius omnino mali capax, quodque totum in sua unius felicitate et immortalitate conservanda tuendaque versatur, rerum humanarum solicitudine vacat. Alioqui miser utique deus esset, qui operæ cujusdam fabrique more, comportandis oneribus, orbique moliendo ad-
4 modum insudaret. Præterea, deus ille quem vocant, vel toto illo priori ævo, cum immota essent corpora, nondum erat: vel cum eadem perturbate moverentur, aut dormiebat ipse, aut vigilabat, aut negandum utrumque. Enimvero nec primum illud probari potest, cum æternus deus sit: nec secundum: si enim æterno deus somno teneretur, mortuus esset necesse est: somnus enim æternus mors est. At somnus in deum nullo modo cadit: ipsa enim dei immortalitas ab eo quod morti proximum est
5 longissime distat. Qui si potius vigilabat, aut re ad suam felicitatem

ΠΛΟΥΤΑΡΧΟΥ

δὲ ἦν ὁ θεὸς ἐγρηγορὼς, ἤτοι ἐνέλιπεν εἰς εὐδαιμονίαν, ἢ πε- b
πλήρωτο ἐν μακαριότητι. Καὶ οὔτε κατὰ τὸ πρῶτόν ἐστι μακάριος ὁ θεός· τὸ γὰρ ἐλλεῖπον εἰς εὐδαιμονίαν οὐ μακάριον· οὔτε κατὰ τὸ δεύτερον· μηδὲν γὰρ ἐλλείπων, κεναῖς ἔμελλεν ἐπιχειρεῖν πράξεσι. Πῶς δὲ, εἴπερ ὁ θεός ἐστι καὶ τῇ τούτου φροντίδι τὰ κατὰ ἄνθρωπον οἰκονομεῖται, τὸ μὲν κίβδηλον εὐτυχεῖ, τὸ δὲ ἀστεῖον τὸ ἐναντίον πάσχει; Ἀγαμέμνων τε γὰρ,

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητὴς, c

ὑπὸ μοιχοῦ καὶ μοιχαλίδος ἡττηθεὶς ἐδολοφονήθη· καὶ ὁ τούτου δὲ συγγενὴς Ἡρακλῆς, πολλὰ τῶν ἐπιλυμαινομένων τὸν ἀνθρώπινον βίον καθάρας, ὑπὸ Δηϊανείρας φαρμακευθεὶς ἐδολοφονήθη.

6 Θαλῆς τὸν κόσμον εἶναι τὸν θεόν.

Ἀναξίμανδρος, τοὺς ἀστέρας οὐρανίους θεούς.

a 11. ἐγρηγορὼς] ἐγρηγορῶν C.G. Mox ἐνέλειπεν D.F. Plut. Mox πεπληρώκει μακαριότητα Plut. b 2. τὸ πρῶτον] τὸ om. C.F.G. 4. μηδὲν γὰρ—πάσχει om. B. ἐλλεῖπον] ἐλλείπων C. 6. ἐστι om. D. F.G.I. τὰ κατὰ etc.] τὰ πάντα οἰκονομεῖται τὰ κατ' ἄνθρωπον C.F.G. 8. ἐναντίον] τὸ ἐν. C.D.F.G. c. ἀμφότερον om. B. et mox om. τ'. ἀμφοτέρων D. 4. τούτου δὲ] δὲ om. I. 6. δηϊανείρας φαρμακευθεὶς] δηϊανείρης φαρμακωθεὶς B. φαρμακωθεὶς D. φαρμακοθεὶς I. δηιανείρης F.G. 7. θαλῆς νοῦν τοῦ κόσμου θεὸν] θαλῆς τὸν κόσμον εἶναι τὸν θεὸν B.D.E.F. G.I. νοῦν om. C. qui addit εἶναι ante θεόν. Locum editores secundum Plutarchum exhibuerunt. Post Ἀναξίμανδρος D. addit δέ.

aliqua indigebat, aut eandem habebat numeris omnibus absolutam. Si prius illud concedetur, beatus ergo deus non erat; cui enim ad felicitatem aliquid desit, beatum profecto non est: posterius vere nemo dicat; nunquam enim, si nulla re indigeret, novarum in rerum molitionem incumberet. Jam vero si deus est, ejusque providentia res humanæ gubernantur, quomodo tandem vile indignumque caput secunda, præclarum et insigne adversa fortuna utitur? Nam et Agamemnon ille,

Rex idem excellens, idemque acerrimus armis,

adulteri et adulteræ fraudibus occubuit: et ipsius gentilis Hercules, postquam ea quæ vitam hominum infestam habebant, partem maximam sustulisset, Deianiræ veneficio ac fraude sublatus est.

6 Thales mundi mentem deum esse voluit:

Quid Thales, Democritus, Pythagoras.

Anaximander sidera cœlestes deos constituit:

ΠΛΟΥΤΑΡΧΟΥ

Δημόκριτος, θεὸν ἐν πυρὶ σφαιροειδῆ, τὴν τοῦ κόσμου ψυχήν.

Πυθαγόρας τῶν ἀρχῶν τὴν μὲν μονάδα θεόν· καὶ τὸ ἀγα- d θόν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις, αὐτὸς ὁ νοῦς· τὴν δ' ἀόριστον δυάδα, καὶ δαίμονα, καὶ τὸ κακόν, περὶ ἥν ἐστι τὸ ὑλικὸν πλῆθος, [ἐστὶ καὶ ὁρατὸς ὁ κόσμος.]

7 Μετὰ δὲ τούτους οἱ νέοι τῷ χρόνῳ πῶς ἐδόξαζον, ἄκουε·

Σωκράτης καὶ Πλάτων ἓν τὸ μονοφυὲς καὶ αὐτοφυές, τὸ μοναδικόν, τὸ ὄντως ὂν ἀγαθόν. Πάντα δὲ ταῦτα τῶν ὀνομάτων εἰς τὸν νοῦν σπεύδει. Νοῦς οὖν ὁ θεός, χωριστὸν εἶδος, τοῦτ' ἔστι τὸ ἀμιγὲς πάσης ὕλης, καὶ μηδενὶ παθητῷ συμπεπλεγμένον.

8 Ἀριστοτέλης τὸν μὲν ἀνωτάτω θεόν, εἶδος χωριστόν, ἐπιβεβηκότα τῇ σφαίρᾳ τοῦ παντός, ἥτις ἐστὶν αἰθέριον σῶμα, τὸ πέμπτον ὑπ' αὐτοῦ καλούμενον· διῃρημένου δὲ p. 755

c 9. Plutarchum, varietate lectionis diligenter excussa, sic refinxit Beckius: Δημόκριτος νοῦν τὸν θεὸν ἐν πυρὶ σφαιροειδεῖ. τ. τ. κ. ψ. 10. τοῦ κόσμου] τοῦ om. C.F.G.I. 11. τὴν μὲν] μὲν om. B.C.F.G.I. d 2. αὐτὸς ὁ—ἄκουε om. B. ἐστι—κόσμος om. C.D. Et hæc inseruisse videntur editores ex Plutarcho. 3. καὶ μονάδα καὶ τὸ D. 5. μετὰ δὲ] δὲ om. C.F.G. 6. πῶς] ὅπως F.G. Σωκράτης] ὁ γοῦν Σωκ. B. 7. καὶ αὐτοφυὲς om. B.C.F.G.I. 8. ὂν ἀγ.] ὂν om. B. cum Plut. 10. σπεύδει] σπεύδειν B.C.D.F.G.I. 13. ἀνωτάτω] ἀνώτατον C. 14. ἐπιβεβηκότα] ἐπιβεβληκότα F.G.

Democritus deum in igne collocat, rotundum quendam mundi animum: Pythagoras ex principiis unitatem deum vocavit et bonum, quod propria unius natura, ipsaque adeo mens est: infinitum autem binarium, dæmonem, malumque dixit, ad quem et materiæ copia, et mundus hic quem videmus revocetur.

7 Post hos qui sequuti sunt ætate juniores attende quid senserint:

Quid Socrates et Plato.

Socrates et Plato unum aliquid statuunt, uniusque naturæ, quod ex sese ortum sit, idemque singulare, ac vere bonum: quæ omnis appellationum varietas unam ad mentem spectat ac tendit. Mens igitur deus erit, semota quædam forma, hoc est ab omni tam materiæ concretione, quam patientis cujusvis societate disjuncta.

Quid Aristoteles.

8 Aristoteli placuit summum quidem illum deum, semotam ac singularem esse formam, qui universi hujus sphæram insideat, corpus, inquam, illud ætherium, quod ab eodem quintum vocatur. Et quidem universo plures

ΠΛΟΥΤΑΡΧΟΥ

τούτου κατὰ σφαίρας, τῇ μὲν φύσει συναφεῖς, τῷ λόγῳ δὲ κεχωρισμένας, ἑκάστην οἴεται τῶν σφαιρῶν ζῷον εἶναι σύνθετον ἐκ σώματος καὶ ψυχῆς, ὧν τὸ μὲν σῶμά ἐστιν αἰθέριον, κινούμενον κυκλοφορικῶς, ἡ ψυχὴ δὲ, λόγος ἀκίνητος, αἴτιος τῆς κινήσεως κατ' ἐνέργειαν.

9 Οἱ Στωϊκοὶ νοερὸν θεὸν ἀποφαίνονται, πῦρ τεχνικὸν, ὁδῷ βαδίζον ἐπὶ γένεσιν κόσμου, περιειληφότος πάντας τοὺς σπερματικοὺς λόγους, καθ' οὓς ἕκαστα καθ' εἱμαρμένην γίνεται. Καὶ πνεῦμα μὲν διῆκον δι' ὅλου τοῦ κόσμου, τὰς δὲ προσηγορίας μεταλαμβάνον δι' ὅλης τῆς ὕλης, δι' ἧς κεχώρηκε. b Θεὸν δὲ καὶ τὸν κόσμον, καὶ τοὺς ἀστέρας, καὶ τὴν γῆν, τὸν δ' ἀνωτάτω πάντων νοῦν ἐν αἰθέρι.

10 Ἐπίκουρος ἀνθρωποειδεῖς μὲν [πάντας] τοὺς θεοὺς, λόγῳ δὲ πάντας θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως. Ὁ δ' αὐτὸς ἄλλας τέσσαρας φύσεις κατὰ γένος

p. 755. 2. κεχωρισμένας] διηρημένας B. qui om. ἑκάστην—ἐνέργειαν. 3. εἶναι] εἶ C. Mox ἐστιν σῶμα C.F.G. 6. ἀκίνητος] ἀεικίνητος C.F.G.I. 8. κοινότερον] νοερὸν B.C.D.F.G.I. Stobæus Ecl. I. p. 64. ed. Heeren. 9. ὁδῷ] ὁδὸν D. 10. παντὸς D. 12. πνεῦμα μὲν] μὲν om. B.C.F.G.I. b. διὰ τὰς ὕλης δι' ἧς] δι' ὅλης τῆς ὕλης καθ' ἧς (δι' ἧς C.F.G.I.) B.C.F.G.I. δι' ὅλης ὕλης D. τῆς ὕλης E. διόλης τῆς ὕλης Stob. 2. κεχώρηκε παραλλάξεις] παραλλάξεις om. C.D.E.F.I. παράλλαξαν Stob. In Plutarcho nunc editum, κατὰ τὰς τῆς ὕλης, δι' ἧς κεχώρηκε, παραλλάξεις. 3. τόν τ'] τὸν δ' B.C.D.G. τὸν F. Tum ἀνώτατον C. 5. πάντας om. B.C.D.F.G.I. πάντας τούτους Plut. 6. θεωρητοὺς] θεωρητὰ B. διὰ τὴν] τὴν om. B.C.F.G. 8. ἄλλας τέσσαρας] ἄλλως τέτταρας B.C.F.G.

in sphæras distincto, quæ suapte natura contiguæ, rationis unius vi separentur, earum quamlibet animal esse putat ex corpore animoque conflatum: ita quidem, ut corpus ætherium esse, atque in orbem moveri, animum, rationem immobilem, ac re ipsa motus efficientem esse velit.

Quid Stoici.

9 Stoici partem fere maximam, artificiosum illum ignem deum esse pronuntiant, qui certo quodam ordine ad mundi hujus procreationem feratur, qui suo ipse gremio cuncta rationum earum, ex quibus singula fato nascuntur, semina comprehendat. Adjungunt igni spiritum, qui mundum universum ita permeet, ut pro multiplici materiæ quam pervadit mutatione, multiplicem quoque nominum diversitatem accipiat. Postremo, divinitatem illi mundo, sideribus, ac terræ sic attribuunt, ut mentem omnium altissimam in æthere constituant.

Quid Epicurus.

10 Epicurus humana quidem specie deos figurabat omnes, eosdem tamen, quod suapte natura simulacrorum haberent exiles nimium tenuesque partes, rationis unius oculis cerni putabat posse. Alias præterea quatuor

ΠΛΟΥΤΑΡΧΟΥ

ἀφθάρτους τάσδε, τὰ ἄτομα, τὸ κενὸν, τὸ ἄπειρον, τὰς ὁμοι-
ότητας, αὗται δὲ λέγονται ὁμοιομέρειαι καὶ τὰ στοιχεῖα.

11 Τοιαῦται μὲν δὴ τῶν φυσικῶν φιλοσόφων καὶ αἱ
περὶ θεοῦ διαστάσεις τε καὶ δυσφημίαι, ὧν πρώτους ὁ c
λόγος συνίστησι τοὺς ἀμφὶ τὸν Πυθαγόραν τε καὶ Ἀνα-
ξαγόραν Πλάτωνά τε καὶ Σωκράτη νοῦν καὶ θεὸν ἐπι-
στῆσαι τῷ κόσμῳ. Οὗτοι δὴ κομιδῇ παῖδες τοῖς χρόνοις
ἀποδείκνυνται γενόμενοι, καθ' οὓς χρόνους τὰ ὕστατα
12 ἱστορεῖται τῆς Ἑβραίων ἀρχαιολογίας. Οὐκ ἦν ἄρα
[441] παλαιοτάτη παρὰ πᾶσιν Ἕλλησι καὶ τοῖς πρόπαλαι τὴν
πολύθεον δεισιδαιμονίαν παρά τε Φοίνιξι καὶ Αἰγυπτίοις
εἰσηγησαμένοις ἡ τοῦ τῶν ὅλων Θεοῦ γνῶσις, ἣν πρῶ-
τος Ἑλλήνων Ἀναξαγόρας καὶ οἱ ἀμφ' αὐτὸν ἐξή- d
νεγκαν. Καὶ μὴν τὰ τῆς πολυθέου δεισιδαιμονίας πάν-
των ἐθνῶν ἐκράτει· ἀλλ' ἦν ὡς ἔοικεν οὐ τὴν ἀληθῆ
περιέχοντα θεολογίαν, ἀλλ' ἣν Αἰγύπτιοι καὶ Φοίνικες

b 9. ἀφθάρτου I. 10. τὰς ὁμοιομερείας καὶ τὰ στοιχεῖα] τὰς ὁμοιότητας. αὗται δὲ (λέγονται C.D.F.G.) ὁμοιομέρειαι καὶ τ. σ. B.C.D.F.G. 11. τοιαῦτα D. c 3. Σωκράτη] Σωκράτην B. 4. τῷ κόσμῳ] τὸν κόσμον I. οὗτοι—δυνάμις om. B. 6. ταῦτα ἱστόρηται] τὰ ὕστατα ἱστορεῖται C.D.F.G. 10. εἰσηγησαμένοις] εἰσηγουμένοις D.F.G. 11. τοῦ τῶν] τοῦ om. C.F.G. d. ἐξήνεγκεν F. 4. ἀλλ' ἦν om. I.

naturas addebat, quarum genus interire non posset, atomos, vacuum, infinitum, et partium similitudines, quas etiam elementa nuncupabat.

11 Hæ sunt de deo philosophorum illorum, quos physicos vocabant, tam impiæ, quam diversæ pugnantesque sententiæ. Quorum omnium principes, Pythagoram, Anaxagoram, Platonem, et Socratem ex illo Plutarchi testimonio constat, mentem atque deum mundo præfecisse. Atqui hos omnes pueros admodum fuisse reperiemus, si
12 eorum ætatem cum illa Hebræorum antiquitate conferamus. Ita non Dei sane fuit vel apud Græcos omnes, vel apud Phœnices et Ægyptios, aut si qui alii priscam illam de numinum multitudine superstitionem invexerunt pervetusta cognitio, quam e Græcis primi Anaxagoras et Anaxagoræ suppares intulerunt. Enimvero gentes quidem omnes superstitiosus ille de pluribus diis error invaserat: ejusmodi tamen prorsus is erat, qui non veram ac propriam, sed eam modo, quam primum ab Ægyptiis atque Phœnicibus conflatam esse tot supra

13 πρῶτοι πάντων συστήσασθαι ἐμαρτυρήθησαν. Αὕτη δὲ ἦν θεοὺς μὲν οὐδαμῶς, οὐδέ τινας θείας δυνάμεις, ἄνδρας δὲ ἤδη πάλαι ἐν νεκροῖς κειμένους θεολογοῦσα, ὡς ὁ τῆς ἀληθείας πάλαι ἀπέδειξε λόγος. Φέρ' οὖν, πάλιν ἀναλάβωμεν τὸν λόγον. Ἐπειδὴ τῶν φυσικῶν φιλοσόφων οἱ μὲν πάντα κατέβαλλον ἐπὶ τὰς αἰσθήσεις, οἱ p. 756
δ' αὖ πάλιν τούτοις ἀνθεῖλκον, ὡς οἱ περὶ τὸν Ξενοφάνην τὸν Κολοφώνιον καὶ Παρμενίδην τὸν Ἐλεάτην, οἱ δὴ τὰς αἰσθήσεις ἀνῄρουν, μηδὲν εἶναι φάσκοντες καταληπτὸν τῶν ἐν αἰσθήσει, διὸ μόνῳ δεῖν πιστεύειν τῷ λόγῳ· τὰ πρὸς αὐτοὺς ἀντειρημένα διασκεψώμεθα.

17 Ἄλλοι δ' ἐγένοντο τούτοις τὴν ἐναντίαν φωνὴν ἀφιέντες. b ΑΡΙΣΤΟΚΛΕΟΥΣ
Οἴονται γὰρ δεῖν τὰς μὲν αἰσθήσεις καὶ τὰς φαντασίας καταβάλλειν, αὐτῷ δὲ μόνον τῷ λόγῳ πιστεύειν. Τοιαῦτα γάρ τινα πρότερον μὲν Ξενοφάνης καὶ Παρμενίδης καὶ Ζήνων καὶ Μέλισσος ἔλεγον, ὕστερον δ' οἱ περὶ Στίλπωνα καὶ τοὺς c

d 8. ἄνδρας δὲ] τοίνυν ἄνδρας B. πάλαι om. D.F.G. ult. φιλοσόφων om. B.

p. 756. πάντα] τὰ πάντα D.F.G. Tum κατέβαλον F. οἱ δ' αὖ—ὡς om. B. 2. οἱ περὶ τὸν] οἱ δὲ περὶ B.C. Mox Ξενοφάνη C.F.G. Παρμενίδη B. 4. οἱ δὴ om. B. 5. ἐν αἰσθ.] ἐν om. F. 6. διὸ μόνῳ etc. om. B. τὰ πρὸς] τὸν πρὸς C. b 5. φωνὴν ἀφιέντες] ἐχόμενοι B. 7. μόνον] μόνῳ D. τοιαῦτα—εἰδείη om. B.

13 testimoniis ostendimus, theologiam contineret. Ea porro nec ullos omnino deos, nec divinas virtutes ullas, sed homines tantum pridem consepultos loquebatur, ut ipsa veritatis oracula tanto ante prodiderunt. Age ergo, totam hanc disputationem denuo repetamus. Et quoniam e physicis illis philosophis, ad sensus alii cuncta revocabant: alii ut Xenophanes Colophonius, et Parmenides Eleates, alia defendentes omnia, sensus tollebant, eorumque vi comprehendi nihil, atque uni propterea rationi fidem habendam esse dicebant: istorum nunc reprehensionem videamus.

17 Longe alia, inquit, aliorum vox et oratio est. Sensus enim visaque omnia funditus repudianda, rationi uni fidem habendam opinantur. Ac primum quidem Xenophanes, Parmenides, Zeno, et Melissus, in ea sunt doctrina versati, quam Stilpo deinde ac Megarenses philosophi defendere. Sensus quinam sustulerint.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

Μεγαρικούς. Ὅθεν ἠξίουν οὗτοί γε τὸ ὂν ἓν εἶναι, καὶ τὸ
ἕτερον μὴ εἶναι, μηδὲ γεννᾶσθαί τι μηδὲ φθείρεσθαι μηδὲ
2 κινεῖσθαι τὸ παράπαν. Τὸν μὲν οὖν πλείω πρὸς τούτους
λόγον εἰσόμεθα φιλοσοφοῦντες· νυνὶ μέντοι τοσοῦτον λε-
κτέον. Εἴποιμεν γὰρ ἄν, ὡς ὁ μὲν λόγος ἡμῶν εἴη τὸ
θειότατον· οὐ μὴν ἀλλὰ δεῖ γε καὶ τῆς αἰσθήσεως, ὥσπερ γε
δὴ καὶ σώματος. Ὅτι δὲ καὶ ἡ αἴσθησις ἀληθεύειν πέφυκε,
δῆλον· οὐ γὰρ οἷόν τε τὸν αἰσθανόμενον μὴ οὐχὶ πάσχειν τι·
πάσχων δὲ τὸ πάθος ἂν εἰδείη· γνῶσις οὖν τίς ἐστι καὶ ἡ d
3 αἴσθησις. Ἀλλὰ μὴν εἰ τὸ αἰσθάνεσθαι πάσχειν τί ἐστιν,
ἅπαν δὲ τὸ πάσχον ὑπό του πάσχει, πάντως ἕτερον ἂν εἴη τὸ
ποιοῦν καὶ τὸ πάσχον. Ὥστε πρῶτον μὲν εἴη ἂν τὸ λεγό-
μενον ἕτερον· οἷον, τὸ χρῶμα καὶ ὁ ψόφος· ἔπειτα δὲ ἓν τὸ
ὂν οὐκ ἔσται· καὶ μὴν οὐδὲ ἀκίνητον· ἡ γὰρ αἴσθησίς ἐστι
4 κίνησις. Ταύτῃ δὲ βούλεται πᾶς τις κατὰ φύσιν ἔχειν τὰς
αἰσθήσεις, ἅτε δὴ πιστεύων, οἶμαι, ταῖς ὑγιαινούσαις μᾶλλον
ἢ ταῖς νοσούσαις. Εἰκότως ἄρα καὶ δεινός τις ἔρως αὐτῶν

c 2. *οὗτοί γε*] *οὗτοι τε* D. 3. *μὴ ὂν ἕτερον*] *ἕτερον μὴ* C.D.E.I. *ἕτερον ἕτερον μὴ* F.G. Trapezuntius: *et quod diversum esse videtur, diversum non esse.* 5. *ἐσόμεθα*] *εἰσόμεθα* C.D.E.F.G. 6. *πρὸς τοῦτο*] *τοσούτω* C,F.G. *τοσοῦτον* D. 9. *δὲ καὶ*] *δὴ καὶ* C.I. Viger. *ἡ* om. I. 11. *οἷόν τε*] *οἴονται* C. d 3. *ἂν ἕτερον*] *ἂν* om. B.C. *ἕτερον ἂν* D.F.G. *ἂν ἕτερον ἂν* E.I. Supra *ὑπό του* om. D. 5. *εἴη ἂν*] *μὲν ἂν εἴη* B. *μὲν εἴη ἂν* C.F.G. *μὲν εἴη* D. 6. *καὶ μὴν*] *οὐ μὴν* D. 8. *ταύτῃ*] *ταύτῃ δὲ* B.D.F.G. *ἔχειν*] *ἄγειν* D. 10. *μᾶλλον ἢ*] *μᾶλλον δὲ* B.

Hi quicquid esset, unum duntaxat esse: quod ab eo diversum esset, id non esse: generari nihil: nihil corrumpi, moveri omnino nihil statuebant.
2 Adversus istos alius erit pluribus philosophandi locus: nunc tamen, locum hunc quod attinet, ita ratiocinamur. Partem nostri divinissimam esse rationem fatemur ipsi quoque: sed tamen sensu præterea, quemadmodum et corpore, indigemus. Et vero sensum etiam ad promendum verum suapte natura comparatum esse, hoc argumento manifeste conficitur. Qui sentit, idem quin aliquid patiatur, fieri nullo modo potest. At qui patitur, hoc ipsum quod patitur, cognoscat necesse est. Sensus igitur cognitio
3 quædam est. Jam si sentire pati aliquid est, et quicquid patitur, ab aliquo patitur; consequens omnino est, quod efficit ab eo quod patitur esse diversum. Habemus ergo primum id esse quod diversum vocatur, cujusmodi sunt color atque sonus: deinde quicquid est, non esse quid unum. Adde ne immobile quidem illud esse, cum ipsa sentiendi ratio motus
4 quidam sit. Quare nemo est, qui non sensus, quo modo natura postulat, habere velit: credo quod omnes sanis potius, quam ullo vitio laborantibus fidem habeant. Et merito sane vehemens quidam illorum amor nobis

Sentiendi actio, et cognitio et motus est.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

ἡμῖν ἐντέτηκεν. Οὐδείς γε τοι μὴ μεμηνὼς ἕλοιτ᾽ ἄν ποτε μίαν αἴσθησιν ἀποβάλλειν, ὅπως αὐτῷ πάντα τὰ ἄλλα ἀγαθὰ
5 γένοιτο. Τοὺς δὴ διαβάλλοντας αὐτὰς ἐχρῆν, πεπεισμένους p. 757
γε διότι μάτην ἔχοιεν αὐτὰς, εἰπόντας ἅπερ ὁ Πάνδαρος λέγει παρὰ τῷ Ὁμήρῳ περὶ τῶν ἑαυτοῦ τόξων,

Αὐτίκ᾽ ἔπειτ᾽ ἀπ᾽ ἐμεῖο κάρη τάμοι ἀλλότριος φὼς,
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην,
χερσὶ διακλάσσας, ἀνεμώλια γάρ μοι ὀπηδεῖ,

τὸ μετὰ τοῦτο διαλυμήνασθαι πάσας τὰς αἰσθήσεις ἑαυτῶν· b
οὕτω γὰρ ἄν τις ἐπίστευεν αὐτοῖς ἔργῳ διδάσκουσιν ὡς εἰς
6 οὐδὲν αὐτῶν δέοιντο. Νυνὶ δὲ τοῦτο καὶ τὸ ἀτοπώτατόν ἐστι· ἀχρήστους γὰρ ἀποφαίνοντες αὐτὰς τῷ λόγῳ, τοῖς
7 ἔργοις τὰ μάλιστα χρώμενοι διατελοῦσιν αὐταῖς. Ὅ γέ τοι Μέλισσος ἐθέλων ἐπιδεικνύναι διότι τῶν φαινομένων καὶ ἐν
[442] ὄψει τούτων οὐδὲν εἴη τῷ ὄντι, διὰ τῶν φαινομένων ἀπο-

12. ἀποβαλεῖν] ἀποβάλλειν B.C.D.F.G. seqq. usque ad ἑαυτῶν om. B. ult. πάντα τὰ] πάντ᾽ F.

p. 757. τοὺς δὲ] τοὺς δὴ C.D.G. 2. ὅτι] διότι C.D.F.G. τε διότι I. Mox ἔχειν D. 4. ἑαυτοῦ] αὐτοῦ C.D.F.G. 5. ἐμεῖο] ἐμοῖο D. 7. φαεινῶν D. φαεινὰ D.I. 12. τὸ μετὰ] τὸ om. D.F. b. οὕτω etc.] μάτην οὖν αὐτὰς διαβάλλουσιν. οὕτω γ. ἄ. τ. ἐ. ἀ. εἰ διελυμαίνοντο πάσας τὰς αἰσθήσεις αὐτῶν ἔργῳ διδάσκοντες B. 2. εἰς om. D. 3. νυνὶ] νῦν I. τοῦτο ἀτ. ἐστι om. B. τοῦτο καὶ τὸ C.D.F.G. ἀχρήστους γὰρ] γὰρ om. B. ubi αὐτὰς ἀποφ. 5. χρώμενοι] χρῶνται αὐταῖς B. 7. ὅτι] διότι C.D.E.G.I. δ᾽ ὅτι F. Mox τούτων om. B. 8. οὐδὲν εἴη] οὐδενὶ ἢ E.I. διὰ τῶν—αὐτῶν om. B. 9. ἀποδεικνύειν] ἀποδείκνυσιν D.G. ἀποδείκνουσιν F. ἴσ. ἀποδεικνύει Vigeri marg.

altius insidet: nec tam insanus quisquam reperiatur, qui ut bonis omnibus
5 aliis fruatur, sensus vel unius jacturam facere velit. Qui autem eos criminantur, illos utique hanc semel in opinionem adductos, qua sensus inutiles existimant, id ipsum de sensibus, quod apud Homerum Pandarus de arcu suo dicebat, usurpare oporteret,

Infensus mihi continuo caput auferat hostis,
Ni fractam hanc manibus pharetram, quando illa per armos
Pondus iners pendet, mediis injecero flammis:

simulque sensus omnes suos extinguere: tum enim demum fides ipsis
6 haberetur, cum iis sibi nihil opus esse re ipsa comprobarent. Nunc vero absurdissime faciunt, qui cum eos inutiles ore tenus esse dictitent, iisdem
7 tamen re ipsa constantissime abutantur. Enimvero Melissus, eorum quæ apparent, quæque ob oculos posita sunt, nihil re vera esse probare dum vult, ex illis ipsis quæ apparent argumenta ducit. Quippe, si enim terra,

Melissus ut sensus tollat, sensibus credit.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

δείκνυσιν αὐτῶν· φησὶ γοῦν, Εἰ γάρ ἐστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ σίδηρος καὶ χρυσὸς, καὶ τὸ μὲν ζῶν, τὸ δὲ τεθνηκὸς, καὶ μέλαν καὶ λευκὸν καὶ τὰ ἄλλα πάντα, ὅσα φασὶν ἄνθρωποι c εἶναι ἀληθῆ, καὶ ἡμεῖς ὀρθῶς ὁρῶμεν καὶ ἀκούομεν, εἶναι ἐχρῆν καὶ τὸ ὂν τοιοῦτον οἷον πρῶτον ἔδοξεν ἡμῖν εἶναι, καὶ μὴ μεταπίπτειν, μηδὲ γίνεσθαι ἕτερον, ἀλλ' εἶναι ὅμοιον οἷόν περ ἐστὶν ἕκαστον. Νῦν δέ φαμεν ὀρθῶς ὁρᾶν, καὶ ἀκούειν, καὶ συνιέναι· δοκεῖ δὲ ἡμῖν τὸ θερμὸν καὶ ψυχρὸν γίνεσθαι, καὶ τὸ ψυχρὸν θερμὸν, καὶ τὸ
8 σκληρὸν μαλακὸν, καὶ τὸ μαλακὸν σκληρόν. Ταῦτα δὲ καὶ ἄλλα πολλὰ τοιαῦτα λέγοντος αὐτοῦ καὶ μάλα εἰκότως ἐπύθετό d τις ἂν, ἆρ' οὖν ὅτι [ὃ νῦν] θερμόν ἐστι κἄπειτα τοῦτο γίνεται ψυχρὸν οὐκ αἰσθόμενος ἔγνως; Ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων. Ὅπερ γὰρ ἔφην, εὑρεθείη ἂν οὐδὲν ἀλλ' ἢ τὰς αἰσθήσεις ἀναιρῶν καὶ ἐλέγχων διὰ τὸ μάλιστα πιστεύειν
9 αὐταῖς. Ἀλλὰ γὰρ οἱ μὲν τοιοῦτοι λόγοι σχεδὸν ἱκανὰς ἤδη δεδώκασιν εὐθύνας· ἐξίτηλοί γε τοι γεγόνασιν, ὡς εἰ μηδὲ ἐλέχθησαν τοπαράπαν. Ἤδη μέντοι θαρροῦντες λέγωμεν

b 9. γοῦν om. B. εἰ] εἰς I. qui infra τεθνηκώς. c 2. εἶναι ἄνθρωποι ἀληθῶς] ἄνθρωποι εἶναι ἀληθῆ B.C.F.G. statim om. ἢ. Et sic D. 6. ἕτερον] ὕστερον B.C.F.G. οἷον] ὃ I. 7. νῦν δὲ—παραλαμβάνοντας om. B. ἔφαμεν] φαμὲν C.D.F.G. 11. καὶ ἄλλα πολλὰ] πολλὰ καὶ ἄλλα C.F.G. d 2. ὃ νῦν om. C.F.G.I. 8. ἱκανὰς] ἱκανῶς C.F.G. 9. ἠλέγχθησαν] ἐλέγχθησαν D. ἐλέχθησαν F. et nescio an I. ἴσ. ἐλέχθησαν Vigeri margo. 10. λέγωμεν] λέγομεν C.D.E.F.G.

inquit, si aqua et aër, si ignis, ferrum, aurum; si vivens aliquid, aliud mortuum, si nigrum atque album, si alia sunt omnia, quæ ab hominibus vere esse dicuntur: postremo si videmus ipsi audimusque recte; illud etiam profecto quod est tale semper manere debeat, quale primo nobis est visum, nec mutari subinde atque alterum fieri, sed potius idem constanter esse quidlibet quod semel est. Atqui recte cum videre nos, tum audire etiam et intelligere dicimus; et tamen frigidum id nobis quod calidum erat fieri videtur, calidumque vicissim quod erat frigidum, similiterque durum in
8 molle, et molle rursus in durum mutari. Hæc igitur aliaque id genus quamplurima cum a Melisso dicantur, jure profecto quæsierit ex eo quispiam, num hoc ipsum, quod modo calidum est, frigidum id post modum fieri, sentiendo cognoverit. Nam cæterorum omnium eadem plane ratio est. Ita constabit omnino quam vere dictum abs me fuerit, eo tantum a
9 Melisso tolli carpique sensus, quod fidem sensibus maximam habeat. Sed enim abunde opinor castigatum a nobis est totum hoc ratiocinandi genus, imo perinde jam exolevit, ac si nunquam penitus usurpatum fuisset. Hoc

ὀρθῶς φιλοσοφεῖν τοὺς καὶ τὰς αἰσθήσεις καὶ τὸν λόγον ἐπὶ τὴν γνῶσιν τὴν τῶν πραγμάτων παραλαμβάνοντας. ΑΡΙΣΤΟΚΛΕΟΥΣ

Τοιοίδε μὲν οὖν οἱ ἀμφὶ τὸν Ξενοφάνην, ὃς δὴ λέγεται συνακμάσαι τοῖς ἀμφὶ Πυθαγόραν καὶ Ἀναξαγόραν. Ξενοφάνους δὲ ἀκουστὴς γέγονε Παρμενίδης· p. 758 τούτου Μέλισσος, οὗ Ζήνων, οὗ Λεύκιππος, οὗ Δημόκριτος, οὗ Πρωταγόρας καὶ Νεσσᾶς· τοῦ δὲ Νεσσᾶ, Μητρόδωρος, οὗ Διογένης, οὗ Ἀνάξαρχος. Ἀναξάρχου δὲ γνώριμος γέγονε Πύρρων, ἀφ' οὗ ἡ τῶν Σκεπτικῶν ἐπικληθέντων διατριβὴ συνέστη· οὓς καὶ αὐτοὺς μηδὲν εἶναι τοπαράπαν μήτ' ἐν αἰσθήσει μήτ' ἐν λόγῳ καταληπτὸν ὁριζομένους, ἐπέχοντας δ' ἐν πᾶσιν, ὅπως ἀπήλεγχον οἱ ἀντιδοξάζοντες μαθεῖν πάρεστιν ἀπὸ τοῦ δηλωθέντος συγγράμματος ὧδέ πη πρὸς λέξιν ἔχοντος· b

18 Ἀναγκαίως δ' ἔχει πρὸ παντὸς διασκέψασθαι περὶ τῆς c ἡμῶν αὐτῶν γνώσεως· εἰ γὰρ αὖ μηδὲν πεφύκαμεν γνωρίζειν,

d 12. τὴν τῶν] τὴν om. C. 13. τοιοῖδε] τοιάδε C. 14. Ξενοφάνη I. et mox συνακμάσας.

p. 758. 5. Ἀναξάρχου δὲ] τούτου B. Tum γέγ. γνώ. C.F.G 8. μήτε γ'] μήτ' C.D.F.G. μ. ἐν αἰσθ. om. B. 10. ἀντιδοξάζοντες] ἀντιδοξοῦντες B. qui om. ἀπὸ τοῦ—ἔχοντος. 12. ὧδε—ἔχοντος om. I. c. Ἀναγκαίως] ἀναγκαίας C. 2. ἡμῶν αὐτῶν] αὐτῶν ἡμῶν C.F.G.

ergo nunc secure dicamus, recte illos philosophari, qui rerum in cognitione haurienda, sensus etiam cum ratione conjungunt.

Hactenus ille. Tales igitur Xenophanis sectatores fuere, quem Pythagoræ et Anaxagoræ temporibus floruisse aiunt. Nam Xenophanis quidem auditor fuit Parmenides: hunc vero Melissus audivit, Melissumque Zeno: Zenoni Leucippus, Leucippo Democritus, Democrito Protagoras atque Nessas operam dedere. Jam Metrodorum Nessas, Diogenem Metrodorus, Anaxarchum Diogenes, Pyrrhonem Anaxarchus discipulum habuit. Scepticorum Pyrrho sectam instituit; quos itidem, quod nihil omnino vel sensu, vel ratione comprehendi posse statuerent, assensionemque propterea rebus in omnibus inhiberent, quemadmodum contrariæ sententiæ vindices arguerint, ex eodem Aristoclis opere cognosci potest. Sic enim ad verbum ipse loquitur. Hic desinit Trapezuntii versio.

18 Necesse est, inquit ille, cognitionis nostræ rationem ante omnia videamus. Nam si cognoscendi vim a natura nullam accepimus, omittamus

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

2 οὐδὲν ἔτι δεῖ περὶ τῶν ἄλλων σκοπεῖν. Ἐγένοντο μὲν οὖν
καὶ τῶν πάλαι τινὲς οἱ ἀφέντες τήνδε τὴν φωνήν, οἷς ἀντεί-
ρηκεν Ἀριστοτέλης. Ἴσχυσε μέντοι ταῦτα λέγων καὶ Πύρ-
ρων ὁ Ἠλεῖος· ἀλλ' αὐτὸς μὲν οὐδὲν ἐν γραφῇ καταλέλοιπεν.
Ὁ δὲ μαθητὴς αὐτοῦ Τίμων φησὶ δεῖν τὸν μέλλοντα εὐδαι-
μονήσειν εἰς τρία ταῦτα βλέπειν· πρῶτον μέν, ὁποῖα πέφυκε
τὰ πράγματα· δεύτερον δέ, τίνα χρὴ τρόπον ἡμᾶς πρὸς αὐτὰ d
διακεῖσθαι· τελευταῖον δέ, τί περιέσται τοῖς οὕτως ἔχουσι.
3 Τὰ μὲν οὖν πράγματά φησιν αὐτὸν ἀποφαίνειν ἐπίσης ἀδιά-
φορα καὶ ἀστάθμητα καὶ ἀνεπίκριτα, διὰ τοῦτο μήτε τὰς
αἰσθήσεις ἡμῶν μήτε τὰς δόξας ἀληθεύειν ἢ ψεύδεσθαι. Διὰ
τοῦτο οὖν μηδὲ πιστεύειν αὐταῖς δεῖν, ἀλλ' ἀδοξάστους καὶ
ἀκλινεῖς καὶ ἀκραδάντους εἶναι, περὶ ἑνὸς ἑκάστου λέγοντας
ὅτι οὐ μᾶλλόν ἐστιν ἢ οὐκ ἔστιν, ἢ καὶ ἔστι καὶ οὐκ ἔστιν, ἢ
4 οὔτε ἐστὶν οὔτ' οὐκ ἔστιν. Τοῖς μέντοι διακειμένοις οὕτω
περιέσεσθαι Τίμων φησὶ πρῶτον μὲν ἀφασίαν, ἔπειτα δ' ἀτα-
ραξίαν, Αἰνησίδημος δὲ ἡδονήν.

c 4. δεῖ] δεῖν C.F.G. ἐγένοντο—ὑπολαμβάνοιεν ἂν om. B. 5. πάλαι] παλαιῶν D. 6. ὁ Ἀριστ.] ὁ om. C.F.G.I. 7. μέντοι] μὲν I. τοιαῦτα] ταῦτα C.D. 9. ὁ δέ γε] γε om. C.F.G. 10. εὐδαιμονήσειν] εὐδαιμονίσειν C. 11. πράγματα] γράμματα C. d 5. ἀνέγκριτα] ἀνεπίκριτα C.D.F.G. v. p. 760 a 6. 9. ἑνὸς om. I. 10. καὶ οὐκ ἔστιν] Addidi ἢ οὔτε ἐστὶν cum C.D.F.G. 11. τοὺς—διακειμένους I. μέντοι] μέντοι γε D.F.G. 12. ἀφασίαν om. I. cum lacuna tamen. ult. Αἰνησίδ.] Αἰνεσίδ. D. De eo vide Menag. ad D. Laërt. IX. 62. Fabric. B. G. T. III. p. 621. Harl.

Timonis Sceptici doctrina tribus capitibus comprehensa.

2 licet de aliis quærere. Nonnullorum certe olim vox ea fuit, quos refellit
Aristoteles. Et Pyrrho quidem Eleus opinionis hujus defensor erat acer
in primis ac vehemens, nihil tamen scriptum reliquit. At Timo ejus disci-
pulus, tria ei spectanda docet qui ad felicitatem aspirat: primum, cujus-
modi rerum natura sit: deinde, quem in iis modum tenere debeamus:
3 postremo, quid iis eventurum sit, qui hoc fecerint. Res ergo quod attinet,
promiscuas ipsi omnium habendas esse tradit, ac nutantes, dubiasque
rationes: proinde nec in sensibus, nec in opinionibus verum aut falsum
inesse posse: ex quo demum id sequatur, fidem iis haberi nullam opor-
tere, agendumque nobis propterea, nihil ut opinemur, nullam inclinemus
in partem, inconcussi denique semper immotique maneamus: atque ita,
quicquid propositum nobis fuerit, id non potius esse, quam non esse, aut
4 esse idem et non esse dicamus, imo ne non esse quidem. Cæterum qui
hunc in modum comparati fuerint, id consequuturos illos esse confirmat,
primum ut asseverent nihil, deinde nulla ut unquam perturbatione move-
antur, cui utrique voluptatem Ænesidemus adjungit.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

5 Τὰ μὲν οὖν κεφάλαια τῶν λεγομένων ἐστὶ ταῦτα· σκεψώ- p. 759
μεθα δ' εἰ ὀρθῶς λέγουσιν. Ἐπεὶ τοίνυν ἐπίσης ἀδιάφορα
πάντα φασὶν εἶναι, καὶ διὰ τοῦτο κελεύουσι μηδενὶ προστί-
θεσθαι, μηδὲ δοξάζειν, εἰκότως ἄν, οἶμαι, πύθοιτό τις αὐτῶν,
[443] ἆρά γε διαμαρτάνουσιν οἱ διαφέρειν αὐτὰ νομίζοντες ἢ οὔ;
Πάντως γὰρ, εἰ μὲν ἁμαρτάνουσιν, οὐκ ὀρθῶς ὑπολαμβάνοιεν
ἄν. Ὥστε ἀνάγκη λέγειν αὐτοῖς εἶναί τινας τοὺς τὰ ψευδῆ
περὶ τῶν ὄντων δοξάζοντας· αὐτοὶ τοίνυν εἶεν ἂν οἱ τἀληθῆ
λέγοντες· οὕτω δὲ εἴη ἂν ἀληθές τι καὶ ψεῦδος. Εἰ δ' b
οὐχ ἁμαρτάνομεν οἱ πολλοὶ τὰ ὄντα διαφέρειν οἰόμενοι, τί
μαθόντες ἐπιπλήττουσιν ἡμῖν; Αὐτοὶ γὰρ ἁμαρτάνοιεν ἂν
6 ἀξιοῦντες μὴ διαφέρειν αὐτά. Καὶ μὴν εἰ καὶ δῷημεν αὐτοῖς
ἐπίσης ἀδιάφορα πάντα εἶναι, δῆλον ὡς οὐκ ἂν διαφέροιεν
οὐδ' αὐτοὶ τῶν πολλῶν. Τίς οὖν εἴη ἂν αὐτῶν ἡ σοφία;
Καὶ διὰ τί Τίμων τοῖς μὲν ἄλλοις λοιδορεῖται πᾶσι, Πύρ-
7 ρωνα δ' ὑμνεῖ μόνον; Ἔτι γε μὴν εἰ ἐπίσης ἐστὶν ἀδιάφορα
πάντα καὶ διὰ τοῦτο χρὴ μηδὲν δοξάζειν, οὐκ ἂν οὐδὲ ταῦτα c
διαφέροι· λέγω δὲ τὸ διαφέρειν ἢ μὴ διαφέρειν, καὶ τὸ δοξά-
ζειν ἢ μὴ δοξάζειν. Τί γὰρ μᾶλλον τοιαῦτά ἐστιν ἢ οὐκ

p. 759. 9. ὥστε] παλαιοὶ μέν τινες εἶπον τοῦτο ὥστε B. 11. ἂν om. F.G. b 2. διαφέρειν οἰόμενοι] διαφέροντες B. 3. παθόντες] μαθόντες B.C.D.F.G. Vid. Fischerum ad Platon. Apol. s. 26. p. 36. Steph. 4. ἀξιοῦντες] ἀξίως B. qui om. μὴ διαφ. αὐτά. 5. ἀδιάφορα] διάφορα B. 7. ἂν αὐτῶν] αὐτῶν ἂν C.F.G. 8. τίμων om. B. 9. ὑμνεῖ] ὑμνεῖν D. 10. ἔτι γε—διὰ τί om. B. ἐπίσης ἐ. ἀδ. π.] ἀδ. π. ἐπ. ἐ. C.F.G. c 3. ταῦτα] τοιαῦτα C.D.F.G.I.

Prima Timonis refutatio.

5 Cum igitur isti promiscuas rerum omnium rationes esse velint, proindeque aut ulli hærendum, aut opinandum quicquam esse negent: ex iis utique merito quærat aliquis, errentne qui discriminis aliquid inter eas constituant, an non? Si enim errant, utique non recte sentiunt. Ita nonnullos esse dicant ipsi quoque necesse est, qui falso de rebus opinentur, se porro unos esse, qui vere pronuntient: ex quo profecto sequitur veri aliquid falsique reperiri. Quod si non erramus, quotquot res ab aliis alias vulgo distinguimus, quænam illos intemperiæ tenent, qui nos tam vehementer incessant, cum eosdem errare necesse sit, dum nullum ab iis non

Secunda ejusdem refutatio.

6 discrimen excludunt? Verum esto, demus tamen illis nulla res prorsus omnes diversitate secerni: ab hominum vulgo nihil ergo differunt ipsi quoque. Sapientiam igitur isti quam nobis tandem ostendunt? aut cur

Tertia refutatio.

7 omnes Timonis ore proscinduntur, Pyrrho celebratur unus? Præterea, si nihil in rebus discriminis est, ne differre quidem aut non differre, opinari aut non opinari discriminis quicquam subibunt. Cur enim sint potius

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

ἔστιν; Ἢ, ὥς φησι Τίμων, διὰ τί ναὶ, καὶ διὰ τί οὒ, καὶ αὐτὸ τὸ διατί; Φανερὸν οὖν ὡς ἀναιρεῖται τὸ ζητεῖν· ὥστε παυσάσθωσαν ἐνοχλοῦντες. Ἐπεὶ νῦν γε μεμήνασι πόρρω τέχνης ἅμα μὲν ἡμῖν διακελευόμενοι μὴ δοξάζειν, ἅμα δὲ κελεύοντες αὐτὸ τοῦτο ποιεῖν, καὶ λέγοντες ὡς περὶ οὐδενὸς ἀποφαίνεσθαι δέοι, κἄπειτα ἀποφαινόμενοι· καὶ ἀξιοῦσι μὲν d μηδενὶ συγκατατίθεσθαι, πείθεσθαι δ᾽ αὐτοῖς κελεύουσιν· εἶτα λέγοντες μηδὲν εἰδέναι πάντας ἐλέγχουσιν ὡς εὖ εἰδότες.

8 Ἀνάγκη τε τοὺς φάσκοντας ὡς ἄδηλα πάντα εἴη, δυοῖν θάτερον, ἢ σιωπᾶν ἢ ἀποφαίνεσθαί τι καὶ λέγειν. Εἰ μὲν οὖν ἡσυχίαν ἄγοιεν, δῆλον ὅτι πρός γε τοὺς τοιούτους οὐδεὶς ἂν εἴη λόγος· εἰ δ᾽ ἀποφαίνοιντο, πάντη τε καὶ πάντως [ἢ] εἶναί τι φαῖεν ἂν ἢ μὴ εἶναι, καθάπερ ἀμέλει νυνί φασιν ὡς εἴη

9 πάντα ἄγνωστα καὶ νομιστὰ πᾶσι. Ὡς δ᾽ οὐδὲν τοῦτο τοίνυν ὁ ἀξιῶν, ἤτοι δηλοῖ τὸ πρᾶγμα καὶ ἔνεστιν αὐτὸ συνεῖναι λεγόμενον, ἢ οὐκ ἔνεστιν. Ἀλλ᾽ εἰ μὲν οὐ δηλοῖ, καθάπαξ

c 5. *διατὶ διατὶ* D. *τὸ* om. F.G. 7. *ἐνοχ.*] *οἱ ἐνοχ.* E. 8. *πόρρω τέχνης* om. B. ubi mox om. *καὶ λέγοντες—ἀποφαινόμενοι.* d 2. *κελεύουσιν*] *κελεύοντες* B. 4. *τε*] *ἴσ. δὲ* Vigeri margo. 5. *δυεῖν*] *δυοῖν* B.C.D.F.G. 8. *ἂν εἴη*] *εἴη* om. C. Mox *ἀποφαίνονται* I. 9. *ἢ εἶναι*] *ἢ* om. B.C.F.G. *πάντως ἢ* om. D. Mox *καθάπερ—εἴη* om. B. qui pergit *ἢ πάντα.* 10. *ἀμέλειν* F. 11. *καὶ νομιστὰ*] *ἢ νομ.* B. *γνωστὸν δ᾽ οὐδέν που. ὁ τοίνυν*] *γνωστὸν δ᾽ οὐδέν που* om. B. quorum loco *ὡς δ᾽ οὐδὲν τοῦτο* C.F. *ὡς δ᾽ οὐθὲν τοῦτο* D.G. pergit *δηλοῖ τὶ πρᾶγμα* D. In E. item *ὡς δ᾽ οὐδέν.* In I. *ὡς δ᾽ οὐδὲν τοῦ τοίνυν ὁ ἀ.* 12. *ὁ τοίνυν*] *τοίνυν ὁ* B.C.E.F.G. *ἤτι*] *ἤτοι* B.C.F.G. Tum *τὸ πρ.* C.F.G. 14. *ἔνεστιν*] *ἔστιν* B. et sic mox. Idem om. *συνεῖναι λεγόμενον.*

ista quoque, quam non sint? vel, ut Timon ipse loqui solet, Cur ita? cur non? imo, quorsum tandem vel ipsum cur? omnem enim quæstionem funditus proinde tollendam esse constat. Desinant igitur molestiam nobis ultra facessere. Nam insaniunt illi profecto, dum suæ ipsorum artis obliti, nos opinari quicquam jubent simul atque vetant, iidemque pronuntiant aliquid de rebus, qui tamen nihil pronuntiandum esse statuunt. Nolunt te nimirum sentire cum ullo, sibi tamen omnes fidem habere volunt: dumque se nihil scire profitentur, omnes tamen, quasi res apprime norint,

8 passim reprehendunt. At incerta omnia esse qui dicant, hos e duobus alterum, aut silere necesse est, aut aliquid pronuntiare. Si quiescent, nulla cum iis futura disputatio est: sin dicent aliquid; vel esse quiddam, vel non esse omnino dicturi sunt: quemadmodum utique obscura esse cunctis universa nunc dicunt, atque in sola opinione posita, notum esse

Quarta refutatio

9 nihil. Porro qui sumit aliquid, aut rem illam sic aperit, ut intelligi dum explicatur ea possit, aut obscuram potius et ignotam relinquit. Si non

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

οὐδεὶς οὐδ' οὕτω πρὸς τὸν τοιοῦτον ἂν εἴη λόγος. Εἰ δὲ p. 760
σημαίνοι, πάντως ἢ ἄπειρα λέγοι ἂν ἢ πεπερασμένα· καὶ εἰ μὲν ἄπειρα, οὐδ' οὕτως ἂν εἴη λόγος πρὸς αὐτὸν, ἀπείρου γὰρ γνῶσις οὐκ ἔστι· πεπερασμένων δὲ ὄντων τῶν δηλουμένων ἢ ἑνὸς ὁτουοῦν, ὁ τοῦτο λέγων ὁρίζει τι καὶ κρίνει. Πῶς οὖν ἄγνωστα καὶ ἀνεπίκριτα πάντα εἴη ἄν; Εἰ δὲ φαίη ταὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι, πρῶτον μὲν ἔσται ταυτὸ καὶ ἀληθὲς καὶ ψεῦδος, ἔπειτα δὲ ἐρεῖ τι καὶ οὐκ ἐρεῖ, καὶ λόγῳ χρώμενος ἀναιρήσει λόγον, ἔτι δὲ ὁμολογῶν ψεύδεσθαι πιστεύειν ἑαυτῷ
10 φησὶ δεῖν. Ἄξιον δὲ ζητῆσαι πόθεν καὶ μαθόντες ἄδηλα b
πάντα φασὶν εἶναι. Δεῖ γὰρ εἰδέναι πρότερον αὐτοὺς τί δή ποτ' ἐστὶ τὸ δῆλον· οὕτω γοῦν ἂν ἔχοιεν λέγειν ὡς οὐκ εἴη τὰ πράγματα τοιαῦτα. Πρῶτον γὰρ εἰδέναι χρὴ τὴν κατάφασιν, εἶτα τὴν ἀπόφασιν. Εἰ δὲ ἀγνοοῦσιν ὁποῖόν ἐστι
11 τὸ δῆλον, οὐκ ἂν εἰδεῖεν οὐδὲ τί τὸ ἄδηλον. Ὁπόταν γε μὴν Αἰνησίδημος ἐν τῇ ὑποτυπώσει τοὺς ἐννέα διεξίῃ τρόπους (κατὰ τοσούτους γὰρ ἀποφαίνειν ἄδηλα τὰ πράγματα πε-

ult. πρὸς τὸν τοιοῦτον om. B.
p. 760. εἰ δὲ] εἰ μὲν E. λέγοι ἂν] ἂν om. B. 2. ὅλως] οὕτως B.C.D.F.G. 8. ταῦτα] ταὐτὸ B.C.D.F.G. Tum καὶ om. C.F.G. b. φησι] φήσει B. μαθόντες] μαθόντας E. Mox παντάπασιν E.I. 4. οὐκ εἴη] οὐ B. 7. ἐστι] ἔσται B. 8. ὁπόταν—πίστις om. B. 10. διεξίῃ] διεξήει C.F.I. διεξείη D. ἐννέαδι ἐξήει G.

aperiet, ne tum quidem ulla cum eo futura disputatio est. Sin explicabit aliquid, prorsus aut infinita dicet, aut suis quibusdam finibus circumscripta. Quod si infinita, rursus omnem secum agendi facultatem eripiet, quod infiniti cognitio nulla esse possit. At si finita quædam, aut etiam unum aliquid aperiet; qui hoc faciat, definiat idem aliquid, judicetque necesse est. Quînam igitur obscura omnia et promiscua esse possint? Jam vero, si eadem esse simul ac non esse dicet: primum quidem verum simul idem ac falsum erit: deinde aliquid ipse dicet, dicetque nihil, atque ita orationem, oratione dum utetur, extinguet. Præterea, qui se falsum
10 dicere fateatur, idem sibi fidem haberi vult. Jam vero, quæri etiam ex illis poterit, unde tandem incerta esse universa didicerint? Prius enim quid illud sit quod certum vocatur, nosse debent; tumque demum, ejusmodi non esse omnia statuere poterunt: affirmationis quippe notitia negationis cognitionem antecedit. Qui si minus quid certum sit noverint, ne
11 incertum quidem illi quid sit nosse poterunt. Enimvero cum Ænesidemus in sua illa, quam informabat hypotyposi, novem omnino modos exponeret, (totidem enim quam incerta sint omnia declarare conabatur;) utrum eos-

Quinta refutatio.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

πείραται) πότερον αὐτὸν φῶμεν εἰδότα λέγειν αὐτοὺς ἢ ἀγνο- c
οῦντα; Φησὶ γὰρ ὅτι τὰ ζῷα διαφέρει, καὶ ἡμεῖς αὐτοὶ, καὶ
αἱ πόλεις, καὶ οἱ βίοι, καὶ τὰ ἔθη, καὶ οἱ νόμοι· καὶ τὰς αἰσθή-
σεις δέ φησιν ἡμῶν ἀσθενεῖς εἶναι, καὶ πολλὰ τὰ ἔξωθεν
λυμαινόμενα τὴν γνῶσιν, ἀποστήματα, καὶ μεγέθη, καὶ κινή-
σεις· ἔτι δὲ τὸ μὴ ὁμοίως διακεῖσθαι νέους καὶ πρεσβυτέρους,
καὶ ἐγρηγορότας καὶ κοιμωμένους, καὶ ὑγιαίνοντας καὶ νοσοῦν-
τας· οὐδενός τε ἡμᾶς ἁπλοῦ καὶ ἀκραιφνοῦς ἀντιλαμβάνεσθαι.
12 Πάντα γὰρ εἶναι συγκεχυμένα, καὶ πρός τι λεγόμενα. Ταῦτα
[444] δὲ, φημὶ, καὶ τὰ τοιαῦτα κομψολογοῦντα αὐτὸν ἡδέως ἄν τις d
ἤρετο, πότερον εὖ εἰδὼς λέγοι διότι τὰ πράγματα τοῦτον
ἔχει τὸν τρόπον ἢ ἀγνοῶν· εἰ μὲν γὰρ οὐκ ᾔδει, πῶς ἂν
ἡμεῖς αὐτῷ πιστεύοιμεν; Εἰ δ' ἐγίνωσκε, κομιδῇ τις ἦν ἠλί-
θιος ἅμα μὲν ἄδηλα πάντα ἀποφαινόμενος, ἅμα δὲ τοσαῦτα
13 λέγων εἰδέναι. Καὶ μὴν ὁπότε γε τοιαῦτα διεξίοιεν, οὐδὲν
ἀλλ' ἢ ἐπαγωγήν τινα λέγουσι, δεικνύντες ὁποῖ' ἄττα εἴη τὰ
φαινόμενα καὶ τὰ καθ' ἕκαστα· τὸ δὲ τοιοῦτο καὶ ἔστι καὶ
λέγεται πίστις. Εἰ μὲν οὖν αὐτῇ συγκατατίθενται, δῆλον

c 2. φησὶ] φήσει I. διαφέρει] διαφέροι E. διαφέρει^{οι} I. 4. ἔθη] ἔθνη D. 12. ταῦτα δὲ] ταῦτα δὴ I. d 2. εἴρετο] ἤρετο D.F.G. λέγοι] λέγει C.F.G. 3. ἔχει] ἔχοι I. 4. εἰ μὲν] μὲν om. F. 5. πιστεύοιμεν] πιστεύομεν D. 8. γε τὰ] τὰ om. C.D.F.G. 11. τοιοῦτο καὶ] τοιοῦτον καὶ I. καὶ om. C.F.G. καὶ ἔστι καὶ λέγεται nescio an om. E. nam collationem h. l. non intelligo. 12. αὐτῇ] αὐτοὶ B.

dem norat ipse qui diceret, an ignorabat? Nam is quidem in animantibus,
imo etiam et in nobis ipsis, urbibus, institutis, moribus ac legibus discri-
men agnoscit: idem vero et infirmos ait sensus esse nostros, et plurima
quæ cognitioni extrinsecus officiant impedimenta commemorat, intervalla,
magnitudines, motus, juvenum atque senum, vigilantium et dormientium,
valentium et ægrotantium dissimiles aliosque sensus; rerum dum eas
percipimus, quod permixtæ sint omnes, et cum aliquo semper ad aliud
12 quid ordine proferantur, sincerum nunquam simplicemque vultum. Hæc,
inquam, ille cæteraque id genus dum magnifice loquitur, quærat ex eo jure
quispiam, sitne hæc hominis varias illas rerum conditiones probe scientis,
an potius ignorantis oratio? Si enim illas ignorat, quî tandem ipsi fidem
habebimus? Sin eas probe norit, næ stolidus admodum est, qui cum ob-
13 scura esse omnia statuat, tam multa se tamen scire confirmet. Utique
dum talia oratione percensent, inductionem aliquam modo texunt, et cujus-
modi quæque sint quæ appareant, sigillatim ostendunt: quod quidem
orationis genus est vocaturque fides. Hanc igitur illi si sequuntur, eosdem

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

ὅτι δοξάζουσιν· εἰ δ' οὐ πιστεύουσιν, οὐδ' ἂν ἡμεῖς προσέχειν
14 αὐτοῖς βουληθείημεν. Ὅ γε μὴν Τίμων ἐν τῷ Πύθωνι διηγεῖται μακρόν τινα κατατείνας λόγον, ὡς ἐντύχοι τῷ Πύρ- p. 761
ρωνι βαδίζοντι Πυθοῖδε παρὰ τὸ ἱερὸν τὸ τοῦ Ἀμφιαράου, καὶ τίνα διαλεχθεῖεν ἀλλήλοις. Ἆρ' οὖν οὐκ εὐλόγως ἄν τις αὐτῷ ταῦτα συγγράφοντι παραστὰς εἴποι, Τί, ὦ πονηρὲ, ἐνοχλεῖς σεαυτῷ ταῦτα συγγράφων, καὶ ἃ μὴ οἶσθα διηγούμενος; Τί γὰρ μᾶλλον ἐνέτυχες αὐτῷ ἢ οὐκ ἐνέτυχες, καὶ
15 διελέχθης ἢ οὐ διελέχθης; Αὐτός τε ἐκεῖνος ὁ θαμαστὸς Πύρρων ἆρά γε ᾔδει τὸ διὰ τί βαδίζοι Πύθια θεασόμενος; Ἢ καθάπερ οἱ μεμηνότες ἐπλανᾶτο κατὰ τὴν ὁδόν; Ἡνίκα δὲ ἤρξατο κατηγορεῖν τῶν ἀνθρώπων καὶ τῆς ἀγνοίας αὐτῶν, b
ἆρά γε φῶμεν αὐτὸν ἀληθῆ λέγειν ἢ μὴ, καὶ τὸν Τίμωνα παθεῖν τι καὶ συγκαταθέσθαι τοῖς λόγοις ἢ μὴ προσέχειν; Εἰ μὲν γὰρ οὐκ ἐπείσθη, πῶς ἀντὶ χορευτοῦ φιλόσοφος ἐγένετο, καὶ τὸν Πύρρωνα διετέλεσε θαυμάζων; Εἰ δὲ συγκατέθετο τοῖς λεγομένοις, ἄτοπος ἂν εἴη τις, αὐτὸς μὲν

ult. προσέχοιμεν] προσέχειν C.F.G. qui addunt βουληθείημεν post αὐτοῖς. p. 761. 2. κατατείνας om. B. κατάτινας D.F.G. 3. τοῦ ἀμ.] τὸ τοῦ ἀμ. C.E.F.G.I. Tum ἀμφιαράῳ B. 4. ἆρ' οὐκ] ἆρ' οὖν οὐκ B. C.F.G. 5. ταῦτα—εἴποι] ἀντερεῖ B. 6. συγγράφων] γράφων B. 8. ἐνέτυχες] ἐνέτυχες ἢ οὐκ ἐνέτυχες B.C.E.F.G.I. διηλέχθης] διελέχθης C. et D. bis. διειλέχθης I. 9. διὰ τί] διότι C.F.G. αὐτός τε— usque ad φαίη δῆλον om. B. 10. θεασόμενος] θεασάμενος I. b 2. ἆρά γε om. C.F.G. post ἢ μή.

proinde opinari nemo non videt: si vero non credunt, ne ipsi quidem illos
14 audiemus. Jam vero quod in Pythone longam adeo Timon ipse narrationem instituit, quemadmodum in Pyrrhonem circa templum Amphiarai, dum Pythiam peteret, inciderit, et quosnam cum eo sermones miscuerit: quis non ea scribentem his verbis jure conveniat? Quid ipse tibi, homo nequam, molestus es, dum ista scribis, eaque commemoras, quæ tu nescis? Cur enim in eum incidisti, aut cur sermones cum eo miscuisti potius,
15 quam non miscuisti? Pyrrho autem ille tuus tam excellens, tamque divinus, satisne quorsum ad Pythia spectanda pergeret ipse norat? an vero, quod furiosi solent, in via temere vagabatur? Idem vero cum et homines et hominum ignorantiam accusare cœpit, num ille nobis verum dicere videatur, an non? Quid Timon? an ejus est oratione commotus? fidem illi habuit, an negavit? Si negavit, quî tandem evasit e saltatore philosophus? aut cur Pyrrhonem tam vehementer postea constanterque suspexit? Qui si ejus verbis fidem habuit, inepte profecto facit, qui nos dum philo-

Argumentum ad hominem, quo Timon convincitur.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

16 φιλοσοφῶν, ἡμᾶς δὲ κωλύων. Ἁπλῶς δὲ θαυμάσαι τις ἄν, οἱ Τίμωνος σίλλοι καὶ αἱ κατὰ πάντων ἀνθρώπων βλασφημίαι, καὶ αἱ μακραὶ στοιχειώσεις Αἰνησιδήμου, καὶ πᾶς ὁ τοιοῦτος ὄχλος τῶν λόγων τί δήποτε βούλεται αὐτοῖς. Εἰ μὲν γὰρ οἰόμενοι κρείττους ἡμᾶς ἀπεργάσεσθαι ταῦτα γε- c γράφασι, καὶ διὰ τοῦτο πάντας οἴονται δεῖν ἐλέγχειν ὅπως παυσώμεθα φλυαροῦντες, βούλονται δηλονότι τὴν ἀλήθειαν ἡμᾶς εἰδέναι, καὶ ὑπολαβεῖν ὅτι τοιαῦτα εἴη τὰ πράγματα καθάπερ ἀξιοῖ Πύρρων. Ὥστε εἰ πεισθείημεν αὐτοῖς ἐκ χειρόνων βελτίους ἂν γενοίμεθα, κρίναντες τὰ συμφορώτερα
17 καὶ τοὺς ἄμεινον λέγοντας ἀποδεξάμενοι. Πῶς οὖν ἐπίσης ἀδιάφορα τὰ πράγματα καὶ ἀνεπίκριτα δύναιτ' ἂν εἶναι; Καὶ πῶς ἀσυγκατάθετοι καὶ ἀδόξαστοι γενοίμεθ' ἄν; Εἰ δ' οὐδὲν ὄφελός ἐστι τῶν λόγων, τί ἡμῖν ἐνοχλοῦσιν; Ἢ διὰ τί Τίμων φησίν,

Οὐκ ἂν δὴ Πύρρωνί γ' ἐρίσειεν βροτὸς ἄλλος; d

Οὐ γὰρ μᾶλλον Πύρρωνα θαυμάσαι τις ἂν ἢ τὸν Κόροιβον

b 8. *θαυμ. τινες ἂν αἱ* T. D. *αἱ* T. E. *τινες ἂν* I. Mox *βλασφημεῖαι* I. 10. *κακαὶ*] *μακραὶ* C.F.G.I. c. *ἀπεργάσεσθαι*] *ἀπεργάσασθαι* D.F.G. *ταῦτα*] *διὰ τοῦτο* C.F.G. 2. *διὰ τοῦτο ἡμᾶς εἰδέναι καὶ ὑπολαβεῖν ὅτι πάντας οἴονται δηλονότι τοιαῦτα εἴη τὰ πρ.* F. *πάντες* I. 4. *δηλονότι τὴν ἀλήθειαν*] *ὅτι* C. *τὴν ἀλήθ.* om. G. 7. *συμφορώτερα*] *συμφέροντα* C.F.G. 12. *τί ἡμῖν*] *τί μὴν* D.F.G. *Τίμων φησὶν*] *φ. Τ.* C.F.G. d. *βροτὸς*] *βροτὸν* C. 2. *κόρυβον*] *κόροιβον* C.D.F. Vid. Schol. Aristoph. Ran. 1021. Suid. in v.

Quam immerito cæteri a Scepticis rideantur.

16 sophatur, philosophari vetet. Atque ut universe loquamur, quid sannæ illæ Timonis omnes, et irrogatæ generi hominum universo contumeliæ: quid perniciosa Ænesidemi rudimenta, quid verborum tota illa congeries sibi velit, mirum jure cuipiam videatur. Si enim id hoc in scribendi genere sequebantur, uti nos meliores efficerent, eoque sibi carpendos omnes et incessendos putarunt, ut nugas tandem agere desinamus; id agunt videlicet ut perspectam habeamus veritatem, atque ita sese res, quomodo statuebat Pyrrho, habere credamus. Itaque si eorum in sententiam adducemur, dum et melius de rebus ipsi judicabimus, et saniora loquentes
17 audiemus, ex deterioribus profecto meliores efficiemur. Quod si ita est, quî tandem promiscuæ adeo rerum omnium esse queant implicitæque rationes, aut ipsi nos hærere nemini, ac nihil existimare quî possimus? At vero si disputationis suæ fructus est nullus, quid molesti porro nobis esse pergunt? aut quorsum versus iste Timonis,

Cum Pyrrhone hominum possit contendere nemo?

Nec enim caussæ quicquam fuerit, quamobrem Pyrrhonem suum miremur

ἐκεῖνον ἢ τὸν Μελητίδην, οἳ δὴ δοκοῦσι μωρίᾳ διενεγκεῖν.
18 Ἐνθυμεῖσθαι μέντοι χρὴ καὶ ταῦτα. Ποῖος γὰρ ἂν γένοιτο πολίτης, ἢ δικαστὴς, ἢ σύμβουλος, ἢ φίλος, ἢ ἁπλῶς εἰπεῖν ἄνθρωπος, ὅ γε τοιοῦτος; Ἢ τί τῶν κακῶν οὐ τολμήσειεν ἂν ὁ μηδὲν ὡς ἀληθῶς οἰόμενος [εἶναι] κακὸν, ἢ αἰσχρὸν, ἢ δίκαιον, ἢ ἄδικον; Οὐδὲ γὰρ ἐκεῖνο φαίη τις ἂν, ὅτι τοὺς νόμους δεδοίκασι καὶ τὰς τιμωρίας οἱ τοιοῦτοι, πῶς γὰρ οἵ γε ἀπαθεῖς καὶ ἀτάραχοι, καθάπερ αὐτοί φασιν,
19 ὄντες; Ὅ γέ τοι Τίμων ταῦτα καὶ λέγει περὶ τοῦ Πύρρωνος,

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

> Ἀλλ' οἷον τὸν ἄτυφον ἐγὼ ἴδον ἠδ' ἀδάμαστον
> πᾶσιν ὅσοι δαμνᾶτε βροτῶν ἄφατοί τε φατοί τε
> λαῶν ἔθνεα κοῦφα, βαρυνόμεν' ἔνθα καὶ ἔνθα
> ἐκ παθέων, δόξης τε, καὶ εἰκαίης νομοθήκης.

p. 762

20 Ὁπόταν μέντοι φῶσι τὸ σοφὸν δὴ τοῦτο, ὅτι δέοι κατακο-
[445] λουθοῦντα τῇ φύσει ζῆν καὶ τοῖς ἔθεσι, μηδενὶ μέντοι συγκατα-

d 3. Μελιτ.] Μελητ. C.F.G. μελτίδην D. μυρίᾳ pro μωρίᾳ C.G. 5. ὁποῖος] ποῖος C.F.G. ποῖ D. 8. εἶναι κακὸν] εἶναι om. C.F.G. 9. οὐδὲ γὰρ] οὐ γὰρ C.F.G. 10. κριτὰς καὶ τὰς] κριτὰς om. C.D.G.I. Supra δεδώκασι D. 12. καὶ λέγει] καὶ om. C.F.G. ult. ἀλλοῖον] ἀλλ' οἷον D. ἴδον ἢ ἀδ.] εἶδον (F.) ἢ δ' εὐδ. C. ἤδ' ἀδαμ. D.F.G.

p. 762. ὅσοις δαμνᾶται ἅμ' ἀρρήτοις τε φατοῖς τε] ὅσα δάμνανται βροτῶν ἄφατοί τε φατοί τε C.F.G. δαμνᾶται βροτῶν ἄφατοί τε φατοί τε D. δ. ὅμως ἀκοποί τε I. 2. βαρυνόμεν'] βαρυνόμενος C.D.F.G. 4. ὁπόταν] ὁπότε C.F.G. ὅτι δέοι] διότι δέοι C.F.G. διότι δέῃ D. 5. κατακολουθοῦντα] τἀκολουθοῦντα E.I. φύσει] τῇ φύσει C.D.F.G. ζῆν om. C. post φύσει ponunt E.F.I. non post ἔθεσι.

potius, quam aut Corybum illum aut Melitidem, qui tamen stultitiæ prin-
18 cipes haberi solent. Jam ne prætereundum illud quidem leviter est quod sequitur. Quem enim, obsecro, aut civem illum aut judicem, cujusmodi vel consiliarium, vel amicum, vel denique hominem habituri sumus? Aut quid ille flagitii non audebit, qui honestum vere nihil aut turpe, qui justum esse nihil aut injustum opinabitur? Apage enim, qui aut legum sententiam genus hoc hominum dixerit, aut pœnarum acerbitatem extimescere? Quomodo enim in eos metus iste cadat, qui ab omni se perturbatione vacuos
19 prædicant? Nam de Pyrrhone quidem canit ista Timon,

Sexta Timonis et aliorum scepticorum refutatio, a consequentibus incommodis.

> Unum illum novi, quem nulla superbia tollat,
> Non fanda atque infanda doment, quibus omnis ubique
> Succumbit populus, vario dum turbidus æstu,
> Atque animi dubius, cæcaque cupidine præceps
> Huc illuc rapitur.

20 Præterea dum egregium illud sapiensque dictum pronuntiant, in vita instituenda naturæ consuetudinisque ductum sequi oportere, simulque nulla

Septima refutatio ducta a repugnantibus.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

τίθεσθαι, πάνυ τινές εἰσιν εὐήθεις. Εἰ γὰρ μηδενὶ ἄλλῳ
τούτῳ γοῦν αὐτῷ δεῖ συγκαταθέσθαι, καὶ ὑπολαβεῖν
οὕτως ἔχειν αὐτό. Τί δὲ μᾶλλον τῇ φύσει καὶ τοῖς ἔθεσι
δεῖ κατακολουθεῖν ἢ οὐ δεῖ, μὴ εἰδότας γε δὴ μηδὲν, μηδὲ ἔχον-
21 τάς τι ὅτῳ κρινοῦμεν; Ἐκεῖνο μὲν γὰρ καὶ παντάπασίν ἐστιν
ἠλίθιον, ἐπειδὰν λέγωσιν ὅτι καθάπερ τὰ καθαρτικὰ φάρ- b
μακα συνεκκρίνει μετὰ τῶν περιττωμάτων καὶ ἑαυτὰ, τὸν
αὐτὸν τρόπον καὶ ὁ πάντα ἀξιῶν εἶναι λόγος ἄδηλα μετὰ
τῶν ἄλλων ἀναιρεῖ καὶ ἑαυτόν. Εἰ γὰρ αὐτὸς αὑτὸν ἐλέγχοι,
ληροῖεν ἂν οἱ χρώμενοι τούτῳ. Βέλτιον οὖν ἡσυχίαν ἄγειν
22 αὐτοὺς, καὶ μηδὲ τὸ στόμα διαίρειν. Ἀλλὰ μὴν οὐδ' ὅμοιον
ἔχει τι τὸ καθαρτικὸν φάρμακον καὶ ὁ τούτων λόγος. Τὸ
μὲν γὰρ φάρμακον ἐκκρίνεται, κἂν τοῖς σώμασιν οὐχ ὑπο-
μένει· τὸν μέντοι λόγον ἐν ταῖς ψυχαῖς ὑπάρχειν δεῖ τὸν
αὐτὸν ὄντα καὶ πιστευόμενον αἰεί· μόνος γὰρ οὗτος εἴη ἂν ὁ
23 ποιῶν ἀσυγκαταθέτους. Ὅτι δ' οὐκ οἴονται τὸν ἄνθρωπον c
ἀδόξαστον εἶναι καὶ ὧδὶ καταμάθοι τις ἄν. Ἀδύνατον γὰρ

a 7. δέοι ἂν] δεῖ C.D.F. δέοι συγκατατίθεσθαι E.I. 9. καὶ τοῖς ἔθεσι post κατακολουθεῖν C.F.G. 10. μηδὲν] μηθὲν C.D.F.G. b 4. ἄλλων] ὅλων D. ἐλέγχοι] ἐλέγχει C.D.F.G. 5. τούτῳ] τοιούτῳ C.D.G. 7. ἔχει τι τὸ om. D. 9. κἂν] καὶ C. qui mox ἀεί. 11. πιστευόμενον] πιστεύομεν D. 12. οἴονται] οἷόν τε C.D.F.G. οἴονται E. c. ἀδύνατον] δυνατὸν E.I. Mox γὰρ om. F.

penitus in re hærendum esse docent, faciunt ineptissime. Nam ut fides cæteris omnibus detrahatur, huic saltem habenda necessario sit, planeque statuendum ita rem habere. Sed enim cur naturæ consuetudinisque ductum sequi potius nos oporteat, quam ab eo discedere, qui nec sciamus omnino quicquam, nec cujus vi judicium ferri possit quicquam habeamus?
21 Quod enim addunt, extremæ cujusdam stultitiæ est: quemadmodum pharmaca, in quibus purgandi vis est, sese cum excrementis ipsis pariter ac simul excernunt; ita quæ ratio incerta esse omnia conficiat, eam se quoque perinde ut reliqua funditus convellere. Nam si refutat ipsa sese, insulse faciat ea qui utetur. Quiescant igitur isti, ac ne hiscant quidem.
22 Tametsi nec pharmaco illi quo purgamur istorum ratio simile quicquam habet. Nam ita pharmacum excernitur, ut in corpore minime resideat: hæc ratio et eadem hæreat in mente semper, et fidem a nobis perpetuam impetret, necesse est, quod ea nos sola ne cuiquam assentiamur efficiat.
23 Porro quam ne isti quidem opinandi vim homini eripiant, vel ex eo intelligas. Qui sentit, idem ut ne sentiat fieri nullo modo potest: sentire

ΑΡΙΣΤΟ-ΚΛΕ-ΟΥΣ

τὸν αἰσθανόμενον μὴ αἰσθάνεσθαι. Τὸ δ᾽ αἰσθάνεσθαι, γνωρίζειν τι ἦν. Ὅτι δὲ καὶ πιστεύει τῇ αἰσθήσει, πᾶσι φανερόν· ἀκριβέστερον γὰρ θέλων ἰδεῖν ἀπέψησε τὼ ὀφθαλμώ,
24 καὶ προσῆλθεν ἐγγύτερον, καὶ ἐπιλυγίσατο. Καὶ μὴν ἡδόμενοί γε καὶ πονοῦντες ἴσμεν· οὐ γὰρ οἷόν τε τὸν καιόμενον ἢ τεμνόμενον ἀγνοεῖν. Τὰς δὲ δὴ μνήμας καὶ τὰς ἀναμνήσεις τίς οὐκ ἂν φαίη μεθ᾽ ὑπολήψεως γίγνεσθαι; Περὶ μὲν γὰρ τῶν κοινῶν ἐννοιῶν, ὅτι τὸ τοιοῦτον ἄνθρωπός ἐστιν, ἔτι δὲ περὶ τῶν ἐπιστημῶν καὶ τεχνῶν, τί λέγοι τις ἄν; Οὐδὲν γὰρ ἦν τούτων, εἰ μὴ πεφύκειμεν ὑπολαμβάνειν. d
Ἀλλ᾽ ἔγωγε ἐῶ τἄλλα. Τοῖς μέντοι λεγομένοις ὑπὸ τούτων ἐάν τε πιστεύωμεν, ἐάν τε ἀπιστῶμεν, ἀναγκαίως ἔχει δοξάζειν πάντῃ τε καὶ πάντως.

25 Ὅτι μὲν οὖν ἀμήχανόν ἐστι φιλοσοφεῖν τὸν τρόπον τοῦτον, φανερόν· ὅτι δὲ καὶ παρὰ φύσιν, καὶ παρὰ τοὺς νόμους, ὧδὶ κατίδοιμεν ἄν. Εἰ γὰρ ἂν τῷ ὄντι τὰ πράγματα

c 3. ὅτι] διότι C.D.E.F.G. 4. πᾶσι] πάνυ C.F.G. ἐθέλων] θέλων C. ἐθέλων F.G. 5. ἀπέψησε] ἀπεψῆσαι E.I. 6. ἐπιλλίσατο] ἐπηλυγάσατο C.F.G. ἐπηλύσατο. καὶ μὴν οἵ δέ γε δεόμενοι καὶ D. ἐπιλυγίσατο E. ἐπιλίσατο I. Reddit Vigerus *nictando intueri;* sed Græce dicitur ἐπιλλίζω, non ἐπιλλίζομαι, *oculis nicto.* Interpretor ἐπιλυγίσατο (vel ἐπηλυγάσατο, nam utramque formam vindicat Ruhnkenius ad Tim. p. 117. 118.) *intuetur manu oculos obscurante.* 7. οὐδὲ γὰρ] οὐ γὰρ C.F.G. οὐ μὲν γὰρ E.I. Deest ἴσμεν I. 8. ἀναμνήσεις] τὰς ἀν. C.D.F.G. 10. ἐννοιῶν] αἰτιῶν C.F.G. Mox τὸ om. I. d. πεφύκειμεν] ἐπεφύκει μὲν C. ἐπεφύκειμεν F.G. 3. πιστεύωμεν] πιστεύομεν C. 7. εἰ μὲν γὰρ τῷ] εἰ γὰρ ἂν τῷ ὄντι C. εἰ γὰρ αὖ τῷ D.F.G.I. εἰ μὲν αὖ τῷ ὄντι E. 8. πράγματα] προοίμια C.F.G.

autem cognoscere est. At eos sensui fidem habere nemo non videt. Nam ut certius aliquid intueri possint, cum purgare oculos, tum etiam accedere
24 propius, ac subinde nictando intueri solent. Quid quod nostrum ipsi tam lætitiæ quam doloris sensum novimus? Nec enim fieri possit, ut sese uri quis aut secari nesciat. Memoriam similiter ac recordationem quis non existimatione conjunctam esse dixerit? Quid de communi omnium sensu, qui ejusmodi hominem esse clamat; quid de artibus doctrinisque dicetur? Istorum quippe nihil haberemus, nisi a natura existimandi vim haberemus. At mitto cætera, dum hoc unum maneat, fidem ut iis sive habeamus, sive negemus, opinandi facultatem necessario nobis esse relinquendam.

25 Hactenus igitur nullam ejusmodi philosophandi rationem esse posse ostendimus. Quam eadem rationi ac legibus adversetur, hinc accipe. Nam si vere ita res habeant quid aliud superest, nisi ut sic tanquam in

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

τοιαῦτα εἴη, τί λοιπὸν ἀλλ' ἢ καθάπερ ἐν ὕπνῳ ζῆν ἡμᾶς εἰκῇ καὶ ἐμπλήκτως; Ὥστε φλυαροῖεν ἂν οἱ νομοθέται, καὶ στρατηγοὶ, καὶ οἱ παιδεύοντες. Ἀλλ' ἔμοι γε δοκοῦσιν οἱ μὲν ἄλλοι πάντες ἄνθρωποι ζῆν κατὰ φύσιν, μόνοι μέντοι τετυφῶσθαι μᾶλλον δὲ μεμηνέναι μανίαν ἐρρωμένην οἱ ταῦτα
26 ληροῦντες. Οὐχ ἥκιστα μέντοι τοῦτο καταμάθοι τις ἂν κἀκεῖθεν. Ἀντίγονος γοῦν ὁ Καρύστιος κατὰ τοὺς αὐτοὺς p. 763 γενόμενος χρόνους καὶ ἀναγράψας αὐτῶν τὸν βίον, φησὶ τὸν Πύρρωνα διωκόμενον ὑπὸ κυνὸς ἀναφυγεῖν ἐπί τι δένδρον, σκωπτόμενον δ' ὑπὸ τῶν παρόντων εἰπεῖν, ὡς χαλεπὸν εἴη ἄνθρωπον ἐκδῦναι. Φιλίστης δὲ τῆς ἀδελφῆς αὐτοῦ θυούσης, ἔπειτα τῶν φίλων τινὸς ὑποσχομένου τὰ πρὸς τὴν θυσίαν καὶ μὴ παρασχομένου, τοῦ μέντοι Πύρρωνος πριαμένου καὶ ἀγανακτοῦντος, ἐπειδήπερ ὁ φίλος ἔλεγεν, ὡς οὐ ποιήσαιτο σύμφωνα τοῖς λόγοις οὐδ' ἄξια τῆς ἀπαθείας, εἰπεῖν αὐτὸν, ἐν γοῦν γυναικὶ οὐ δεῖ τὴν ἀπόδειξιν αὐτῆς ποιεῖσθαι. Καίτοι

d 11. παιδεύοντες] παιδευόμενοι D. 12. μόνοι] καὶ οὐ D. ult. γὰρ] γοῦν C.F.G.I. οὖν D. Mox καρούστιος I.

p. 763. 2. αὐτῶν] αὐτοῦ Menagius ad D. Laërt. IX. 62. 5. εἴη] εἶναι I. ἐκδῦναι] ἐκδοῦναι C. Tum φιλίστας E.F.G.I. v. Diog. L. IX. 66. 9. φίλος] φιλόσοφος D. ποιήσαιτο] ποιῶ C.D.F.G. ποιησαίμην E.I. 11. οὐ δεῖ] οὐ om. C.E.F.G.I. Tum δεῖν E. ἐν οὖν δὴ γυναικὶ δεῖ D. Laertius: ὡς οὐκ ἐν γυναίῳ ἡ ἐπίδειξις τῆς ἀδιαφορίας.

somno, temere stolideque vivamus? Nugentur enimvero legislatores, duces præceptoresque nugentur. Equidem alios omnes ex naturæ præscripto vitam instituere sentio; rationem hanc philosophorum unam quæ tam
26 absurda loquatur, delirare, aut potius vehementer furere statuo. Quod ipsum ex sequenti Pyrrhonis facto maxime intelliges. Antigonus enim Carystius, qui sub eadem vivebat tempora, quique illorum vitam conscripsit, Pyrrhonem commemorat, ut sese insequenti cani eriperet, quandam ad arborem confugisse: qua de caussa cum ab iis qui aderant, rideretur, ægre admodum hominem exui respondisse. Præterea, cum Philista ejus soror sacrificium adornaret, quendam ex amicis, qui res ad illud necessarias pollicitus fuerat, promissis non stetisse. Pyrrhonem igitur eos sumptus facere coactum, graviter id acerbeque cum ferret, ex suo illo amico audiisse, parum se omnino suorum ex decretorum præscripto facere, atque ab omni perturbatione vacuum ostendere. Tum enimvero Pyrrhonem homini reposuisse, hujus rei fidem in mulierculæ caussa fieri non

Pyrrhonis factum cum ejus opinione pugnans.

δικαίως ἂν εἶπεν ὁ φίλος, ὅτι Ὦ μάταιε καὶ ἐν γυναικὶ, b καὶ κυνὶ, καὶ πᾶσιν, εἴ τι δή σοι τῶν λόγων τούτων ἐστὶν ὄφελος.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

27 Ὀρθῶς δ' ἔχει μαθεῖν, καὶ τίνες οἱ ζηλώσαντες αὐτὸν ἐγένοντο, καὶ τίνας ἐζήλωσεν αὐτός. Ὁ μὲν οὖν Πύρρων Ἀναξάρχου τινὸς ἐγένετο μαθητὴς, ὃς τὸ μὲν πρῶτον ἦν ζωγράφος, οὐδ' οὕτως εὐτυχὴς, ἔπειτα τοῖς Δημοκρίτου βιβλίοις ἐντυχὼν χρηστὸν μὲν οὐδὲν οὔτε εὗρεν οὔτε συνεγράψατο, κακῶς δὲ πάντας εἶπε καὶ θεοὺς καὶ ἀνθρώπους· αὐτὸς δ' ὕστερον τοῦτον τὸν τύφον περιβαλλόμενος, καὶ καλῶν ἄτυφον ἑαυτὸν οὐδὲν ἐν

28 [446] γραφῇ κατέλιπεν. Ἐγένετο δὲ μαθητὴς αὐτοῦ Τίμων Φλι- c άσιος, ὃς τὸ μὲν πρῶτον ἐχόρευεν ἐν τοῖς θεάτροις, ἔπειτα δ' ἐντυχὼν αὐτῷ συνέγραψεν ἀργαλέας παρῳδίας καὶ βωμολόχους, ἐν αἷς βεβλασφήμηκε πάντας τοὺς πώποτε φιλοσοφήσαντας. Οὗτος γὰρ ἦν ὁ τοὺς Σίλλους γράψας, καὶ λέγων,

Σχέτλιοι ἄνθρωποι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
τοίων ἔκ τ' ἐρίδων, ἔκ τε στοναχῶν πέπλασθε,

b. φίλος] φιλόσοφος D. ματαία] ὦ μάταιε C.D.F.G. μάταιαι I. 2. πᾶσιν] ἐν πᾶσιν D. εἰ δή σοι] τί δῆσοι C.D.F.G. εἰ δή τι σοι I. 3. γ' ἔχει] δ' ἔχει C.F.G.I. δ' ἔχειν D. 8. Leg. Menagius ad D. Laërt. IX. 67. ὅτι χρηστὸν οὐδὲν εὗρεν, ἔγραψε, aut, χρηστὸν μὲν οὐδὲν εὗρεν, ἐπέγραψε. ἔγραψε] συνεγράψατο C.F.G. οὔτε εὕρετο οὔτε συνέγ. D. 11. ἑαυτὸν] αὐτὸν C.D.F.G. c 7. οἶον om. F. 8. τοίων ἔκ τ' ἐρίδων] τι ὦ νεκταρίδων E. τιωνεκτερίδων I. v. Theodoret. p. 24, 28. πέπλασθε] πεπλάνησθε E.I.

debere. Cui sane amicus ille suus merito responderet, in muliere, in cane, in reliquis omnibus inane totum hoc disputandi genus futurum.

27 Quod si nonnullum tibi operæ pretium ex hac oratione futurum videtur, haud abs re fuerit, tum quos habuerit iste sectatores, tum quos æmulatus ipse fuerit, cognoscere. Fuit igitur Pyrrho cujusdam Anaxarchi discipulus: ac primum quidem picturæ operam dedit, at successu parum læto: postmodum vero in Democriti libros cum incidisset, nihil aut in iis boni reperit, aut ipse conscripsit, sed deos tantum hominesque omnes contumeliis ac probris oneravit. Idem postea cum hoc fastus genere laboraret, ac

Pyrrhonis præceptor et discipuli.

28 sese tamen ab omni fastu vacuum diceret, scripto reliquit nihil. Is discipulum habuit Timonem Phliasium, qui cum antea saltatorem ageret in scenis, ubi deinde hominem audiisset, mordaces et aculeatos versus edidit, quibus totam superiorum philosophorum nationem proscindebat. Fuit enim is Sillorum auctor, quorum e numero sunt qui sequuntur,

Vos genus infelix, nostræque infamia vitæ,
Nec nisi venter iners, dubio ex certamine ficti.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

Καὶ,

ἄνθρωποι κενεῆς οἰήσιος ἔμπλεοι ἀσκοί.

29 Μηδενὸς δ' ἐπιστραφέντος αὐτῶν, ὡς εἰ μηδὲ ἐγένοντο το- d παράπαν, ἐχθὲς καὶ πρώην ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον Αἰνησίδημός τις ἀναζωπυρεῖν ἤρξατο τὸν ὕθλον τοῦτον. Καὶ σχεδὸν οἱ μὲν κράτιστοι δοκοῦντες εἶναι τῶν
30 τὴν ὁδὸν βεβαδικότων ταύτην, εἰσὶν οὗτοι. Ὅτι μὲν οὖν τὴν τοιαύτην εἴτε αἵρεσιν εἴτε ἀγωγὴν λόγων εἴτε ὅπῃ καὶ ὅπως ἐθέλει τις καλεῖν αὐτὴν οὐδεὶς ἂν εὖ φρονῶν ὀρθὴν εἶναι φαίη, δῆλον. Ἐγὼ μὲν γὰρ οὐδὲ φιλοσοφίαν οἴομαι δεῖν ὀνομάζειν αὐτήν, ἀναιροῦσάν γε δὴ τὰς τοῦ φιλοσοφεῖν ἀρχάς.

31 Ταῦτα μὲν οὖν πρὸς τοὺς κατὰ Πύρρωνα φιλοσοφεῖν νομιζομένους. Συγγενῆ δ' αὐτοῖς εἴη ἂν καὶ τὰ ἀντιλεγόμενα πρὸς τοὺς κατὰ Ἀρίστιππον τὸν Κυρηναῖον, μόνα λέγοντας εἶναι τὰ πάθη καταληπτά. Σωκράτους δ' ἑταῖρος ὁ Ἀρίστιππος ἦν, ὁ τὴν καλουμένην Κυρηναϊκὴν συστησάμενος αἵρεσιν, ἀφ' ἧς τὰς ἀφορμὰς Ἐπί-

c 9. οἰήσεος I. 10. ἐπιστραφέντος] ἐπιστρέφοντας C.F.G. Mox παράπαν C. d. πρώην om. F. 4. ταύτην] μάτην D. 5. ὅτι] διότι E.F.I. 6. ἐθέλει F.I. 8. ἐγὼ μὲν] ἐγὼ γὰρ B. ἐγὼ μὲν γὰρ C.D.F.G. 9. γε δὴ] δὴ om. C.F.G. 10. Sequentia item videntur esse Aristoclis, sed fortasse in brevius contracta. 11. νομιζομένους] νομίζοντας B.

Et,

Quippe isti sensis pleni mendacibus utres.

Æneside-mus scepticorum instaurator.

29 At cum jam isti perinde ab omnibus neglecti jacerent, ut si fuissent ipsi nunquam, extitit nudiustertius Alexandriæ Ægypti Ænesidemus quidam, qui antiquum illud nugarum genus revocare conaretur. Atque hi fere sunt communi opinione principes, qui hanc philosophandi viam instituere.
30 Et quidem hujus vel sectæ, vel disciplinæ, vel quocunque alio nomine hanc appellare libeat, qui laudator esse velit, neminem futurum satis constat. Ego vero, ne philosophiam quidem eam vocarim, cum ipsa philosophandi principia funditus convellat.

Aristippus Cyrenaicæ sectæ auctor.

31 Hæc igitur adversus philosophos Pyrrhonis sectatores dicta sunto. Quibus affinia sane ac gemina esse possint, quibus ii redarguantur, qui ex Aristippi Cyrenæi sententia, præter id quod patiendo subeatur, comprehendi nihil posse docuerunt. Socratis autem sodalis Aristippus fuit, qui Cyrenaicam sectam instituit, ex qua quidem Epicurus

κουρος πρὸς τὴν τοῦ τέλους ἔκθεσιν εἴληφεν. Ἦν δ' ὁ p. 764
Ἀρίστιππος ὑγρὸς πάνυ τὸν βίον καὶ φιλήδονος· ἀλλ'
οὐδὲν μὲν οὗτος ἐν τῷ φανερῷ περὶ τέλους διελέξατο,
δυνάμει δὲ τῆς εὐδαιμονίας τὴν ὑπόστασιν ἔλεγεν ἐν
ἡδοναῖς κεῖσθαι. Ἀεὶ γὰρ λόγους περὶ ἡδονῆς ποιού-
μενος εἰς ὑποψίαν ἦγε τοὺς προσιόντας αὐτῷ τοῦ λέγειν
32 τέλος εἶναι τὸ ἡδέως ζῆν. Τούτου γέγονεν ἀκουστὴς
σὺν ἄλλοις καὶ ἡ θυγάτηρ αὐτοῦ Ἀρήτη· ἥτις γεννή-
σασα παῖδα ὠνόμασεν Ἀρίστιππον, ὃς εἰσαχθεὶς ὑπ'
αὐτῆς εἰς λόγους φιλοσοφίας μητροδίδακτος ἐκλήθη· ὃς
καὶ σαφῶς ὡρίσατο τέλος εἶναι τὸ ἡδέως ζῆν, ἡδονὴν
ἐντάττων τὴν κατὰ κίνησιν. Τρεῖς γὰρ ἔφη κατα- b
στάσεις εἶναι περὶ τὴν ἡμετέραν σύγκρασιν· μίαν μὲν,
καθ' ἣν ἀλγοῦμεν, ἐοικυῖαν τῷ κατὰ θάλασσαν χειμῶνι·
ἑτέραν δὲ, καθ' ἣν ἡδόμεθα, τῷ λείῳ κύματι ἀφομοιου-

ult. τέλους] γένους B.

p. 764. πάνυ] πάντη B. 3. διελέξατο] διεδέξατο I. 4. αἰεὶ—κίνησιν om. B. ἐν post ἔλεγεν om. I. 7. σύναλλος] σύναλος C.F.G. σὺν ἄλλοις conj. Menag. ad D. Laërt. II. 83. probante Fabricio B. G. T. III. p. 615. ed. Harles. quam em. haud dubitavi recipere. Laërtius II. 86. Ἀριστίππου διήκουσεν ἡ θυγατὴρ Ἀρήτη, καὶ Αἰθίοψ Πτολεμαεὺς, καὶ Ἀντίπατρος Κυρηναῖος. Ἀρήτης δὲ Ἀρίστιππος ὁ μητροδίδακτος ἐπικληθείς. 8. Ἀρήτη] ἀρίστη D. ἀρήστη I. 9. ὑπαχθεὶς] εἰσαχθεὶς C.D.F.G. 10. σαφῶς] σοφὸς C. σοφῶς F.G. 11. ἐντάττων] ἐκτάττων D. b 3. ἐοικυῖαν] ἐοικυῖα B. Mox θάλατταν B.C.F.G. 4. ἀφομοιούμενοι] ἀφομοιουμένην B.

finis illius sui constituendi ansam arripuit. Erat enim Aristippus mollis admodum ac voluptatis amans: qui tametsi nihil unquam ipse palam de fine disseruit, virtute tamen (ut loquuntur) beatitudinis fundamentum in voluptatibus positum esse docuit. Nam cum de voluptate perpetuo loqueretur, hanc suis auditoribus suspicionem
32 movit, ut in vitæ deliciis collocatum ab eo finem putarent. Is Synallum quendam, ejusque filiam Areten nomine discipulos habuit. Ea filium suscepit Aristippum, qui ab eadem ad philosophiæ studia pellectus, matris discipulus vulgo dicebatur. Hic aperte docuit, finem esse cum voluptate vivere, voluptatem eam intelligens, quæ in aliqua commotione versetur. Tria quippe temperationis nostræ genera statuebat: unum quo doleamus, ei quæ in mari excitatur tempestati

μένην· εἶναι γὰρ λείαν κίνησιν τὴν ἡδονὴν, οὐρίῳ παραβαλλομένην ἀνέμῳ· τὴν δὲ τρίτην, μέσην εἶναι κατάστασιν, καθ' ἣν οὔτε ἀλγοῦμεν, οὔτε ἡδόμεθα, γαληνῇ παραπλησίαν οὖσαν. Τούτων δ' οὖν καὶ ἔφασκε τῶν παθῶν μόνων ἡμᾶς τὴν αἴσθησιν ἔχειν, πρὸς οὓς ἀντιλέλεκται ταῦτα.

19 ΑΡΙΣΤΟΚΛΕΟΥΣ

Ἑξῆς δ' ἂν εἶεν οἱ λέγοντες μόνα τὰ πάθη καταληπτά· c
τοῦτο δ' εἶπον ἔνιοι τῶν ἐκ τῆς Κυρήνης. Οὗτοι δ' ἠξίουν, ὥσπερ ὑπὸ κάρου πιεζόμενοί τινος, οὐδὲν εἰδέναι τοπαράπαν, εἰ μή τις παραστὰς αὐτοὺς παίοι καὶ κεντῴη, καιόμενοι γὰρ ἔλεγον ἢ τεμνόμενοι γνωρίζειν ὅτι πάσχοιέν τι· πότερον δὲ
2 τὸ καῖον εἴη πῦρ, ἢ τὸ τέμνον σίδηρος, οὐκ ἔχειν εἰπεῖν. Τοὺς δὴ ταῦτα λέγοντας εὐθὺς ἔροιτό τις ἄν, εἰ γοῦν τοῦτο ἴσασιν d
αὐτοὶ, διότι πάσχουσί τι καὶ αἰσθάνονται. Μὴ εἰδότες μὲν γὰρ οὐδ' εἰπεῖν δυνηθεῖεν ἂν ὅτι μόνον ἴσασι τὸ πάθος· εἰ δ' αὖ γνωρίζουσιν, οὐκ ἂν εἴη μόνα τὰ πάθη καταληπτά. Τὸ
3 γὰρ ἐγὼ καίομαι, λόγος ἦν, καὶ οὐ πάθος. Ἀλλὰ μὴν ἀνάγκη γε

b 7. ἀγοῦμεν οὔτε δεχόμεθα οὔτε ἡδ. D. 8. δὴ] δ' οὖν B.C.D.F.G. c 5. καταληπτὰ εἶναι I. 7. τινες] τινὸς B.C.D.F.G. οἵ τινες I. εἶναι] εἰδέναι B.C.D.F.G. 8. παίοι] παίῃ D. 9. καὶ τεμν.] ἢ τεμν. B.C.D.F.G. Mox γνωρίζειν om. B. 11. τοὺς δὲ] τοὺς δὴ C.D.I. Mox ἔροιτ' ἄν τις B. d. δὴ τοῦτο γοῦν] γοῦν τοῦτο C.F.G. αὐτοὶ] αὐτὸ I. 4. μόνα om. D.

persimile: alterum quo lætemur, et æquato fluctui similes simus: æquatam enim commotionem esse voluptatem, secundi venti simillimam. Tertium denique medium genus, quo nec doleamus ipsi, nec lætemur, malaciæ ac tranquillitati propius. Horum ille duntaxat motuum aliquem a nobis sensum haberi docuit. At sequentibus refelli possit.

19 Deinceps, inquit, eos videamus, qui ea modo quæ patimur, comprehendi posse defendunt. Ea in hæresi fuere Cyrenæi quidam. Ii sic tanquam alto quodam sopore depressi, nihil penitus esse dicebant, nisi si quis propius subiens illos verberaret ac foderet. Quippe, dum urerentur ac secarentur, pati se aliquid, hoc vero se nosse; utrum ignis esset quod ureret,

Prima Aristippi refutatio dilemmate conclusa.

2 aut ferrum quod secaret, sibi non liquere. Ex hoc hominum genere quæramus in primis, num id saltem probe norint, pati se ac sentire aliquid. Hoc illi si nesciunt, perperam utique dicunt, quod patiantur sibi notum esse. Sin autem hoc intelligunt, non ea modo quæ patimur comprehendi
3 possunt. Nam istuc quidem, uror, loquentis est, non patientis. Præterea

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

τρία ταῦτα συνυφίστασθαι, τό τε πάθος αὐτὸ, καὶ τὸ ποιοῦν, καὶ τὸ πάσχον. Ὁ τοίνυν ἀντιλαμβανόμενος τοῦ πάθους πάντως αἰσθάνοιτ' ἂν καὶ τοῦ πάσχοντος. Οὐ γὰρ δὴ ὅτι μὲν, εἰ τύχοι, θερμαίνεται γνωριεῖ, πότερον δ' αὐτὸς ἢ ὁ γείτων, ἀγνοήσει· καὶ νῦν ἢ πέρυσι, καὶ Ἀθήνησιν ἢ ἐν Αἰγύπτῳ, καὶ ζῶν ἢ τεθνεὼς, ἔτι δὲ ἄνθρωπος ὢν ἢ λίθος.

[447] 4 Οὐκοῦν εἴσεται καὶ ὑφ' ὅτου πάσχει· καὶ γὰρ ἀλλήλους γνωρίζουσι, καὶ ὁδοὺς, καὶ πόλεις, καὶ τὴν τροφήν· οἵ τ' αὖ τεχνῖται τὰ ἐργαλεῖα τὰ αὐτῶν οἴδασι, καὶ οἱ ἰατροὶ καὶ ναυτικοὶ σημειοῦνται τὰ μέλλοντα, καὶ τῶν θηρίων οἱ κύνες εὑρίσκουσι τοὺς p. 765
5 στίβους. Ἔτι γε μὴν ὁ πάσχων τι πάντως ἢ ὡς οἰκείου τινὸς ἢ ὡς ἀλλοτρίου πάθους ἀντιλαμβάνεται. Πόθεν οὖν ἕξει λέγειν ὅτι τοῦτο μέν ἐστιν ἡδονὴ, τοῦτο δὲ πόνος; Ἢ ὅτι γευόμενος ἢ ὁρῶν ἢ ἀκούων πάσχοι τι; Καὶ τῇ μὲν γλώσσῃ γευόμενος, τοῖς δ' ὄμμασιν ὁρῶν, τοῖς δ' ὠσὶν ἀκούων; Ἢ πῶς ἴσασιν ὅτι τοδὶ μὲν αἱρεῖσθαι χρὴ, τοδὶ δὲ φεύγειν; Εἰ δὲ μηδὲν τούτων γνοῖεν, οὐχ ἕξουσιν ὁρμὴν οὐδ' ὄρεξιν· οὕτω δ' οὐδ' ἂν ζῷα εἶεν. Γελοῖοι γάρ εἰσιν, ὁπότε λέγοιεν b

d 8. πάντως] πάντα C.F. Mox ἂν καὶ τοῦ πάσχοντος B.C.F.G. πάθους, αἰσθάνεται καὶ τοῦ πάσχοντος D. Tum οὐ γὰρ δὴ—ἀποφαίνονται om. B. ὅτι] διότι E.G.I. 12. οὗ] ὅτου C.D.F.G. 14. οἱ δ'] οἵ τ' C.F.G.

p. 765. τοὺς] τὰς C.D.F. 2. πάντως] πάντων C. τι om. E. 5. ἢ ὁρῶν—γευόμενος om. E. γευόμενος, τοῖς δ' ὄμμασιν ὁρῶν, τοῖς δ' ὠσὶν ἀκούων I. qui mox om. πάσχοι—ἀκούων. 6. γλώττῃ F.G. 9. χρῆν] χρὴ C.D.F.G.I. 10. γνοῖεν] κινοῖεν C.D.F.G.I.

Secunda refutatio, ex plurib. quæ simu cognoscere res.

simul hæc tria ponantur necesse est, malum quod quis patitur, quod illud affert, quod illud ipsum patitur. Enimvero qui malum subeat, is plane sentiat oportet. Nec enim profecto, uri se, si forte uretur, intelliget; idem tamen, ipsene an vicinus uratur, ignorabit: adeoque nunc, an superiore anno; Athenis an in Ægypto; vivensne an mortuus; homone an lapis.
4 Quare simul etiam noverit, a quo patiatur. Illi enimvero cum sese mutuo, tum vias etiam, urbes, cibosque norunt. Sua quoque artifici nota instrumenta sunt. Medici ac rei nauticæ periti futura præsentiunt. Imo, e
5 bestiis etiam, vias certis pressas vestigiis canes reperiunt. Porro, qui aliquid patitur, is quasi proprium aliquid, aut tanquam alienum id subeat necesse est. Quînam ergo dixerit, voluptatem alteram, alterum laborem esse? quînam aut gustu, aut visu, aut auditu aliquid sese pati? quînam gustare se lingua, videre oculis, auribus exaudire? Aut, quî tandem optandum alterum, alterum fugiendum esse cognoscunt? Quorum si nihil ipsi norunt, ne impetum quidem ullum aut appetitum habent, ac proinde nec animantia sunt. Nam ridicule profecto loquuntur, dum aiunt, ea quidem

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

ὅτι ταῦτα μὲν αὐτοῖς συμβέβηκεν, οὐ μὴν ἴσασί γε πῶς καὶ
τίνα τρόπον. Οὗτοι γὰρ οὐδ' εἰ ἄνθρωποι πεφύκασιν, οὐδ'
εἰ ζῶσιν, ἔχοιεν ἂν εἰπεῖν· οὐκοῦν οὐδ' εἰ λέγουσί τι, καὶ
6 ἀποφαίνονται. Πρὸς δὴ τοὺς τοιούτους τίς ἂν εἴη λόγος;
Θαυμάσαι μέντοι τις ἂν εἰ ἀγνοοῦσι πότερον ἐπὶ τῆς γῆς εἰσὶν,
ἢ ἐν τῷ οὐρανῷ· πολλῷ δὲ θαυμασιώτερον, εἰ οὐκ οἴδασι, καὶ
ταῦτα φάσκοντες φιλοσοφεῖν, ἆρά γε τὰ τέτταρα πλείονά
ἐστιν ἢ τὰ τρία· καὶ τὸ ἓν καὶ τὰ δύο, πόσα ἐστίν. Οὐδὲ
γὰρ ὁπόσους ἔχουσιν ἐπὶ τῶν χειρῶν δακτύλους οὗτοί γε c
δύνανται εἰπεῖν, οὐδὲ πότερον ἕκαστος αὐτῶν εἷς ἐστιν ἢ
7 πλείους. Ὥστε οὐδὲ τοὔνομα τὸ ἴδιον εἰδεῖεν ἄν, οὐδὲ τὴν
πατρίδα, καὶ τὸν Ἀρίστιππον. Οὐκοῦν οὐδὲ τίνας φιλοῦσιν
ἢ μισοῦσιν, οὐδὲ τίνων ἐπιθυμοῦσιν· οὐδ' εἰ γελάσαιεν ἢ δα-
κρύσαιεν ἕξουσιν εἰπεῖν ὅτι τόδε μὲν εἴη γελοῖον, τὸ δὲ λυπη-
ρόν. Δῆλον οὖν ὡς οὐδὲ τί νυνὶ λέγομεν ἡμεῖς συνίασιν.
Οὐδὲν οὖν οἵ γε τοιοῦτοι διαφέροιεν ἂν ἐμπίδων ἢ μυιῶν,
καίτοι κἀκεῖνα γνωρίζει τὰ κατὰ φύσιν καὶ παρὰ φύσιν.
8 Πρὸς δὴ τοὺς οὕτω διακειμένους εἰ καὶ μυρία λέγειν d

b 3. εἰ] οἱ D. 6. μέν τις] μέντοι τις B.C.D.F.G. c 2. ὥστε οὐδὲ—φύσιν om. B. 4. οὐδέτινα φιλοῦσιν F.G. 5. τίνων] τινος C.F.G. 7. οὐδ' ὅτι τὸ] ὅτι τόδε C.D.F.G. 8. οὐδὲ] ὡς δὲ C.F.G. νυνὶ om. I. 10. μυιῶν] μυῶν I. 11. φύσιν] φύσιν καὶ παρὰ φύσιν C.F.G.I.

sibi evenire, quî tamen aut quemadmodum eveniant, se nescire. Qui enim
ejusmodi sunt, ii nec utrum homines sint, nec utrum vivant, affirmare
6 possint, adeoque nec utrum aliquid loquantur ac statuant. Cum hoc
igitur hominum genere, commercii quid omnino esse possit? Et quidem
mirum jure videatur, eos in cœlone, an in terra versentur, ignorare: at
longe mirabilius est, cum philosophari se defendant, non intelligere tamen,
sintne quatuor plura quam tria: unum atque duo quot sint. Nam quot
in manibus digitos habeant, aut sitne horum quilibet unus an plures,
7 definire certe non possunt. Ita ne nomen quidem ipsi suum noverint, nec
patriam, nec Aristippum: nec ullosne ament, an oderint, an concupiscant:
rideant, an lacrymentur; adeoque sitne jucundum hoc, molestum illud,
pronuntiare non possint. Constat igitur ipsos, utrum etiam aliquid hoc
tempore loquamur, ignorare: atque ita hos inter, et culices atque muscas,
interest omnino nihil; tametsi quæ naturæ saltem conveniant suæ, culices
muscæque norunt.

8 Verum hæc, ex infinitis quæ urgeri possint, adversus istos dicta

ἔνεστιν, ἀλλ' ἀρκεῖ γε καὶ ταῦτα. Ἕπεται τούτοις συνεξετάσαι καὶ τοὺς τὴν ἐναντίαν βαδίσαντας, καὶ πάντα χρῆναι πιστεύειν ταῖς τοῦ σώματος αἰσθήσεσιν ὁρισαμένους, ὧν εἶναι Μητρόδωρον τὸν Χῖον, καὶ Πρω-
9 ταγόραν τὸν Ἀβδηρίτην. Τὸν μὲν οὖν Μητρόδωρον Δημοκρίτου ἔφασαν ἀκηκοέναι· ἀρχὰς δὲ ἀποφήνασθαι, τὸ πλῆρες καὶ τὸ κενόν· ὧν τὸ μὲν ὄν, τὸ δὲ μὴ ὂν εἶναι. Γράφων γέ τοι περὶ φύσεως, εἰσβολῇ ἐχρήσατο τοιαύτῃ, Οὐδεὶς ἡμῶν οὐδὲν οἶδεν, οὐδ' αὐτὸ τοῦτο πότερον οἴδαμεν, ἢ οὐκ οἴδαμεν. Ἥτις εἰσβολὴ κακὰς ἔδωκεν ἀφορμὰς τῷ μετὰ ταῦτα γενομένῳ Πύρρωνι. Προβὰς δέ φησιν, ὅτι p. 766
10 πάντα ἐστὶν, ὃ ἄν τις νοήσαι. Τὸν δὲ Πρωταγόραν λόγος ἔχει κεκλῆσθαι ἄθεον. Γράφων γέ τοι καὶ αὐτὸς περὶ θεῶν εἰσβολῇ τοιᾷδε ἐχρήσατο, Περὶ μὲν οὖν θεῶν οὐκ οἶδα οὔθ' ὡς εἰσὶν, οὔθ' ὁποῖοί τινες ἰδέαν· πολλὰ γάρ ἐστι τὰ κωλύοντά με ἕκαστον τούτων εἰδέναι. Τοῦτον

d 2. τούτοις οὖν] οὖν om. B.C.F.G.I. οὖν ἐξετάσαι D. 3. βαδίζοντας] βαδίσαντας B.C.D.F.G. 11. εἰσβολῇ] Vid. Ciceron. Acad. II. 23. et Davis. τοιαύτῃ] τοιάδε B. Mox οἶδεν οὐδὲν B.C.F.G. ult. τῷ μετὰ ταῦτα—ἄθεον om. B.

p. 766. 2. νοήσαι] νοήσῃ C.F.G. νοήσει D. 3. γέ τοι καὶ] γέ τις περὶ θεῶν B. 4. εἰσβολῇ τ. ἐχ.] οὕτω φησι B. Περὶ μὲν οὖν] Vid. Menag. ad Laërt. IX. 51. 6. ἐστι] εἰσι B.

sufficiant. Sequitur, ut eorum etiam, qui contrariam insistunt viam, atque in omnibus fidem sensibus habendam esse defendunt, sententiam exploremus. Horum e numero sunt Metrodorus Chius, et
9 Protagoras Abderita. Et Metrodorus quidem, ut aiunt, Democriti auditor fuit, ac principia duo, plenum et vacuum posuit: e quibus alterum illud esse, alterum non esse dicebat. Is de natura scripturus cum esset, hoc orationis est usus ingressu: Nemo nostrum quicquam novit; ne hoc ipsum quidem, utrum aliquid noverimus, necne. Quo ex ejus ingressu pessimam deinde recentior ille Pyrrho dubitandi ansam arripuit. At progressus idem ulterius, id esse omnia statuit,
10 quod quisque intelligat. Protagoram quod attinet, atheum illum dictum esse tradunt. Sane his ille verbis suam de diis disputationem auspicatur, Sintne dii, necne, aut quam ii speciem habeant, nescio. Multa sunt enim, quæ me, quo minus trium horum quidlibet noverim, impediant. Hujus Athenienses exilio jam damnati libros

Metrodori principia duo.

Ἀθηναῖοι φυγῇ ζημιώσαντες τὰς βίβλους αὐτοῦ δημοσίᾳ ἐν μέσῃ τῇ ἀγορᾷ κατέκαυσαν. Ἐπεὶ οὖν οἵδε μόναις δεῖν ἔφασαν ταῖς αἰσθήσεσι πιστεύειν, τὰς πρὸς αὐτοὺς ἀντιρρήσεις θεασώμεθα.

b
20 Γεγόνασι δέ τινες οἱ ἀξιοῦντες τῇ αἰσθήσει καὶ ταῖς φαν-
ΑΡΙΣΤΟΚΛΕΟΥΣ τασίαις μόναις δεῖν πιστεύειν. Ἔνιοι μέντοι φασὶ καὶ τὸν
Ὅμηρον αἰνίττεσθαι τὸ τοιοῦτο πάντων ἀποφαίνοντα τὸν c
Ὠκεανὸν ἀρχήν, ὡς ἐν ῥύσει τῶν πραγμάτων ὄντων· ὧν δ'
ἴσμεν ἔοικε μὲν καὶ Μητρόδωρος ὁ Χῖος τὸ αὐτὸ τοῦτο λέγειν,
2 οὐ μὴν ἀλλ' ἄντικρύς τε Πρωταγόρας ὁ Ἀβδηρίτης. Οὗτος
γὰρ ἔφη μέτρον εἶναι πάντων χρημάτων τὸν ἄνθρωπον· τῶν
[448] μὲν ὄντων, ὡς ἔστι· τῶν δ' οὐκ ὄντων, ὡς οὐκ ἔστιν· ὁποῖα
γὰρ ἑκάστῳ φαίνεται τὰ πράγματα, τοιαῦτα καὶ εἶναι· περὶ
3 δὲ τῶν ἄλλων μηδὲν ἡμᾶς δύνασθαι διισχυρίσασθαι. Πρὸς δὲ
τούτους εἴποι τις ἂν ἃ καὶ Πλάτων ἐν Θεαιτήτῳ· πρῶτον
μέν, τί δήποτε, τοιούτων γε δὴ τῶν πραγμάτων ὄντων, ἠξίω- d
σαν εἶναι μέτρον τῆς ἀληθείας τὸν ἄνθρωπον, ἀλλ' οὐ σὺν ἢ

a 8. δημοσίᾳ om. B. 10. μόναις] μόνως D. b 5. τινες οἱ ἀξιοῦντες] τινες ἀξιοῦντος B. 7. δὲ] μέντοι B.C.D.F.G. c 2. καὶ μὴν καὶ] ὧν δ' ἴσμεν ἔοικε μὲν καὶ B.C.D.F.G. 3. λέγει] λέγειν B.C.D.F.G. ἄντικρυς] ἀντικρούσει I. 4. γε] τε B.C.D.F.G. Tum πρῶτος E.I. pro Πρωταγόρας. 5. εἶναι C.F.G. post χρημάτων. 7. οὐκ ἔστιν] οὐκ ὄντων I. ὡς οὐκ ἔστι om. D. 8. περὶ δὲ] περὶ μὲν I. 10. ὁ Πλάτων] ὁ om. B.C.F.G.I. καὶ item om. I. d. γε δὴ] δὴ om. C.F.G. 2. ἠξίωσαν] ἠξιώθησαν B. Tum μέτρον εἶναι C.F.G. 3. συνῆκαν τὸ κεφάλαιον] σὺν ἢ κυνοκέφαλον B.C.D.F.G. οὐ συνῆκε E. οὐ συνῆκεν τ. κ. I.

publice medio in foro combusserunt. Sed quoniam solis isti sensibus credendum esse dixerunt, quibus refellantur argumentis, videamus.

20 Fuere, inquit, nonnulli præterea, qui sensibus tantum atque visis fidem adhibendam esse dicerent. Nec desunt, qui simile quid ab Homero insinuatum esse velint, cum Oceanum rerum omnium principium vocavit, quod res in perpetuo quodam fluxu versentur. Hoc ipsum Metrodorus
2 Chius asseverat; planeque ac diserte Protagoras Abderita. Hominem enim rerum omnium mensuram esse vult; ut earum quæ sunt, quemadmodum illæ sint, ita earum quæ non sunt, quemadmodum ipsæ non sint. Cujusmodi enim quidlibet appareat, ejusmodi etiam illud esse. De cæteris,
3 affirmari a nobis certo nihil posse. Quibus merito eadem objicias, quæ a Platone in Theæteto disputantur. Primum, si res ita se habeant, quomodo tandem hominem veritatis mensuram esse voluerunt, quod hoc in genere

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

κυνοκέφαλον; Ἔπειτα δὲ πῶς ἔλεγον εἶναι σοφοὺς ἑαυτούς, εἰ δὴ πᾶς τις αὐτὸς ἑαυτῷ μέτρον ἐστὶ τῆς ἀληθείας; Ἢ πῶς ἐλέγχουσι τοὺς ἄλλους, εἴπερ ἑκάστῳ τὸ φαινόμενον ἀληθές ἐστιν; Ἀγνοοῦμέν τε τινά, καίτοι πολλάκις αἰσθανόμενοι,
4 καθάπερ ἐπειδὰν τῶν βαρβάρων ἀκούωμεν; Ὅ γε μὴν θεασάμενος ὁτιοῦν, εἶτα μεμνημένος, οἶδε μέν, αἰσθάνεται δ' οὐκέτι. Καὶ εἰ θατέρῳ μὲν ὀφθαλμῷ μύσαι θατέρῳ δ' ὁρῴη,
5 δῆλον ὅτι ταυτὸ καὶ εἴσεται καὶ οὐκ εἴσεται. Πρὸς δὲ τού- p. 767
τοις, εἰ τὸ φαινόμενον ἑκάστῳ καὶ ἀληθές ἐστιν, ἡμῖν δὲ οὐ φαίνεται τὰ ὑπ' ἐκείνων λεγόμενα ἀληθῆ, καὶ τὸ μὴ εἶναι πάντων πραγμάτων μέτρον τὸν ἄνθρωπον ἀληθὲς ἂν εἴη.
6 Καὶ μὴν οἵ γε τεχνῖται τῶν ἀτέχνων διαφέρουσι, καὶ οἱ ἔμπειροι τῶν ἀπείρων, καὶ διὰ τοῦτο μᾶλλον προορᾷ τὸ μέλλον ἔσεσθαι κυβερνήτης, καὶ ἰατρὸς, καὶ στρατηγός.
7 Ἁπλῶς τε ἀναιροῦσιν οὗτοί γε τὸ μᾶλλον, καὶ τὸ ἧττον, καὶ τὸ ἐξ ἀνάγκης, καὶ τὸ ἐνδεχόμενον, καὶ τὸ κατὰ φύσιν, καὶ τὸ παρὰ φύσιν. Οὕτω δ' ἂν εἴη ταυτὸ καὶ ὂν καὶ οὐκ ὄν. b
Οὐδὲν γὰρ κωλύει ταυτὸ τοῖς μὲν εἶναι φαίνεσθαι, τοῖς δὲ μὴ εἶναι· καὶ ταυτὸ ἂν εἴη ἄνθρωπος καὶ ξύλον· ἔσθ' ὅτε γὰρ

d 4. εἰ δὴ πᾶς—δεινότατον om. B. 5. πᾶς] πῶς E. 9. καθάπερ om. C.F.G. ult. ταυτὸ] ταῦτα καὶ C.D.F.G.
p. 767. 11. ταυτὸν] ταὐτὸ F.G.I. b 2. τοῖς μὲν] τοῖς μηδὲν F.

caput est, non viderunt? Deinde, quî se ipsos sapientes vocarunt, si quilibet sibi ipsi veritatis mensura est? quorsum alios reprehendunt, si quod cuique apparet, id continuo verum est? quomodo nonnulla, etiam ubi sæpius ea sensu percipimus, adhuc tamen ignoramus, ut cum barbaros
4 loquentes audimus? Præterea, qui ejus rei, quam ante spectavit, postea recordatur, cognoscit illam profecto, nec amplius tamen sentit. Qui si ex oculis alterum clauserit, altero aspiciat, idem simul noverit ignoretque
5 necesse est. Ad hæc, si quod cuique videtur, id etiam verum est, nobisque vera non videntur, quæ ab illis dicuntur, verum simul erit hominem rerum
6 omnium non esse mensuram. Jam qui vel in artis, vel in alterius cujuscunque rei tractatione versati sunt, ejusdem imperitis cognitione præstant: eamque ob caussam gubernator, medicus, et imperator, quid futurum sit
7 clarius multo certiusque prospiciunt. Et isti vero quicquid in quoque genere aut magis, aut minus est, necessarii pariter et contingentis, naturalis ac præter naturam evenientis discrimen omnino tollunt. Ita, quod est, quodque non est, unum idemque fuerit. Nihil enim vetat, quominus idem esse alteri, alteri non esse videatur. Ergo idem erunt homo, atque lignum:

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

8 φαίνεται ταυτὸ, τῷδε μὲν ἄνθρωπος, τῷδε δὲ ξύλον. Ἅπας τε λόγος ἀληθὴς ἂν εἴη, διὰ τοῦτο δὲ καὶ ψευδής· καὶ οἱ βουλευόμενοι καὶ δικάζοντες οὐκ ἂν ἔχοιεν οὐδὲν ποιεῖν. Καὶ τὸ δεινότατον, ἔσονται γὰρ οἱ αὐτοὶ σπουδαῖοι καὶ μοχθηροὶ, καὶ ταυτὸ κακία καὶ ἀρετή. Πολλὰ δὲ καὶ ἄλλα τοιαῦτά τις ἂν ἔχοι λέγειν· ἀλλὰ γὰρ οὐδὲν δεῖ πλειόνων λόγων πρὸς τοὺς οὐκ οἰομένους ἔχειν νοῦν καὶ λόγον. c

9 Εἶθ' ἑξῆς ἐπιλέγει·

Ἐπεὶ δ' ἔτι νῦν εἰσί τινες οἱ πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν ἀληθῆ λέγοντες εἶναι, μικρὰ καὶ περὶ τούτων εἴπωμεν. Ἐοίκασι γὰρ οὗτοί γε δεδοικέναι μήποτε εἰ ψευδεῖς εἴποιεν αἰσθήσεις εἶναί τινας, οὐκ ἂν σχοῖεν τὸ κριτήριον καὶ τὸν κανόνα βέβαιον οὐδ' ἐχέγγυον· οὐχ ὁρῶσι δὲ, ὡς οὐκ ἂν φθάνοιεν οὕτω γε καὶ τὰς δόξας ἁπάσας ἀληθεῖς ἀποφαίνοντες· πολλὰ γὰρ δὴ καὶ ταύταις πεφύκαμεν κρίνειν· καὶ οὐδὲν ἧττον ἀξιοῦσιν αὐτῶν τὰς μὲν ἀληθεῖς εἶναι, τὰς δὲ ψευδεῖς. Ἔπειτα δὲ σκοπῶν ἴδοι τις ἂν οὐδὲ τῶν ἄλλων d

b 5. ἅπας τε] ἅπας γε C.F. Mox ἀληθές τ' ἂν D. ἀληθὲς I. 7. δικάζ.] οἱ δικάζ. D. 8. ἔσονται] καὶ πῶς ἔ. B. ἔσονται γὰρ C.F.G.I. δεινότερον ἔσονται γὰρ D. 10. τοιαῦτα καὶ ἄλλα] καὶ ἄλλα τοιαῦτα B. C.D.F.G. Mox καί τις I. 11. μὴ οἰομένους] οὐκ οἰ. B.C.D.F.G. c. εἶθ' ἑξῆς ἐπ.] εἶτά φησι B. 2. ἐπεὶ δ'—φαντασίαν om. B. 3. λέγοντες om. F. 5. εἰ ψευδεῖς] εἰ om. C.D.E.F.G.I. 6. σχοῖεν] ἔχοιεν C. D.F.G. 7. κανόνα βέβαιον] κακὸν ἀβέβαιον I.

8 idem quippe alteri nonnunquam homo, alteri lignum videtur. Vera quoque omnis oratio futura est, eoque falsa etiam omnis futura. Similiter qui aliqua de re aut deliberant, aut judices sedent, quod agant habebunt nihil. Quodque longe gravissimum est, iidem probi simul erunt et improbi, idem vitium ac virtus erit. Cujusmodi pleraque alia proferri queant: sed pluribus adversum istos rationibus uti supervacaneum sit, qui se nec mentis, nec rationis quicquam habere arbitrantur.

9 Hæc ille, quibus deinceps quæ sequuntur, adjungit:

Et quoniam, inquit, nonnulli sunt etiamnum, qui omnem sensum ac visum omne verum esse velint; de his etiam pauca dicamus. Vereri enim videntur, ne forte, si sensum aliquem falsum esse dixerint, certam proinde nullam ac fide dignam in judicando regulam habituri sint: nec interea vident, hoc plane sequi, ut opiniones omnes veras esse defendant, cum earum in plerisque judicium sequi soleamus: neque tamen veras alias, alias contra falsas pronuntiare desinunt. Deinde qui attentius cogitare

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

κριτηρίων αἰεὶ καὶ διὰ παντὸς ἀψευδὲς οὐδὲν, οἷον λέγω ζυγὸν, ἢ τόρνον, ἤ τι τῶν τοιούτων· ἀλλ' ἕκαστον αὐτῶν ὡδὶ μὲν ἔχον ὑγιές ἐστιν, ὡδὶ δὲ μοχθηρόν· καὶ τουτονὶ μὲν χρώμενον τὸν τρόπον ἀληθεύει, τουτονὶ δὲ ψευδέται. Καὶ μὴν εἴ γε πᾶσα αἴσθησις ἀληθὴς ἦν, οὐκ ἔδει τοσοῦτον διαφέρειν αὐτάς. Ἄλλαι γάρ εἰσιν ἐγγύθεν καὶ πόρρωθεν, καὶ νοσούντων καὶ ἐρρωμένων, καὶ τεχνιτῶν καὶ ἀτέχνων, καὶ φρονίμων καὶ ἀφρόνων. Τὰς δὲ δὴ τῶν μεμηνότων παντάπασιν ἂν εἴη ἄτοπον λέγειν ἀληθεῖς εἶναι, καὶ τὰς τῶν παρορώντων καὶ παρακουόντων. Εὔηθες γὰρ ἂν ἦν τὸ λεγόμενον, ὡς ὁ παρ- p. 768
ορῶν ἤτοι ὁρᾷ ἢ οὐχ ὁρᾷ· φαίη γὰρ ἄν τις, ὅτι ὁρᾷ μὲν, ἀλλ'
11 οὐκ ὀρθῶς. Ὁπόταν μέντοι φῶσιν ὡς ἡ μὲν αἴσθησις οὖσα ἄλογος οὐδὲν προστίθησιν οὐδ' ἀφαιρεῖ, φαίνονται τἀμποδὼν οὐχ ὁρῶντες· ἐπὶ γὰρ τοῦ ἐρετμοῦ τοῦ ἐν τῷ ὕδατι, κἀπὶ τῶν γραφῶν, καὶ μυρίων ἄλλων, ἡ αἴσθησίς ἐστιν ἡ ἀπατῶσα. Διὸ καὶ μεμφόμεθα πάντες ἐπὶ τῶν τοιούτων οὐ τὸν νοῦν ἡμῶν, ἀλλὰ τὴν φαντασίαν. Ἐλέγχει γὰρ ὁ λόγος αὐτὸς

d 6. χρωμένων] χρώμενον C.I. 7. τουτονὶ] τοῦτον C.D.F.G. 8. τοσοῦτον] τοσοῦτο C.F.G. 12. δὴ] δύο C.D.F.G. Mox καὶ παντ. C.F.G. 13. ἄτοπον ἂν εἴη I. ἀληθεῖς] ἀληθὲς D. ult. παρορώντων] παρόντων F.

p. 768. 2. ὁρᾷ ἢ οὐχ] ἢ οὐχ ὁρᾶ C. qui om. ὁρᾷ sec. ἢ οὐχ ὁρᾷ om. I. φαίη μὲν γὰρ F.G. 4. ἄλογος] λόγος I. 6. ἐρετμοῦ] ἐρεγμοῦ C.D.F.G. 7. κἀπὶ] καὶ ἀπὸ G. κἀπὸ F.G. 10. γὰρ] τε C.D.G. τὸ F. ἐλέγχεται γὰρ ὁ λ. αὐτῶν I.

volet, is aliud ex iis nihil, quibus tanquam judicii regulis utimur, omne omnino falsum ac semper excludere comperiet: verbi caussa lancem, tornum, cæteraque id genus. Quodlibet enim dum certo se modo habet, sanum est: dum secus, pravum: eo dum sic uteris, verum est: dum aliter, falsum. Quod si sensus omnis verus esset, tantum inter eos discriminis esse non deberet. Atqui cominus certe alii sunt, eminus alii: ægrotantium ac valentium, peritorum et imperitorum, prudentium stultorumque dissimiles. Nam furiosorum certe quidem, aut eorum qui perperam aliquid vident audiuntve sensus, veros appellare, longe ineptissimum fuerit. Quippe simplex nimium is esset, qui secus videntem aut videre diceret, aut non videre. Quivis enim respondeat, videre illum quidem, at perperam.
11 Dum autem addunt, sensum a ratione dissidentem, nihil addere, auferre nihil, quæ maxime obvia sunt, ea se non videre palam ostendunt. Nam in remo, quem in aqua cernimus, in picturis, aliisque sexcentis, sensus ipse nos fallit. Itaque hoc rerum in genere, non mentem, sed visum ipsi nostrum arguere consuevimus. Et vero quæ cogitationem omnem veram

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

[449] ἑαυτὸν ἀξιῶν ἅπασαν ἀληθῆ φαντασίαν εἶναι. Τὴν γὰρ
ἡμετέραν, δι' ἣν οὐκ οἰόμεθα πᾶσαν εἶναι τοιαύτην, ψευδῆ b
πάντως ἀποφαίνει. Συμβαίνει τοίνυν αὐτοῖς ἅπασαν φαν-
12 τασίαν ἀληθῆ καὶ ψευδῆ λέγειν εἶναι. Καθόλου δὲ ἁμαρ-
τάνουσιν ἀξιοῦντες ὁποῖα ἂν ἡμῖν φαίνηται τὰ πράγματα
τοιαῦτα καὶ εἶναι· τοὐναντίον γάρ, ὁποῖα πέφυκε τοιαῦτα
φαίνεται, καὶ οὐχ ἡμεῖς αὐτὰ ποιοῦμεν οὕτως ἔχειν, ἀλλ' ὑπ'
ἐκείνων αὐτοὶ διατιθέμεθά πως. Ἐπεὶ καὶ γελοῖον εἴη ἂν εἰ
διανοηθείημεν ἡμεῖς, ὥσπερ οἱ ζωγράφοι καὶ πλάσται, σκύλα-
κας ἢ χιμαίρας, ἀξιοῦν εὐθὺς εἶναι ταῦτα, καὶ διὰ τοῦτο φαν- c
τάζεσθαι καθάπερ εὐτρεπῆ παρεστῶτα.

13 Διότι μὲν οὖν οὐκ ὀρθῶς λέγουσιν οἱ φάσκοντες εἶναι
πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν ἀληθῆ, δῆλον ἐκ
τούτων· ἀλλὰ γὰρ καὶ τούτων οὕτως ἐχόντων, αὖθις οἱ
περὶ τὸν Ἐπίκουρον ἐκ τῆς Ἀριστίππου διαδοχῆς ὁρ-
μώμενοι πάντα ἡδονῆς ἐξῆπτον καὶ αἰσθήσεως, μόνα τὰ
πάθη καταληπτὰ καὶ τέλος ἀγαθῶν τὴν ἡδονὴν εἶναι
14 ὁριζόμενοι. Λέγεται δὲ ὁ Ἐπίκουρος ὑπὸ μέν τινων

b. οἰόμεθα] οἰώμεθα C. 2. ἀποφαίνει] ἀποφανεῖ D.G. 3. ψευδῆ] ψευδεῖ B. 4. ὅποια δ' ἂν I. qui mox om. καί. 9. εἴη ἂν] ἂν εἴη B.D. c 2. παρέσται] παρεστῶτα B.F.G. παρεστῶσα C. παρέστω I. μὲν οὖν] οὖν om. F.G. 7. διαδοχῆς] διαγωγῆς B. 10. ὑπὸ] ἐπὶ D.

esse pronuntiat, ea secum ipsa pugnat oratio. Nostram enim certe quidem, quæ non ejusmodi quamlibet esse arbitratur, falsam penitus esse concludit. Sequitur itaque, ut visum omne verum simul ac falsum esse defendant.
12 Cæterum quod ejusmodi res esse velint, cujusmodi nobis videntur, toto cœlo errant: contra enim, cujusmodi suapte natura sunt, ejusmodi videri solent: nec in caussa sumus, quamobrem ita se habeant, sed ab iis potius certo quodam modo afficimur. Ridiculi enimvero simus, si dum, uti pictores fictoresque solent, catulos aut chimæras cogitamus, ea velimus esse continuo, animoque proinde rationem informemus, qua eadem suis absoluta numeris habeamus.

13 Atque ex his omnino constat, quam male philosophentur, qui omnem sensum ac visum omne verum esse docent. Nec desiit tamen Epicurus, ex Aristippi doctrina occasionem arripiens, ex voluptate omnia sensuque suspendere, dum et ea modo quæ patimur, compre-
14 hendi posse, et finem bonorum voluptatem esse statueret. Hunc

μηδενὸς ἀκηκοέναι, ἐντυχεῖν δὲ τοῖς τῶν παλαιῶν συγγράμμασιν· ὑπό τινων δ' ὅτι ἤκουσε Ξενοκράτους, d ὕστερον δὲ καὶ Ναυσιφάνους τοῦ Πύρρωνος γενομένου γνωρίμου. Τίνα δὴ οὖν τὰ καὶ πρὸς αὐτὸν ἀντειρημένα τυγχάνει, θεασώμεθα.

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

21 Ἐπειδή ἐστι γνῶσις διττὴ, ἡ μὲν τῶν ἔξω πραγμάτων, ἡ δὲ τῶν ἡμῖν αἱρετῶν καὶ φευκτῶν, ἔνιοί φασι τῆς αἱρέσεως καὶ φυγῆς ἀρχὴν καὶ κριτήριον ἔχειν ἡμᾶς, τὴν ἡδονὴν καὶ τὸν p. 769 πόνον· ἔτι γέ τοι καὶ νῦν τοιαῦτά τινα λέγουσιν οἱ περὶ τὸν Ἐπίκουρον· ἀναγκαίως οὖν ἔχει καὶ περὶ τούτου σκέψασθαι.
2 Τοσούτου τοίνυν ἔγωγε δέω λέγειν ἀρχὴν εἶναι καὶ κανόνα τῶν ἀγαθῶν καὶ τῶν κακῶν τὸ πάθος, ὥστ' ἔμοιγε δοκεῖ τοῦτο αὐτὸ κριτηρίου δεῖσθαι. Διότι μὲν γάρ ἐστιν ἑαυτὸ δείκνυσιν, ὁποῖον δ' ἐστὶν ἑτέρου δεῖ τοῦ κρίνοντος. Εἰ μὲν γὰρ οἰκεῖον ἢ ἀλλότριον ἡ αἴσθησις λέγει, πότερον δ' αἱρετὸν
3 ἢ φευκτὸν, ὁ λόγος. Αὐτοί γε τοί φασιν οὐ πᾶσαν ἡδονὴν

c 11. ἐντυχεῖν—παλαιῶν συγγ.] περιτυχόντα Δημοκρίτου βιβλίοις Diog. Laërt. X. 3. 12. ὑπό τινων—Ξενοκράτους] Sic Demetrius teste Diog. Laërt. X. 13. ἤκουε] ἤκουσε B.D.I. διήκουσε C.F.G. d. Ναυσιφάνους] Vid. Menag. ad Diog. Laërt. X. 8. 3. καὶ τὰ] τὰ καὶ B.C. D.F.G.I. 8. γνῶσις διττὴ] διττὴ γνῶσις B.C.

p. 769. 2. τοιαῦτα] τοιαῦτά τινα B.C.D.F.G. 6. μοι] ἔμοι γε B.C. D.F.G. qui mox om. γε post τοῦτο. 7. κριτηρίου] κριτήριον C.F.G. 8. ἑαυτῷ I. 11. αὐτοί γε—τὸ δ' ὅλον om. B. γέτοι om. D.

nonnulli volunt præceptorem habuisse neminem, sed in antiquorum scriptorum lectione versatum esse. Alii Xenocratis primum, inde Nausiphanis, qui Pyrrhonis discipulus fuerat, auditorem fuisse tradunt. Nunc ergo quibus iste quoque rationibus urgeatur, attendamus.

21 Quoniam, inquit ille, duplex cognitionis genus est, alterum quo exteriora percipimus, alterum quo expetenda nobis ac fugienda sentimus; extitere nonnulli, qui electionis fugæque principium ac regulam in nobis, voluptatem esse laboremque statuerent. Quod ipsum Epicurei hodieque docent. Quare necessarium fuerit, hac etiam nos in quæstione versari.
2 Equidem, tantum abest, ut bonorum malorumve principium ac regulam affectionem esse dicam, ut illam ipsam altera quadam judicii regula indigere existimem. Nam quod ea sit, ostendit ipsa per sese: cujusmodi sit, qui judicet, alium requirit. Enimvero domesticane illa sit, an aliena,
3 sensus pronuntiat; utrum expetenda sit, an fugienda, ratio statuit. Sane

ΑΡΙΣΤΟΚΛΕΟΥΣ

ἀσπάζεσθαι, καὶ πάντα πόνον ἐκτρέπεσθαι. Τοῦτο δὲ συμ- b
βέβηκε καὶ μάλα εἰκότως. Τὰ μὲν γὰρ κριτήρια καὶ ἑαυτὰ
δείκνυσι καὶ τὰ κρινόμενα· τὸ μέντοι πάθος, ἑαυτὸ μόνον.
Ὅτι δ' οὕτως ἔχει μαρτυροῦσιν αὐτοί. Καίπερ γὰρ ἀξιοῦντες
ἅπασαν ἡδονὴν ἀγαθὸν εἶναι καὶ πᾶσαν ἀλγηδόνα κακὸν, ὅμως
οὐκ ἀεί φασι δεῖν τὴν μὲν αἱρεῖσθαι, τὴν δὲ φεύγειν· μετρεῖ-
4 σθαι γὰρ αὐτὰ τῷ ποσῷ, καὶ οὐ τῷ ποιῷ. Δῆλον οὖν ὡς τό
γε ποσὸν οὐδὲν ἀλλ' ἢ ὁ λόγος κρίνει· τὸ γὰρ, ἄμεινόν ἐστιν
ὑπομεῖναι τούσδε τινὰς τοὺς πόνους ὅπως ἡσθείημεν ἡδονὰς
μείζους, καὶ τὸ, συμφέρει τῶνδέ τινων ἀπέχεσθαι τῶν ἡδονῶν c
ἵνα μὴ ἀλγῶμεν ἀλγηδόνας χαλεπωτέρας, καὶ πάντα τὰ τοι-
5 αὖτα, λόγος ὁ κρίνων ἐστίν. Τὸ δ' ὅλον, αἱ μὲν αἰσθήσεις
καὶ αἱ φαντασίαι καθαπερεὶ κάτοπτρα καὶ εἰκόνες ἐοίκασι
τῶν πραγμάτων εἶναι· τὰ μέντοι πάθη, καὶ αἱ ἡδοναὶ, καὶ οἱ
πόνοι, τροπαὶ καὶ ἀλλοιώσεις ἡμῶν αὐτῶν. Ταύτῃ δὲ αἰσθα-
νόμενοι μὲν καὶ φαντασιούμενοι πρὸς τὰ ἔξω βλέπομεν, ἡδό-
μενοι δὲ καὶ ἀλγοῦντες ἐπιστρέφομεν ἐπὶ μόνους ἑαυτούς.

b 5. γὰρ] γε C.F.G. 7. δεῖν] δεῖ D. αἱρεῖσθαι] ἂν αἱρεῖσθαι I. 8. εἰ καὶ] εἰ om. C.F.G. c. συμφέρειν I. ἀπέχεσθαι] ἀπόσχεσθαι C.F.G. 4. αἱ μὲν] καὶ αἱ μὲν B. 5. καθαπερεὶ] καθάπερ ἀεὶ C.F.G. 7. αἱ ἡδ.] αἱ om. B. 10. βλέπ.] βρέπ. C. βλέποντα E. 11. αἱ μὲν γὰρ D.

quidem isti, nec omnem se complecti voluptatem, nec laborem omnem
fugere dictitant. Neque id sine magna ratione fieri solet. Judicandi enim
instrumenta, cum ostendunt ipsa sese, tum ea simul de quibus judicatur,
aperiunt: affectio se solam indicat. Cui veritati vel isti quoque suffra-
gantur. Nam ut omnem voluptatem bonum, dolorem omnem malum esse
velint; alteram tamen semper expetendam, fugiendum semper alterum
esse negant, dum utrumque, si minus qualitate, quantitate quidem meti-
4 endum existimant. Hujus vero quantitatis judicem alium constat esse non
posse, præter rationem. Hæc enim, quæ ab illis vulgo jactantur, præstare
certos quosdam eosdem labores interdum subire, ut acriores inde vo-
luptates sentiamus: certis nonnunquam voluptatibus abstinendum, ne
gravioribus postea doloribus urgeamur: cæteraque id genus omnia, ra-
5 tionis unius judicio decernuntur. Atque ut universe loquamur, sensus
atque visa, quædam quasi rerum specula et imagines videntur: affectiones
autem, voluptates, et labores, nostrum ipsorum mutationes. Itaque, dum
sensu aliquid aut cogitatione informamus, exteriora respicimus: dum vo-
luptatem percipimus, aut dolorem, in nos tantum ipsos convertimur. Res

Τὰς μὲν γὰρ αἰσθήσεις ἡμῶν τὰ ἔξω ποιεῖ· καὶ ὁποῖα ἂν ᾖ d ΑΡΙΣΤΟΚΛΕΟΥΣ
ἐκεῖνα, τοιαύτας ἀπεργάζεται καὶ τὰς φαντασίας· τὰ δὲ πάθη ποιά ἄττα γίνεται δι' ἡμᾶς, καὶ ὡς ἂν ἡμεῖς ἔχωμεν.
6 Διὸ ταῦτα ποτὲ μὲν ἡδέα ποτὲ δ' ἀηδῆ φαίνεται, καὶ ἔσθ' ὅτε μὲν μᾶλλον, ἔσθ' ὅτε δὲ ἧττον. Ὧν οὕτως ἐχόντων, εὑρήσομεν, εἰ ἐθέλοιμεν σκοπεῖν, ἄριστα τὰς τῆς γνώσεως ἀρχὰς ὑποτιθεμένους, ὁπόσοι καὶ τὰς αἰσθήσεις καὶ τὸν νοῦν
[450] 7 παραλαμβάνουσιν. Ἔοικε δ' ἡ μὲν αἴσθησις ταῖς ἄρκυσι καὶ τοῖς δικτύοις καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις θηράτροις· ὁ δὲ νοῦς καὶ ὁ λόγος, τοῖς κυσὶ τοῖς στιβεύουσι καὶ μεταθέουσιν. Αὐτῶν μέντοι τούτων ἄμεινον φιλοσοφεῖν οἴεσθαι χρὴ τοὺς p. 770
μήτε ταῖς αἰσθήσεσιν, ὡς ἔτυχε, χρωμένους, μήτε τὰ πάθη παραλαμβάνοντας ἐπὶ τὴν τἀληθοῦς διάγνωσιν. Ἦ δεινόν γ' ἂν εἴη πεφυκότας ἀνθρώπους ἡδοναῖς καὶ πόνοις ἀλόγοις ἐπιτρέπειν ἑαυτούς, ἀφέντας τὸν θειότατον κριτὴν νοῦν.

22 Ταῦτα ἀπὸ τῶν Ἀριστοκλέους.

Καθ' ἓν ἕκαστον τοίνυν τῶν τριῶν πρὸς τὴν ἡδονὴν καὶ b ΠΛΑΤΩΝΟΣ

d. ἂν ᾖ] ἂν εἴη B. 3. τοιαῦτα δὲ] τὰ δὲ C.D.F.G. Vigeri marg. 4. διὰ] διὸ D.G. Vigeri marg. 9. ὑποτιθεμένους] ὑποτίθεσθαι B. 11. τοῖς δικτύοις καὶ τοῖς ἄλλοις om. B. 12. θηράτροις om. D. θηραταῖς E.I. ult. μὲν τοιούτων] μέντοι τούτων B.C.D.F.G. Supra στειβεύουσι D.

p. 770. χρὴ] χρῆν G. et credo C. 2. ταῖς αἰσθ.] ταῖς αὐτῶν αἰσθ. D. 4. δεινόν γ'] δεινόν τ' C.F.G. 7. Ἀριστοκλέους] Ἀριστοτέλους B.

enim extrinsecus oblatæ, visa nostra efficiunt, quarum illa sunt proinde
6 similia. At vero affectiones vultum ex nobis speciemque sumunt: quo fit ut jucundæ modo, modo injucundæ, idque magis minusve videantur. Quod cum ita sit, eos utique, si boni ratiocinatores esse volumus, optime de cognoscendi principiis statuere reperiemus, qui mentis ac sensuum vim
7 operamque conjungunt. Et quidem sensus plagis et retibus, ac cæteris id genus venatorum instrumentis; mens autem et ratio indagantibus et insequentibus canibus similes sunt. Maneat igitur, eos melius philosophari, qui nec temere sensibus abutantur, nec ad veri perspicientiam atque judicium perturbationes adhibeant. Prorsus enim indignum fuerit, hominem, relicto mentis diviniore judicio, voluptatibus sese ac laboribus ab omni ratione vacuis permittere.

Atque hactenus ex Aristocle.

22 Horum igitur, inquit, trium quodlibet cum voluptate ac mente sigillatim Plato Phileb. p. 65.

ΠΛΑΤΩΝΟΣ

τὸν νοῦν κρίνωμεν. Δεῖ γὰρ ἰδεῖν ποτέρῳ μᾶλλον ξυγγενὲς ἕκαστον αὐτῶν ἀπονεμοῦμεν.

Κάλλους καὶ ἀληθείας καὶ μετριότητος πέρι λέγεις.

Ναί. Πρῶτον δέ γε ἀληθείας λαβοῦ, ὦ Πρώταρχε, καὶ λαβόμενος, βλέψας εἰς τρία, νοῦν καὶ ἀλήθειαν καὶ ἡδονήν, c πολὺν ἐπισχὼν χρόνον, ἀπόκριναι σαυτῷ πότερον ἡδονὴ ξυγγενέστερον ἢ νοῦς ἀληθείᾳ.

2 Τί δὲ χρόνου δεῖ; Πολὺ γάρ, οἶμαι, διαφέρετον.

Ἡδονὴ μὲν γὰρ ἁπάντων τὸ ἀλαζονέστατον· ὡς δὲ λόγος, καὶ ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὰ ἀφροδίσια, αἳ δὴ μέγισται δοκοῦσιν εἶναι, καὶ τὸ ἐπιορκεῖν συγγνώμην εἴληφε παρὰ θεῶν, ὡς, καθάπερ παίδων, τῶν ἡδομένων νοῦν οὐδὲ τὸν ὀλίγιστον κεκτημένων· νοῦς δὲ ἤτοι ταυτὸν καὶ ἀλήθειά ἐστιν ἢ πάντων ὁμοιότατόν τε καὶ ἀληθέστατον.

3 Οὐκοῦν τὸ μετὰ τοῦτο τὴν μετριότητα ὡσαύτως σκέψῃ, d πότερον ἡδονὴ φρονήσεως, ἢ φρόνησις ἡδονῆς πλείω κέκτηται;

Εὔσκεπτόν γε καὶ ταύτην σκέψιν προβέβληκας. Οἶμαι γὰρ ἡδονῆς μὲν καὶ περιχαρείας οὐδὲν τῶν ὄντων πεφυκὸς

b 5. κρίνομεν I. 8. δέ γε] δή γε D. c 6. δὴ] δὲ I. 8. ὡς om. D. νοῦν post κεκτημένων ponit I. 9. ὀλιγοστὸν] ὀλίγιστον D.F.G. 10. γέ ἐστιν] γε om. C.F.G. ἀλήθεία γε om. D.

conferamus. Videndum quippe nobis est, utrius porro unumquodque affine magis et cognatum esse statuamus.

Pulchritudinem, opinor, veritatem, ac mediocritatem intelligis.

Sic est. Tu vero, mi Protarche, veritatem primum accipe, diuque ac diligenter in hæc tria mentem, veritatem, atque voluptatem intuitus, responde sis ipse tibi, sitne voluptas, an mens, veritati propinquior.

2 Quid vero tempore hîc opus est? Nam meo quidem judicio plurimum interest.

Voluptas enim omnium superbissima est; ac de venereis, quæ omnium habentur acerrimæ, vulgo circumfertur, quod in iis perjurium admiseris, veniam facile a superis impetrare: quod illæ, non secus ac pusiones quidam, omni prorsus mente careant. At vero mens, aut idem ipsum quod veritas, aut ei sane omnium longe simillima est, atque verissima.

3 Age ergo, et mediocritatem similiter considera; plusne hujus voluptas habeat, an prudentia.

Expedita quoque admodum quæstionis hujus ratio est. Nam ut volup-

ΠΛΑΤΩΝΟΣ

ἀμετρότερον εὑρεῖν ἄν τινα, νοῦ δὲ καὶ ἐπιστήμης ἐμμετρότερον οὐδ' ἂν ἕν ποτε.

4 Καλῶς εἴρηκας. Ὅμως δ' ἔτι λέγε τὸ τρίτον. Νοῦς ἡμῖν κάλλους μετείληφε πλέον ἢ τὸ τῆς ἡδονῆς γένος, ὥστε εἶναι καλλίω νοῦν ἡδονῆς, ἢ τοὐναντίον;

Ἆρ' οὖν φρόνησιν μὲν καὶ νοῦν, ὦ Σώκρατες, οὐδεὶς πώποτε οὔθ' ὕπαρ οὔτ' ὄναρ αἰσχρὸν οὔτε εἶδεν οὔτε ἐπενόησεν οὐδαμοῦ οὐδαμῶς, οὔτε γιγνόμενον, οὔτε ὄντα, οὔτε ἐσόμενον;

Ὀρθῶς. p. 771

5 Ἡδονὰς δέ γε δήπου, καὶ ταύτας σχεδὸν τὰς μεγίστας, ὅταν ἴδωμεν ἡδόμενον ὁντινοῦν, ἢ τὸ γελοῖον ἐπ' αὐταῖς ἢ τὸ πάντων αἴσχιστον ἑπόμενον ὁρῶντες, αὐτοί τε αἰσχυνόμεθα, καὶ ἀφανίζοντες κρύπτομεν ὅτι μάλιστα, νυκτὶ πάντα τὰ τοιαῦτα διδόντες, ὡς φῶς οὐ δέον ὁρᾶν αὐτά.

6 Πάντῃ δὴ φήσεις, ὦ Πρώταρχε, ὑπό τε ἀγγέλων πέμπων καὶ παροῦσι φράζων ὡς ἡδονὴ κτῆμα οὐκ ἔστι πρῶτον οὐδ' αὖ

d 5. *ἀμετρότερον*] *μετρώτερον* I. qui infra om. *ἕν ποτε* cum lacuna. 8. *ὑμῖν* D. 9. *γένος*] *μέρος* C.F.G. et sic libri quidam Platonis. 10. *οὖν*] *οὖν οὐ* C.F.G. *οὐ* I. 11. *οὔθ' ὕπαρ* om. I. 12. *εἶδεν*] *ἴδεν* D.I.

p. 771. 2. *ἡδόμενον*] *ἡδόμεν'* C.F. 3. *παράπαν*] *πάντων* C.D.F.G.I. 4. *αὐτοί τε*] *αὐτοί τε καὶ* I. qui mox *ἤ τι μ.* 6. *δόντες*] *διδόντες* C.D.F.G. *οὐδὲν*] *οὐ δέον* D. cum Plut. *οὐδέον* F. 7. *δὴ*] *δὲ* C.F.G. *δὴ* om. I. 8. *ὑπό τε*] *ἀπὸ* D. *τε* om. I. qui mox *παρουσία*. 9. *ἡδονὴ*] *ὡς ἡδονὴ* D.E.F.G. Scil. *ὡς* excidit ex ed. Viger.

tate ac delectatione immoderatius nihil est, ita mente nihil scientiaque moderatius.

4 Et hoc præclare. Quid autem de tertio? Utra tibi pulchrior, mens, an voluptas videtur?

Atqui nemo unquam, Socrates, aut vigilans, aut somnians, prudentiam atque mentem vel minimum turpitudinis aut habuisse, aut habere, aut habituram esse vidit, aut cogitavit.

Recte.

5 At vero si quem aliquando voluptatibus, ac fere maximis, indulgentem videamus, quod iis palam aut risus, aut turpitudo maxima comitetur, ipsimet erubescimus; ac propterea, ne quod earum vestigium appareat, nocturnis fere tenebris occultanda hæc atque involvenda mandamus, quasi lucis oculum reformident.

6 Hoc igitur, ut video, mi Protarche, omnino prædicaturus es, et absentibus nuntiorum opera, et voce coram præsentibus, voluptatem nec primam

ΠΛΑΤΩΝΟΣ

δεύτερον, ἀλλὰ πρῶτον μέν πη περὶ μέτρον καὶ τὸ μέτριον καὶ τὸ καίριον καὶ πάνθ' ὁπόσα χρὴ τοιαῦτα νομίζειν τὴν b ἀΐδιον ἠρῆσθαι φύσιν.

Φαίνεται γοῦν ἐκ τῶν νῦν λεγομένων.

7 Δεύτερον μὲν περὶ τὸ σύμμετρον καὶ καλὸν καὶ τὸ τέλειον καὶ ἱκανὸν καὶ πάνθ' ὁπόσα τῆς γενέσεως αὖ ταύτης ἐστί.

Ἔοικε γοῦν.

8 Τὸ τοίνυν τρίτον, ὡς ἡ ἐμὴ μαντεία, νοῦν καὶ φρόνησιν τιθεὶς οὐκ ἂν μέγα τι τῆς ἀληθείας παρεξέλθοις.

Ἴσως.

9 Ἆρ' οὖν οὐ τέταρτα, ἃ τῆς ψυχῆς αὐτῆς ἔθεμεν, ἐπιστήμας τε καὶ τέχνας καὶ δόξας ὀρθὰς λεχθείσας, ταῦτ' εἶναι τὰ πρὸς τοῖς τρισὶ τέτταρα, εἴπερ τοῦ ἀγαθοῦ ἐστὶ μᾶλλον ἢ τῆς ἡδονῆς ξυγγενῆ.

Τάχ' ἄν. c

10 Πέμπτας τοίνυν ἃς ἡδονὰς ἔθεμεν ἀλύπους ὁρισάμενοι,

a 10. *μέν πη περὶ μέτρον*] *μέντοι περίμετρον* C.F.G. b. *ὁπόσα*] *οὐχ ὅσα* I. qui mox om. *φύσιν*. *εἰρῆσθαι*] *ἴσ. ἠρῆσθαι* Vigeri marg. et sic mss. optimi Platonis. 2. *φασὶ φαίνεται* D.F.G. 3. *μὲν*] *μὴν* D. 4. *τὸ ἱκανὸν*] *τὸ* om. C.D.F.G. 5. *ταύτης αὖ ἐστί*] *αὐτῆς ἐστιν* C.D.F.G.I. *αὖ ταύτης* libri meliores Platonis. 8. *παρεξέλθοις*] *παρεξέλθῃς* C.F.G. *παρεξέλθοι* I. *οὐ τέταρτα ἃ τῆς*] *οὔτε γὰρ τἄλλα* C.D.E.F.G. *ἴσως γὰρ οὖν οὔτε γὰρ τὰ ἄλλα* I. 9. *ἔθεμεν*] *ἐθέμην* I. et infra. 11. *τέπατε*] *τέτταρα* C.D.F.G.I. *τέταρτα* Viger.

possessionem esse, nec secundam: at hoc primæ nomine, quæ ad modum pertinent, comprehendi, ut mediocre, opportunum, cæteraque omnia, quæ naturam existimanda sunt habere sempiternam.

Id quidem ex supra dictis sequitur.

7 Deinde ad secundam revocanda, quæ in proportione versantur, ut pulchrum, perfectum, idoneum, et quæcunque hujus sunt generis.

Utique.

8 Tertiam denique, (ut quidem conjicio) si mentem prudentiamque posueris, haud a vero procul aberrabis.

Et hoc verisimile.

9 Tribus autem illis, num merito quartum addatur genus, ex iis quæ animo proprie tribuimus, doctrinis, artibus, et opinionibus quæ rectæ dicuntur? si quidem ista quoque bono conjunctiora sunt, quam voluptas.

Fortassis et istuc.

10 Quintum inde locum voluptatibus illis dabimus, quas ab omni molestia

ΠΛΑΤΩΝΟΣ

καθαρὰς ἐπονομάσαντες τῆς ψυχῆς αὐτῆς ἐπιστήμας, ταῖς δὲ αἰσθήσεσιν ἑπομένας.

Ἴσως.

11 Ἕκτῃ δ' ἐν γενεᾷ,

[451] φησὶν Ὀρφεύς, καταπαύσατε κόσμον ἀοιδῆς,

ἀτὰρ κινδυνεύει καὶ ὁ ἡμέτερος λόγος ἐν ἕκτῃ καταπεπαυμένος εἶναι κρίσει. Τὸ δὲ μετὰ ταῦθ' ἡμῖν οὐδὲν λοιπὸν πλὴν ὥσπερ κεφαλὴν ἀποδοῦναι τοῖς εἰρημένοις.

Οὐκοῦν χρή.

12 Ἴθι δή, τὸ τρίτον τῷ σωτῆρι τὸν αὐτὸν διαμαρτυράμενοι d λόγον ἐπεξέλθωμεν.

Ποῖον δή;

Φίληβος τἀγαθὸν ἔθετο ἡμῖν ἡδονὴν εἶναι πᾶσαν καὶ παντελῆ.

Τὸ τρίτον, ὦ Σώκρατες, ὡς ἔοικας, ἔλεγες ἀρτίως τὸν ἐξ ἀρχῆς ἐπαναλαβεῖν δεῖν λόγον.

13 Ναί. Τὸ δέ γε μετὰ τοῦτο ἀκούωμεν. Ἐγὼ γὰρ δὴ

c 3. ταῖς δὲ αἰσθήσεσιν] τὰς δὲ αἰσθήσεις C.F.G.I. Mox ἕκτης I. 5. δ' ἐν] δὲ D. καταπαύσατε] κατεπαύσατε C.F. 8. δὲ] δὴ D.I. Plat. 9. ἡμῖν] ἡμῶν C.F.G. Tum οὐδὲ D. 11. ἴθι] ἴσθι C.F. G.I. d. ἐπεξέλθωμεν] ἐπέλθομεν D.I. ἐπέλθωμεν F.G. 3. τὸ τρίτον] τὸ om. C.D.F.G.I. 5. τὸ δέ γε] τό γε I. et mox ἀκούομεν. 6. γὰρ δὴ] δὴ om. C.F.G. γὰρ δὴ om. D.

vacuas, imo et puras animi cognitiones esse statuimus illas quidem, sed tamen ortas ex sensibus.

Fortean.

11 At genere in sexto,

inquit Orpheus,

gratum concludite carmen.

Equidem hoc in sexto judicio, nostra quoque disputatio non male fortassis concludatur. Ita reliquum id modo sit, ut suam ei coronidem imponamus.

Imponamus vero.

12 Age igitur, ac servatori nostro, eundem rursus obtestati, sermonem hunc nostrum tertio jam instauratum pertexamus.

Ecquem vero?

Philebus scilicet genus omne voluptatis bonum esse statuebat.

At jamjam, Socrates, disputationem hanc, tertio, ni fallor, a capite repetendam esse dicebas.

13 Ita est. Quod autem sequitur attendamus. Equidem ea cum viderem,

ΠΛΑΤΩΝΟΣ

κατιδὼν ἅπερ νῦν διελήλυθα, καὶ δυσχεράνας τὸν Φιλήβου λόγον οὐ μόνον ἀλλὰ καὶ ἄλλων πολλάκις μυρίων, εἶπον ὡς ἡδονῆς γε νοῦς εἴη μακρῷ βέλτιόν τε καὶ ἄμεινον τῷ τῶν ἀνθρώπων βίῳ.

Ἦν ταῦτα.

14 Ὑποπτεύων δέ γε καὶ ἄλλα εἶναι πολλὰ εἶπον, ὡς εἰ φανείη τί τούτων ἀμφοῖν βέλτιον, ὑπὲρ τῶν δευτερείων [στερήσει] νῷ πρὸς ἡδονὴν ξυνδιαμαχοίμην, ἡδονὴ δὲ καὶ δευτερείων στερήσοιτο.

Εἶπες γὰρ οὖν. p. 772

Καὶ μετὰ ταῦτά γε πάντων ἱκανώτατα τούτοιν οὐδέτερον ἱκανὸν ἀνεφάνη.

Ἀληθέστατα.

15 Οὐκοῦν παντάπασιν ἐν τούτῳ τῷ λόγῳ καὶ νοῦς ἀπήλλακτο καὶ ἡδονή, μηδὲ τἀγαθὸν αὐτὸ μηδέτερον αὐτοῖν εἶναι στερομένων αὐταρκείας καὶ τῆς τοῦ ἱκανοῦ καὶ τελέου δυνάμεως.

d 8. μόνον] μόνου F. μυρίων πολλάκις E.I. 9. ἂν εἴη] ἂν om. C.D.E.F.G.I. Mox βελτίων et ἀμείνων C.D.F.G. 11. δέ γε] δέ σε C.D.F.G.I. qui καὶ pro εἶναι et sic E. 12. φανείη] φανῇ I. τί που τοῖν] τί τούτων C.F.G. τ. τῶν I. ἐπὶ] ὑπὲρ C.E.F.G.I. 13. Post δευτερείων F.G. om. στερήσει. νῷ] νῦν E. ult. δευτερείων] δευτεροῖο F.G.

p. 772. πάντων] περὶ τῶν C.D.F.G.I. 2. τούτων F.I. 3. τούτῳ] αὐτῷ B.C.E.F.G.I. 5. μηδέν τ' F.G. μὴ δεύτερον E. στερομένων] στερουμένων B. Supra μηδὲν D. 6. τελείου] τελέου B.C.F.G.

quæ modo persequebar; ac propterea non Philebi modo, sed infinitorum etiam aliorum vocem permoleste ferrem: humanæ vitæ, mentem voluptate longe meliorem ac potiorem esse defendi.

Sic est.

14 Deinde cum alia quoque permulta esse conjicerem; addidi, si quid fortassis utroque melius occurreret, me pro mente rursus contra voluptatem pugnaturum, ut hac ejecta, secundus menti locus tribueretur.

Hoc etiam addidisti.

Præterea, quam neutra satis per sese foret, satis admodum probavimus.

Verissima loqueris.

15 Ita per hanc disputationem effectum est, ut neque mentem neque voluptatem ipsum per sese bonum esse statueremus, quod ex sese neutra sufficeret, neutra perfecti ac numeris omnibus absoluti vim et facultatem haberet.

ΠΛΑ-ΤΩ-ΝΟΣ

Ὀρθότατα.

Φανέντος δέ γε ἄλλου τινὸς κρείττονος τούτοιν ἑκατέρου, μυρίῳ γ' αὖ νοῦς ἡδονῆς οἰκειότερον καὶ προσφυέστερον πέφανται νῦν τῇ τοῦ νικῶντος ἰδέᾳ.

Πῶς γὰρ οὔ;

16 Οὐκοῦν πέμπτον κατὰ τὴν κρίσιν, ὡς νῦν ὁ λόγος ἀπεφήνατο, γίγνοιτ' ἂν ἡ τῆς ἡδονῆς δυνάμις. b

Ἔοικεν.

Πρῶτον δέ γε οὐδ' ἂν οἱ πάντες βόες τε καὶ ἵπποι καὶ τὰ ἄλλα ξύμπαντα θηρία φῶσι τῷ τὸ χαίρειν διώκειν· οἷς πιστεύοντες, ὥσπερ μάντεις ὄρνισιν, οἱ πολλοὶ κρίνουσι τὰς ἡδονὰς εἰς τὸ ζῆν ἡμῖν εὖ κρατίστας εἶναι, καὶ τοὺς θηρίων ἔρωτας οἴονται κυρίους εἶναι μάρτυρας μᾶλλον ἢ τοὺς τῶν ἐν μούσῃ φιλοσόφῳ μεμαντευμένων ἑκάστοτε λόγων.

Ἀληθέστατα, ὦ Σώκρατες, εἰρῆσθαί σοι νῦν ἤδη φαμὲν ἅπαντες.

17 Ταῦτα ὁ Πλάτων. Ἐγὼ δέ σοι καὶ Διονυσίου, τῆς

a 8. τούτοιν] τούτων C.D.F. μυρίῳ] τριῶν B.C.D.E.F.G.I. Supra τούτοιν ἐν ἑκ. D. b. οὔ, κἂν] οὐδ' ἂν B.C.D.E.F.G.I. 3. τὸ χαίρειν] τὸ om. B.I. τῷ om. D.F.G. 4. πιστεύοντες] πιστεύοντας I. et mox μάντις. 6. οἴονται] οἴεται I. 8. φιλοσόφῳ om. B. φιλοσόφων E.I. 9. λόγων] λέγων D.F.G. 11. ἐγὼ δέ σοι—φωνὰς om. B. ἐγὼ δή D. Διονυσίου] Vid. Routhii Rell. Sacr. T. IV. p. 345. seqq.

Optime.

Porro cum tertium nobis aliud occurrisset hac utraque præstantius, tum vero infinitis gradibus, mentem victoris illius formæ propinquiorem et conjunctiorem esse perspeximus, quam voluptatem.

Nam quî aliter fieri potuisset?

16 Maneat igitur, voluptatis vim, eo judicio, quod paulo ante exercuimus, quinto in gradu consistere.

Per me licet.

At in primo nunquam: tametsi omnis contra boum, equorum, ac cæterarum omnium ferarum multitudo vociferetur, quod delectationem unam persequatur, quibus plerique fidem, non secus ac volucribus augures, dum habent, voluptates nobis ad bene vivendum potissimas esse pronuntiant, ejusque rei certiores esse testes ferarum ipsarum, quam eorum quæ passim erudita musa fundit oraculorum amores opinantur.

Nos vero, Socrates, hæc abs te omnia verissime dicta esse fatemur universi.

17 Hactenus Plato. Nunc juvat etiam ex Dionysii episcopi, hominis

κατὰ Χριστὸν φιλοσοφίας ἐπισκόπου ἀνδρὸς, ἀπὸ τῶν c Περὶ φύσεως βραχέα τῶν πρὸς Ἐπίκουρον ἀντειρημένων παραθήσομαι. Σὺ δὲ λαβὼν ἀνάγνωθι τὰς οὕτως ἐχούσας αὐτοῦ φωνάς·

23 ΔΙΟΝΥΣΙΟΥ

Πότερον ἕν ἐστι συναφὲς τὸ πᾶν, ὡς ἡμῖν τε καὶ τοῖς d σοφωτάτοις Ἑλλήνων Πλάτωνι καὶ Πυθαγόρᾳ καὶ τοῖς ἀπὸ τῆς στοᾶς καὶ Ἡρακλείτῳ φαίνεται, ἢ δύο, ὡς ἴσως τις ὑπέλαβεν, ἢ καὶ πολλὰ καὶ ἄπειρα, ὥς τισιν ἄλλοις ἔδοξεν, οἳ πολλαῖς τῆς διανοίας παραφοραῖς καὶ ποικίλαις προφοραῖς ὀνομάτων τὴν τῶν ὅλων ἐπεχείρησαν κατακερματίζειν οὐσίαν,
2 ἄπειρόν τε καὶ ἀγέννητον καὶ ἀπρονόητον ὑποτίθενται; Οἱ p. 773 μὲν γὰρ ἀτόμους προσειπόντες ἄφθαρτά τινα καὶ σμικρότατα σώματα πλῆθος ἀνάριθμα, καί τι χωρίον κενὸν μέγεθος ἀπεριόριστον προβαλόμενοι, ταύτας δή φασι τὰς ἀτόμους ὡς ἔτυχεν ἐν τῷ κενῷ φερομένας αὐτομάτως τε συμπιπτούσας ἀλλήλαις διὰ ῥύμην ἄτακτον καὶ συμπλεκομένας διὰ τὸ πολυσχήμονας οὔσας ἀλλήλων ἐπιλαμβάνεσθαι, καὶ οὕτω τόν τε

c 2. τῶν πρὸς] τοῖς πρὸς D. 4. οὕτως ἐχούσας αὐτοῦ] τοῦτον ἐ. (αὐτοῦ G.) τὸν τρόπον C.F.G. τούτων I. pro οὕτως. d. Totum hoc cap. om. B. 7. τις om. I. 8. ἢ καὶ om. D. καὶ om. F.G. 9. τῆς] ταῖς D. 10. καὶ ποικίλαις προφόραις om. I. ult. ἀγένητον D.G.
p. 773. μὲν γὰρ] γὰρ om. E.I. 2. ἀνάριθμον D. ἀνήριθμον I. 4. προβαλόμενοι] προβαλλόμενον D. φασὶ om. C.F.G. 6. αὐτομάτως] αὐτομάτους C.I. 8. πολύσχημον] πολυσχήμονας οὔσας C.D.F.G. πολυσχημονούσας E.I.

Christianam philosophiam professi opere, quod De natura conscripsit, pauca quædam e multis, quæ adversus Epicurum disputat, subjungere. Tu verba ejus ipsissima perlege:

23 Utrum, inquit, unum est, atque aptum ex sese universum, uti nobis Græcorumque sapientissimis Platoni et Pythagoræ, Stoicis, et Heraclito videtur: an duo, quemadmodum forte non nemo cogitarit: an multa potius adeoque infinita? ut aliis quibusdam placuit, qui pluribus mentis erroribus, ac variis appellationum formis, universi naturam distrahere ac lacerare conati, infinitum illud esse, ortu carere, nec ullo providentiæ con-
2 silio regi voluerunt. Hi enim atomos, incorrupta quædam exiguaque corpuscula, numeroque infinita nominantes, unaque spatium aliquod vacuum, nec ullis finibus circumscriptum invehentes, atomos illas dictitant, hoc in vacuo temere dum feruntur, dum casu propter impetus perturbationem, aliæ cum aliis concurrunt, ac propter multiplicem figuram inter sese commiscentur, cum apprehendere mutuo sese, tum hunc quoque mundum,

Atomi quid?

κόσμον καὶ τὰ ἐν αὐτῷ μᾶλλον δὲ κόσμους ἀπείρους ἀποτε- ΔΙΟΝΥΣΙΟΥ
3 λεῖν. Ταύτης δὲ τῆς δόξης Ἐπίκουρος γεγόνασι καὶ Δημό-
[452] κριτος· τοσοῦτον δὲ διεφώνησαν, ὅσον ὁ μὲν ἐλαχίστας πάσας b
καὶ διὰ τοῦτο ἀνεπαισθήτους, ὁ δὲ καὶ μεγίστας εἶναί τινας ἀτόμους ὁ Δημόκριτος ὑπέλαβεν. Ἀτόμους δὲ εἶναί φασιν
4 ἀμφότεροι, καὶ λέγεσθαι διὰ τὴν ἄλυτον στερρότητα. Οἱ δὲ τὰς ἀτόμους μετονομάσαντες ἀμερῆ φασὶν εἶναι σώματα, τοῦ παντὸς μέρη, ἐξ ὧν ἀδιαιρέτων ὄντων συντίθεται τὰ πάντα καὶ εἰς ἃ διαλύεται. Καὶ τούτων φασὶ τῶν ἀμερῶν ὀνοματοποιὸν Διόδωρον γεγονέναι· ὄνομα δέ, φασὶν, αὐτοῖς ἄλλο Ἡρακλείδης θέμενος ἐκάλεσεν ὄγκους, παρ' οὗ καὶ Ἀσκληπιάδης ὁ ἰατρὸς ἐκληρονόμησε τὸ ὄνομα. c

Ταῦτ' εἰπὼν ἑξῆς ἀνασκευάζει τὸ δόγμα διὰ πολλῶν, ἀτὰρ καὶ διὰ τούτων·

24 Πῶς αὐτῶν ἀνασχώμεθα τυχηρὰ λεγόντων εἶναι συμπτώ- d
ματα τὰ σοφὰ καὶ διὰ τοῦτο τὰ καλὰ δημιουργήματα; Ὧν ἕκαστόν τε καθ' ἑαυτὸ γενόμενον ὤφθη τῷ προστάξαντι γενέσθαι καλὸν, καὶ συλλήβδην ὁμοίως ἅπαντα. Καὶ εἶδε

a 11. τοσοῦτον] τοῦτον F. b 2. δημόκριτος om. h.l. post ὁ δὲ C.F.G.I. qui inserunt ὁ δημ. post ἀτόμους. 6. μὲν ὀνομ.] μετονομ. C.D.F.G. 8. συντίθεντας G. d. ἀνασχώμεθα] ἀνασχόμ. B.C.E. 3. διὰ τούτου I. τὰ om. D.F. 4. τε καθ'] τε καὶ καθ' F.G. et sic ms. apud Routh. γενόμενον] γινόμενον D. 6. καὶ εἶδε] καὶ ex ed. Viger. excidit.

quæque ipso continentur omnia; imo vero mundos etiam infinitos efficere.
3 Hac in sententia Epicurus Democritusque versati sunt: hoc uno discrimine, quod Epicurus minimas omnes atomos, quasque propterea sensus non attingeret, Democritus nonnullas saltem maximas esse vellet. Cæterum individuas illas et dici et esse, propter indissolubilem earum firmi-
4 tatem, uterque docet. Sunt tamen, qui atomorum nomine corpora quædam intelligunt, quæ partibus careant ipsa quidem, sint tamen universi partes, ex quibus, individuæ cum sint, conflata primum omnia, in easdem quoque dissolvantur. Harum, prout partibus carent, nominis auctorem faciunt Diodorum: eas enim ὄγκους, hoc est moles, seu pondera Heraclides vocabat, unde etiam Asclepiades medicus nomen invenit. Atomus ὄγκος.

Hæc præfatus multis deinceps hoc dogma confutat, interque cætera, verbis quæ sequuntur:

24 Quî tandem homines istos feramus, dum opera sapientiæ plena, eoque ipso bona, casu facta esse dicunt? quæ et singula seorsim, et simul universa, ei cujus omnia jussu extiterant, bona sint visa. *Vidit enim*, inquit, Gen. 1, 31.

ΔΙΟΝΥΣΙΟΥ γάρ, φησὶν, ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν.
2 Ἀλλ' οὐδὲ ἀπὸ τῶν μικρῶν τῶν συνήθων καὶ παρὰ πόδας
νουθετοῦνται παραδειγμάτων, ἐξ ὧν δύνανται μανθάνειν ὅτι
χρειῶδες μὲν καὶ πρὸς ὠφέλειαν ἔργον οὐδὲν ἀνεπιτηδεύτως
οὐδὲ συμβατικῶς ἀπεργάζεται, ἀλλὰ χειρουργούμενον εἰς τὴν
πρέπουσαν ὑπηρεσίαν καταρτίζεται· ὅταν δὲ εἰς ἄχρηστον
μεταπίπτῃ καὶ ἀνωφελὲς, τότε διαλυόμενον ἀορίστως καὶ ὡς p. 774
ἂν τύχῃ διασκίδναται, ἅτε μηκέτι μεταχειριζομένης μηδὲ δια-
ταττούσης αὐτὸ τῆς σοφίας, ᾗ τοῦ συνεστάναι τοῦτο ἔμελεν.
3 Ἱμάτιόν τε γὰρ οὐ χωρὶς ἱστουργοῦ συνισταμένων τῶν στη-
μόνων οὐδὲ τῆς κρόκης αὐτομάτως παρεμπλεκομένης ἀνυφαί-
νεται· εἰ δὲ κατατριβείη, τὰ λακισθέντα διαρριπτεῖται ῥάκη.
Οἰκία τε ἀνοικοδομεῖται καὶ πόλις οὐ τοὺς μέν τινας δεχο-
μένη θεμελίοις αὐτομολοῦντας λίθους τοὺς δὲ ἀναπηδῶντας εἰς
τὰς ἐπιβολὰς, ἀλλὰ κατὰ χώραν ὁ τοιχοδόμος τοὺς εὐθέτους
ἐπιφέρει· καταρριφθείσης δὲ, ὡς ἂν παρείκῃ, κατενεχθεὶς
4 ἕκαστος ἀπεσφάλη. Καὶ κατασκευαζομένης νεὼς, οὐχ ἡ μὲν b

d 7. τὰ πάντα] τὰ om. B. τὰ π. om. C.G. 8. τῶν συνήθων] συνήτων F. 9. νουθετούντων] νουθετοῦνται B.C.D.F.I. ult. τότε διαλυόμ.] τοῦτο διαλυώ. B. ἀορίστως] ἀοριστὸν F.

p. 774. 3. σοφίας, ἧτε ... τοῦτον D. 4. οὐ χωρὶς] οὐ om. B.C.E.F.G. γὰρ οὐ om. D. 7. λακισθέντα] σχισθέντα I. 8. οὐ τοὺς μὲν—ἀπεσφάλη om. B. 9. θεμελίους D.E.F.G. Tum αὐτομολογοῦντας F.G. 12. καταρεφθείσης I. et mox ἀποσφαλῇ. b. κατασκευαζομένης] κατασκευάζεται B. qui mox ὁ μέν τις.

2 *Deus cuncta quæ fecerat : et ecce bona valde.* Quanquam ne pusilla quidem
illa cogitant vulgarium exempla rerum, quorum ipsi monitu doceri possint,
quicquid ejusmodi est, ut fructus aliquid et utilitatis afferat, id non temere
ac sine studio fieri, sed potius solerti manuum opera suum ac proprium in
usum elaborari: at idem simulatque fructuosum et commodum esse de-
sinit, solvi continuo, et confuse admodum ac perturbate dissipari, utpote
quod ea non amplius sapientia, cujus ipsum ante cura conservabat,
3 tractetur ac regatur. Ita vestimentum, nec stamine, absque textoris manu,
se ipso consistente, nec subtemine se ipsum ultro eidem implicante per-
texitur: cujus tamen, ubi disrumpitur, lacera hinc inde frusta disjici
videas. Ita cum domus aut urbs ædificatur, non lapides excipit, alios in
fundamenta sponte subsidentes, alios superius in structuræ corium ultro
subvolantes: sed architectus in suum quosque locum delatos apte concin-
neque disponit. At postquam subruta est, ubiubi casus tulerit, singuli
4 disjecti passim temereque jacent. Ita dum navis compingitur, non se

τις ὑπέβαλεν ἑαυτὴν τροπὶς, ὁ δὲ κατὰ μέσην ἑαυτὸν ἱστὸς ΔΙΟΝΥ-ΣΙΟΥ
ὤρθωσε, καὶ τῶν ἄλλων ἕκαστον ξύλων, ἣν ἔτυχεν ἐξ ἑαυτοῦ
θέσιν κατέλαβεν· οὐδὲ τὰ λεγόμενα ἑκατὸν τῆς ἁμάξης ξύλα
καθ' ὃν εὗρε κενὸν τόπον ἕκαστον συνεπάγη, ἀλλ' ὁ τέκτων
ἑκατέρας συνεκόμισε καίριον· εἰ δὲ διαλυθείη ἡ ναῦς ἐνθα-
λασσεύουσα, ἢ φερομένη κατὰ γῆν ἅμαξα, ὅπῃ τύχῃ τὰ ξύλα
τὰ μὲν ὑπὸ τῶν κυμάτων τὰ δὲ ὑπὸ τῆς συντόνου ῥύμης δια-
5 σπείρεται. Οὕτως ἂν ἁρμόζοι λέγειν αὐτοῖς καὶ τὰς ἀτό- c
μους, ἀργὰς μενούσας καὶ ἀχειροποιήτους καὶ ἀχρήστους,
εἰκῇ φέρεσθαι. Ὁράτωσαν γὰρ τὰς ἀθεάτους ἐκεῖνοι, καὶ
τὰς ἀνοήτους νοείτωσαν, οὐχ ὁμοίως ἐκείνῳ, ὃς φανερωθὲν
ἑαυτῷ τοῦτο ὑπὸ τοῦ Θεοῦ πρὸς αὐτὸν ὁμολογεῖ, Τὸ ἀκατέρ-
6 γαστόν σου εἴδοσαν οἱ ὀφθαλμοί μου. Ὅταν δὲ καὶ ἅ φασιν ἐξ
ἀτόμων ὑφάσματα γίνεσθαι τὰ εὐήτρια, ταῦθ' ὑπ' αὐτῶν ἀσό-
φως καὶ ἀναισθήτως αὐτουργεῖσθαι λέγωσι, τίς ἀνέξεται τὰς
ἀτόμους ἀκούων ἐρίθους, ὧν καὶ ὁ ἀράχνης ἐστὶ σοφώτερος
25 7 χειροτεχνῶν ἐξ ἑαυτοῦ; Ἢ τὸν μέγαν τοῦτον οἶκον τὸν ἐξ d

b 2. ἑαυτὴν] αὐτὴν B.C.D.F.G. 3. ἱστός] ἱστὼς B. ὁ ἱστὸς C.F.G. 4. ἑαυτοῦ] αὐτοῦ D. 5. ἑκατὸν ἁμάξης] Hesiod. Opp. 454. 7. ἕκαστον om. F.G. ἑκατέρας] Routhius: f. ἑκάτερα. c 4. ἀθεάτους] ἀθέτους ms. apud Vigerum. Nil ad h. l. a collatore meo allatum. Mox οὐκ ἀνομοίως Routh. 7. ἴδωσαν] εἶδον B. εἴδοσαν C.F.G. 9. εὐήτρ.] εὐίτρ. B.C.F.G. 10. ἀναισθήτως] ἀνεπαισθήτως D. 11. λέγωσι] λέγουσι D. τὰς] τοὺς D. 12. ἀρρύθμους] ἐρίθους B.C.D.F.G. Non raro ad hanc vocem titubatum est. Vid. infra p. 855 c 10. Mox ὁ om. C.D.G. ante ἀράχνης. infra ἐξ ἑ. χειρ. C.F.G. d 3. Hoc cap. om. B.

ipsam carina summittit, non malus in medio rectum sese tollit, non ligna cætera situm ex sese fortuitum accipiunt: nec centum illa, quæ vulgo in plaustro ligna numerantur, quem vacuum quæque locum repererint, in eo sponte coagmentantur. Faber lignarius suis apta quæque locis in utrumque comportat. Quod si aut navis medio jactata mari, aut plaustrum in terra dum agitur, dissolvatur, utriusque ligna vel fluctibus, vel incitato
5 impetu dissipantur. Ita plane dicendum iis fuerit, suas illas atomos, quod otiosæ, quod nulla manu perpolitæ, quod inutiles maneant, temere circumferri. Spectent enimvero, quæ spectari, cogitent quæ cogitari non possunt, nec jam ut ille, qui hoc abs Deo sibi patefactum Deo ipsi confitetur, his
6 verbis, *Imperfectum tuum viderunt oculi mei.* Nunc vero, pulcherrima illa Ps. 138, 16.
et elegantissima, quæ suis ex atomis contexta esse dicunt, dum ab iisdem sine consilio ac sine sensu perfecta esse addunt, quis tandem eos ferat, indigestas ac rudes atomos obtrudentes, quos araneus sapientia longe
25 7 superet, quum suum illud opus suapte industria conficiat? Quis æquis

ΔΙΟΝΥΣΙΟΥ

οὐρανοῦ καὶ γῆς συνεστῶτα, καὶ διὰ τὸ μέγεθος καὶ πλῆθος
τῆς ἐπιφαινομένης αὐτῷ σοφίας καλούμενον κόσμον, ὑπὸ τῶν
[453] σὺν οὐδενὶ κόσμῳ φερομένων ἀτόμων κεκοσμῆσθαι, καὶ γεγο- p. 775
8 νέναι κόσμον ἀκοσμίαν; Πῶς δὲ κινήσεις καὶ ὁδοὺς εὐτάκτους
ἐξ ἀτάκτου προσάγεσθαι φορᾶς; Πῶς δὲ τὴν παναρμόνιον
τῶν οὐρανίων χορείαν ἐξ ἀμούσων καὶ ἀναρμόστων συνᾴδειν
ὀργάνων;

9 Τίνα δὲ τρόπον, μιᾶς οὔσης καὶ τῆς αὐτῆς ἁπασῶν οὐσίας
καὶ τῆς αὐτῆς ἀφθάρτου φύσεως, πλὴν τῶν μεγέθων, ὥς φασι,
καὶ τῶν σχημάτων, τὰ μέν ἐστι θεῖα καὶ ἀκήρατα καὶ αἰώνια,
ὡς αὐτοὶ φήσαιεν ἄν, σώματα, ἢ μακραίωνά γε κατὰ τὸν
οὕτως ὀνομάσαντα, φαινόμενά τε καὶ ἀφανῆ· φαινόμενα μὲν b
ἥλιος καὶ σελήνη καὶ ἀστέρες γῆ τε καὶ ὕδωρ, ἀφανῆ δὲ θεοί
τε καὶ δαίμονες καὶ ψυχαί; Ταῦτα γὰρ οὐδὲ θέλοντες ὑπάρ-
10 χειν ἀρνήσασθαι δύνανται. Τὰ δὲ μακροβιώτατα ζῷά τε καὶ
φυτά· ζῷα μὲν ἔν τε ὄρνισιν, ὥς φασιν, ἀετοὶ κόρακές τε καὶ
φοίνικες· ἔν τε χερσαίοις, ἔλαφοί τε καὶ ἐλέφαντες καὶ δρά-

d 6. ἐπιφερομένης] ἐπιφαινομένης C.D.F.G. ult. οὐδενὶ] ἡδονῇ C. F.G.

p. 775. 3. προσάγεσθαι] προάγεσθαι F.G. Routhii ms. 6. τίνα δὲ] τίνα δὲ καὶ Routhii ms. 7. αὐτῆς ἁπασῶν] αὐτῆς om. C.D.F.G. 8. ὥς φασι om. E.I. 9. καὶ ἀκ.] καὶ om. E. 11. μακραίωνά γε] μακρέωνά τε C. qui infra χερσέοις et περσαῖαι. Hoc F.G. τε pro γε D. F.G. b τε καὶ ἀφ. φαιν. om. I. 3. τε καὶ] τε om. G. 8. καὶ δρ.] τε καὶ δρ. D. qui mox Περσαῖαι.

porro auribus audiat, ingentem hanc domum, ex cœlo terraque constantem,
qui propter maximam illam et multiplicem, quæ huic insidet, sapientiæ
vim, mundus vocatur, ab atomis quæ nullo ferantur ordine, ordinem atque
ornatum omnem accepisse, ac perturbationem ipsam in mundum esse
8 mutatam? Quis statos illos motus atque conversiones, ex inconstanti
quodam impetu proficisci? Quis absolutam rerum cœlestium harmoniam,
ex inconditis et inconcinnis instrumentis temperari?

9 Quomodo autem, una cum omnium essentia sit incorruptibilisque na-
tura, solo, ut aiunt, magnitudinum figurarumque discrimine; corporum
tamen, alia quædam, ut ipsi vocant, divina sunt, fatis superiora, et sempi-
terna, vel ævi saltem, ut non nemo loqui maluit, longioris: eaque partim
visu percipiuntur, ut sol, luna, stellæ, terra, et aqua; partim sensum fu-
giunt, ut dii, dæmones, et animi? Hæc enim esse, ut maxime velint,
10 negare non possunt. Alia diuturnæ admodum vitæ, sive animantium, sive
plantarum ex genere; animantium, ut aves inter (quod ipsi dictitant)
aquilæ, corvi, atque phœnices: e terrestribus cervi, elephantes, ac dra-

κοντες· ἐν δὲ τοῖς ἐνύδροις, τὰ κήτη· δένδρα δὲ, φοίνικες ΔΙΟΝΥΣΙΟΥ
καὶ δρύες καὶ περσέαι· καὶ τῶν γε δένδρων τὰ μέν ἐστιν ἀειθαλῆ, ἃ καὶ καταριθμήσας τις εἶπεν εἶναι τεσσαρακαίδεκα· c
τὰ δὲ πρὸς καιρὸν ἀνθεῖ καὶ φυλλορροεῖ· τὰ δὲ πλεῖστα τῶν τε φυομένων καὶ τῶν γεννωμένων ἐστὶν ὠκύμορα καὶ βραχυτελῆ, ὧν ἐστι καὶ ὁ ἄνθρωπος, ὡς εἶπέ τις ἁγία περὶ αὐτοῦ
11 γραφή· Βροτὸς δὲ γεννητὸς γυναικὸς, ὀλιγόβιος. Ἀλλὰ τοὺς συνδέσμους φήσουσι τῶν ἀτόμων διαλλάττοντας αἰτίους γίνεσθαι τῆς περὶ τὴν διαμονὴν διαφορᾶς. Τὰ μὲν γὰρ ὑπ' αὐτῶν πεπυκνῶσθαι καὶ κατεσφίγχθαι λέγειν, ὥστ' αὐτὰ παντελῶς δυσαπάλλακτα γεγονέναι πιλήματα, τὰ δὲ μανωτέραν καὶ χαλῶσαν τὴν συνάφειαν τῶν ἀτόμων ἐπ' ἔλαττον d
ἢ πλέον ἐσχηκέναι, ὡς ἢ θᾶττον ἢ μὴ μετὰ πολὺ τῆς κολλήσεως αὐτῶν ἀφίστασθαι· καὶ τὰ μὲν ἐκ τοιῶνδε καὶ ὧδέ πως ἐσχηματισμένων, τὰ δὲ ἐξ ἑτέρων ἑτεροίως διακειμένων συμμεμίχθαι.

12 Τίς οὖν ὁ φυλοκρίνων συναγείρων τε καὶ ἀναχέων καὶ

b 11. ἃ καὶ] ἃ om. I. c. τέσσαρες καὶ δέκα F.G.I. 3. γεννωμ.] τῶν γεννωμ. C.D.F.G. 6. γεννητὸς γυναικὸς] γυν. γενν. C.F.G. 8. τῆς περὶ] τοὺς περὶ D. 9. διαφθορᾶς] ἴσ. διαφορᾶς Vigeri marg. Sic F. 10. κατεσφίγχθαι λέγεται ὡς ταῦτα] κατεσφίχθαι λέγειν ὥστ' αὐτὰ C.F.G. λέγειν item D.I. d. τῶν ἀτ.] αὐτῶν ἀτ. D. 2. μετὰ] μὴ μετὰ C.F.G. qui mox κολλήσεως pro κοσμ. Hoc item D. 4. τὰ] τὰς F.G. 5. ἐξ ἑτ.] καὶ ἐξ ἑτ. D. 6. φιλοκρίνων] ἴσ. φυλοκρινῶν Vigeri marg. F. Vide quæ notavi ad Scholiastam Hephæstionis p. 159. φιλοκρινῶν συνεγείρων D. φιλοκρινῶν I. 7. ἀναχέων] διαχέων D.F.G.

cones; e piscibus, quæ cete dicuntur: plantarum vero, ut palmæ, quercus, et perseæ. Quarum etiam nonnullæ perpetuam retinent viriditatem, cujusmodi quatuordecim a quopiam numerantur: aliæ certo florent tempore, certo quoque frondibus exuuntur. Alia denique, ac multo sane plurima, sive nascantur e terra, sive gignantur, iniquissimis fati vitæque brevissimæ angustiis includuntur: e quibus homo etiam ipse est, ut alicubi divina de illo scriptura loquitur, dum ait, *Mortalis autem, natus de muliere, brevi* Job. 14.
11 *vivens tempore.* Diversos, opinor, atomorum nexus, tantæ hujus in persistendo differentiæ caussas esse respondebunt. Alia enim videlicet, pressius ab iis arctiusque constringi, quæ proinde uti densiora, sic ad dissolvendum longe difficillima sint: alia vero, quod laxiori ac solutiori atomorum colligatione devincta sint, atque id etiam cum aliquo discrimine, celerius propterea vel tardius ab earum ornatu complexuque removeri. Postremo ex certis quibusdam alia, certoque modo figuratis, alia ex aliis ac sese aliter habentibus esse commixta. 1.

12 Sed, quis ille porro diversarum quasi tribuum judex, alias cogit, dissipat

ΔΙΟΝΥΣΙΟΥ

τάσδε μὲν οὕτω συντάττων εἰς ἥλιον, τάσδε δὲ ὡδὶ ἵνα ἡ σελήνη γένηται, καὶ ἑκάστας συμφέρων κατὰ τὴν οἰκειότητα πρὸς ἑκάστου φαῦσιν ἀστέρος; Οὔτε γὰρ αἱ ἡλιακαὶ τοσαίδε καὶ τοιαίδε καὶ ὧδέ πως ἑνωθεῖσαι πρὸς ἐργασίαν σελήνης ἂν καταβεβήκεσαν, οὔτε αἱ τῶν σεληνιακῶν ἀτόμων πλεκτάναι γεγόνασί ποτε ἥλιος· ἀλλ' οὐδὲ Ἀρκτοῦρος, εἰ καὶ λαμπρός p. 776 ἐστι, τὰς Ἑωσφόρου μεγαλοφρονήσαιτό ποτε ἂν ἀτόμους ἔχειν, οὐδὲ τὰς Ὠρίωνος αἱ Πλειάδες. Καλῶς γὰρ ὁ Παῦλος διέστειλεν, εἰπών, Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. Ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

13 Καὶ εἰ μὲν ἀνεπαίσθητος αὐτῶν ὡς ἀψύχων ἡ σύμπηξις ἐγένετο, ἐπιστήμονος αὐταῖς ἔδει δημιουργοῦ· εἰ δὲ ἀπροαίρετος καὶ κατ' ἀνάγκην, ὡς ἀλόγων, ἡ σύνερξις, σοφός τις αὐτὰς ἀγελάρχης συνελαύνων ἐπεστάτησεν· εἰ δὲ ἑκουσίως b ἐθελουργῆσαι συγκέκλεινται, θαυμάσιός τις αὐτῶν ἀρχιτέκτων ἐργοδοτῶν προηγήσατο· ἢ καθάπερ εὔτακτος στρατηγὸς οὐ συγκεχυμένην εἴασε τὴν στρατιὰν καὶ πάντας ἀναμὶξ,

d 8. τὰς δὲ ὡδὶ] τάσδε δὲ ὧδε C.F.G. τὰς δὲ ὧδε D. 9. ἕκαστα] ἑκάστας C.D.F.G. συμφ.] ὁ συμφ. E.I. 10. φύσιν] φαῦσιν C.D.F.G.I. αἱ om. I. 11. ἡλιακαὶ καὶ] καὶ om. D.F.G. 12. σελήνης] καὶ σ. E.I. 13. οὔτ' ἂν αἱ] οὔτε αἱ C.F.G.I. οὔτ' αὐτῶν D. ult. γεγόνεσαν] γεγόνασι C.D.F.G.I.

p. 776. 10. ἀπροαιρότοις I. b. συγκέκλεινται] συγκέκληνται C.D.F.G. 4. συγκεχωρημένην] ἴσ. συγκεχυμένην Vigeri marg. et sic F.G.I. Routhii ms. 5. πάντα] πάντας C.F.G.I.

alias? quis eas sic inter se committit, ut inde modo sol, modo luna oriatur? quis denique singularum stellarum naturis, quæ quibusque propria sunt nativaque contribuit? Nec enim profecto, aut solares illæ tot atque tales, eoque conjunctæ modo, ad lunæ procreationem concurrerent, aut lunarium atomorum nexus solem unquam efficerent. Ita nec Arcturus, tametsi perillustris, ex Auroræ, nec Orionis ex atomis conflatas se Pleiades unquam glorientur. Præclare enim Paulus ita distinxit, *Alia*, inquit, *claritas solis,* (1 Cor. 15, 41.) *et alia claritas lunæ, et alia claritas stellarum. Stella enim a stella differt*

13 *in gloria.* Profecto, si earum tanquam inanimatarum coagmentatio sensu omni caruit, industrio ac perito artifice opus habuere: si tanquam rationis expertium, vacua consilii, necessitatem est sequuta conjunctio, sapientis omnino pastoris manu locum in unum compelli debuere: si denique suapte sponte voluntarium ad opus convenere, admirabilis plane architectus, operumque præses, suum cuique munus pensumque descripsit: aut quemadmodum ordinis amans imperator, non perturbatum reliquit exercitum,

ΔΙΟΝΥΣΙΟΥ

ἀλλ' ἐν μέρει μὲν τὴν ἵππον, ἰδίᾳ δὲ τοὺς ὁπλίτας, τούς τε ἀκοντιστὰς καθ' ἑαυτοὺς, καὶ χωρὶς τοὺς τοξότας, καὶ τοὺς σφενδονήτας ἔνθα ἐχρῆν διετάξατο, ἵνα ἀλλήλοις οἱ ὁμό-
14 σκευοι συμμαχοῖεν. Εἰ δὲ τοῦτο χλεύην οἴονται τὸ παράδειγμα διὰ τὸ μεγάλων σωμάτων με πρὸς τὰ ἐλάχιστα c ποιεῖσθαι σύγκρισιν, ἐπὶ τὰ σμικρότατα μεταβησόμεθα.

15 Εἶτα τούτοις ἑξῆς ἐπιλέγει,

Εἰ δὲ μήτε λέξις μήτε ἐκλογὴ μήτε τάξις αὐταῖς ἄρχοντος ἐπικέοιτο, αὐταὶ δὲ ἐφ' ἑαυτῶν αὐτὰς ἐκ τῆς πολλῆς κατὰ τὴν ῥύσιν τύρβης διευθύνουσαι, καὶ τὸν πολὺν τῶν συμπτώσεων διεκπερῶσαι κυδοιμὸν, αἱ ὅμοιαι πρὸς τὰς ὁμοίας οὐχ ὑπὸ τοῦ
[454] Θεοῦ κατὰ τὸν ποιητὴν ἄγοιντο, συντρέχοιεν δὲ καὶ συναγελάζοιντο γνωρίζουσαι τὰς συγγενεῖς, θαυμαστή γε τῶν ἀτόμων ἡ δημοκρατία, δεξιουμένων τε ἀλλήλας τῶν φίλων καὶ d περιπλεκομένων, εἰς μίαν τε κατασκηνοῦν συνοικίαν ἐπειγομένων, καὶ τῶν μὲν ἀποτετορνευμένων αὐτομάτων εἰς ἥλιον φωστῆρα μέγαν ἵνα ποιήσωσι τὴν ἡμέραν, τῶν δὲ εἰς πολλὰς

b 5. τὴν ἵπ.] τὸν ἵπ. C. 7. καθ' ἑαυ.] καὶ καθ' ἑαυ. D. 8. σφενδονίτας] σφενδονήτας C.F.G. 11. με πρὸς] τὴν πρὸς D. με om. F. c 5. αὐτὰς] ἑαυτὰς C.D.F.G. 6. ῥύσιν] τὴν ῥύσιν D.F.G.I. 7. τὸν πολὺν] τῶν π. C. 9. ποιητὴν] Hom. Od. ρ'. 218. d 3. αὐτομάτως] αὐτομάτων C.D.F.G.I.

non permisceri omnia passus est, at loco suo equitem, peditemque suo disposuit, jaculatores item seorsim, seorsimque sagittarios, atque ubi par erat fundibularios collocavit, ut similis armaturæ milites simul etiam omnes
14 dimicarent. Qui si ridiculum hoc exempli genus esse dicent, quod magnorum corporum cum minimis contentionem instituam; ad minima veniemus.

15 Hæc ille. Quibus deinde quæ sequuntur adjungit.

Quod si ducis, inquit, neque nomen, neque delectus, neque collocatio in earum sese moderationem ingessit: at ipsæmet suopte arbitrio, ex multa sese continui fluxus turba colligentes, magnoque variarum commissionum tumultu declinato, similes cum similibus ita convenerint, ut tamen non divini Numinis ductum, quemadmodum poëta fingit, sequutæ sint: sed potius, cum sese affines mutuo cognatæque nossent, in unum quasi gregem confluxerint: næ admirabilis hæc atomorum democratia est; ubi amicæ amicas excipiant, atque complectantur, itaque unum in domicilium convolent universæ. Tum certæ quædam ultro, in solem magnum illud sidus, quodam quasi torno rotundentur, ut diem efficiant: aliæ, quo cœlum inte-

ΔΙΟΝΥΣΙΟΥ

ἴσως πυραμίδας ἀστέρων ἀναπεφλεγμένων ἵνα καὶ ὅλον στεφανώσωσι τὸν οὐρανὸν, τῶν δὲ περιτεταγμένων ἵνα αὐτὸν εἰκῇ στερεώσωσι καὶ καμαρώσωσι τὸν αἰθέρα εἰς τὴν τῶν φωστήρων ἐπιβάθραν, ἐπιλέξωνταί τε ἑαυταῖς αἱ συνωμοσίαι τῶν χυδαίων ἀτόμων μονὰς, καὶ διακληρώσωνται τὸν οὐρανὸν εἰς οἴκους ἑαυταῖς καὶ σταθμούς.

16 Εἶτα μεθ᾽ ἕτερά φησιν,

Ἀλλ᾽ οὐδὲ τὰ φανερὰ ὁρῶσιν οὗτοι οἱ ἀπρονόητοι, πολ- p. 777
λοῦ γε δέουσι συνορᾶν καὶ τὰ ἀφανῆ. Ἐοίκασι γὰρ μηδὲ
ἀνατολὰς ἐποπτεύειν τεταγμένας καὶ δύσεις μήτε τῶν ἄλλων
μήτε τὰς ἐκπρεπεστάτας ἡλίου, μηδὲ χρῆσθαι ταῖς δι᾽ αὐτῶν
δεδωρημέναις ἀνθρώποις ἐπικουρίαις, ἀναπτομένῃ μὲν εἰς ἐργα-
σίαν ἡμέρᾳ, ἐπηλυγαζούσῃ δὲ νυκτὶ πρὸς ἀνάπαυλαν. Ἐξε-
λεύσεται γὰρ ἄνθρωπος, φησὶν, ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν
17 ἐργασίαν αὐτοῦ, ἕως ἑσπέρας. Ἀλλ᾽ οὐδὲ τὴν ἑτέραν ἐπισκο-
ποῦσιν ἀνακύκλησιν αὐτοῦ, καθ᾽ ἣν ὡρισμένας ὥρας καὶ και- b
ροὺς εὐκαίρους καὶ τροπὰς ἀπαρατρέπτους ἀποτελεῖ, ὑπὸ τῶν

d 8. καμαρώσωσι] καταμαρώσωσι E. 11. συνομολογίαι] συνωμοσίαι C.D.F.G.I.

p. 777. αὐτοὶ] οὗτοι C.D.F.G. 2. πολλοῦ γε] πολλοῦ δὲ D. 3. ὑποπτεύειν] ἐποπτεύειν Routhius ex ms. et sic F. 7. ἀνεπομένῃ I. ἐπηλυγ.] ἐπιλυγ. D. ἐπουλουγ. F. 9. ἄνθ. φησὶν] φησὶν ἄνθ. C.F.G. 11. ἀνακύκλησιν] ἀνατολὴν D. b 2. ἀπαρατρέπτους] ἐντρέπτους D.

grum coronent, in plurimas fortassis ardentium stellarum pyramides figurentur: aliæ in orbem digestæ, firmitatis aliquid ætheri afferant, eoque testudinis in morem concamerato, subeuntibus cœli luminibus, quosdam quasi gradus præstruant: adeoque vulgarium atomorum factiones domicilia sibi deligant, ac cœlum ipsum proprias in domos atque stationes inter sese partiantur.

16 Rursus aliis quibusdam interjectis:

Imo, inquit, ne obvia quidem vident homines improvidi, tantum abest ut
occulta provideant. Utique ratos illos atque constantes ortus obitusque
siderum, non cæterorum modo, verum etiam solis omnium nobilissimos,
ne suspicando quidem videntur attingere: nec iis uti commoditatibus,
quas hominum generi suppeditant, aut collucente ad obeundum opus die,
Ps. 103, 23. aut nocte quietis capiendæ caussa terras opacante. *Exibit enim homo,*
17 inquit, *ad opus suum, et operationem suam usque ad vesperum.* Nec vero
alteram ejus circuitionem attendunt, qua distinctas tempestates, opportunaque tempora, nec usquam detortas conversiones efficiat, earum videlicet,

ΔΙΟΝΥΣΙΟΥ

ἐξ ὧν ἐστὶν ἀτόμων ὁδηγούμενος. Ἀλλὰ κἂν μὴ θέλωσιν οἱ δείλαιοι, ὡς δ᾽ οὖν πιστεύουσιν οἱ δίκαιοι, Μέγας Κύριος ὁ ποιήσας αὐτὸν καὶ ἐν λόγοις αὐτοῦ κατέσπευσε πορείαν.

18 Ἄτομοι γὰρ ὑμῖν χειμῶνα φέρουσιν, ὦ τυφλοὶ, καὶ ὑετοὺς, ἵνα ἡ γῆ τροφὰς ὑμῖν τε καὶ πᾶσι τοῖς ἐπ᾽ αὐτῆς ζῴοις ἀνῇ; Θέρος τε ἐπάγουσιν, ἵνα καὶ τοὺς ἀπὸ δένδρων εἰς τρυφὴν καρποὺς λάβητε; καὶ διὰ τί μὴ ταῖς ἀτόμοις προσκυνεῖτε καὶ θύετε ταῖς ἐπικάρποις; Ἀχάριστοί γε μηδὲ ἀπαρχὰς αὐταῖς c ὀλίγας τῶν πολλῶν δωρεῶν, ἃς παρ᾽ αὐτῶν ἔχετε, ἀφιεροῦντες.

19 Καὶ μετὰ βραχέα φησὶν,

Ὁ δὲ πολυεθνὴς καὶ πολυμιγὴς δῆμος τῶν ἀστέρων, οὓς αἱ πολυπλανεῖς καὶ ἀεὶ διαρριπτούμεναι συνέστησαν ἄτομοι, χώρας ἑαυτοῖς κατὰ συνθήκας ἀπεδάσαντο, ὥσπερ ἀποικίαν ἢ συνοικίαν ἀνελόμενοι, μηδενὸς οἰκιστοῦ μηδὲ οἰκοδεσπότου προεστηκότος· καὶ τὰς πρὸς τοὺς πλησιοχώρους γειτνιάσεις ἐνωμότως καὶ μετ᾽ εἰρήνης φυλάττουσιν, οὐχ ὑπερβαίνοντες οὓς κατειλήφασιν ἐξ ἀρχῆς ὅρους, ὥσπερ ὑπὸ τῶν βασιλίδων d

b 6. ἐν λόγοις] οὐ λ. C. εὐλόγοις F. Sumpta hæc ex Sirach. 43, 5. 7. ὑμῖν] ἡμῖν F. 9. αὐτῆς F.G. et Steph. Vigerus αὐτοῖς. 10. ἐπάγουσιν] ἐπάγωσιν D. c 2. δωρεῶν] δενδρεῶν F. ἔχετε] ἔχουσιν C.D.E.F.G.I. 7. ἀπεδάσαντο] ἀπεδέσαντο D. 11. φυλάττουσιν] φυλάσσουσιν C.F.G. καὶ εἰλήφ.] κατειλήφ. C.F.G. οὐχ ὑπερβαίνουσιν οὓς κατειλ. D. d. ὑπὸ] ὑπὲρ C.F.G. βασιλίδων ἀτενομοθετούμενοι I.

ex quibus ipse consistit, atomorum ductum sequutus. At enimvero, velint nolint homines reapse miseri, quomodo tamen sibi persuadent, æquissimi: *Magnus ille Dominus, qui solem creavit, verborum quoque suorum vi*
18 *ejusdem cursum incitavit.* Atomi quippe, hyemem vobis, o cæci, ac pluvias afferunt, ut alimenta vobis ac cæteris animantibus terra producat. Earundem æstas beneficium est, ut arborum etiam ad delicias fructus colligatis. Quidni porro atomis frugum præsidibus solenni cultu sacra facitis? Homines ingrati, qui tot donorum, quæ ab iis accipitis, ne primitias quidem pauculas consecretis.

19 Iterumque post pauca,

Multiplex autem, inquit, illa stellarum natio, quam erraticæ ac semper huc illucque disjectæ atomi conflaverunt, sedes ipsa sibi, coloniæ cujusdam aut sodalitatis more, communi ex pacto, distribuit, nullius aut conditoris, aut familiæ præsidis auctoritatem sequuta. Atque ita deinceps, mutua cum finitimis, religiose altaque cum pace, omnes viciniæ jura custodiunt, nec eos unquam fines, quos ab initio accepere, transiliunt, prorsus ac si regiarum quarundam atomorum legibus regerentur. At non imperant

ΔΙΟΝΥΣΙΟΥ

20 ἀτόμων νομοθετούμενοι. Ἀλλ᾽ οὐκ ἄρχουσιν ἐκεῖναι· πῶς γάρ, αἱ μὴ δ᾽ οὖσαι; Ἀλλὰ θείων λογίων ἐπακούσατε, Ἐν κρίσει Κυρίου τὰ ἔργα αὐτοῦ. Ἀπ᾽ ἀρχῆς καὶ ἀπὸ ποιήσεως αὐτῶν διέστειλε μερίδας αὐτῶν, ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔργα αὐτοῦ, καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν.

21 Καὶ μετὰ βραχέα φησίν,

Ἢ τίς οὕτως εὔτακτος πεδιάδα γῆν διώδευσε φάλαγξ, οὗ προθέοντος οὐδενός, οὐκ ἐκτρεπομένου, οὐκ ἐμποδοστατοῦντος, οὐκ ἀπολειπομένου τῶν συμπαρατεταγμένων, ὡς ἰσόστοιχοι καὶ συνασπιδοῦντες ἀεὶ προΐασιν, ὁ συνεχής τε καὶ ἀδιάστατος
22 ἀόχλητός τε καὶ ἀνεμπόδιστος τῶν ἄστρων στρατός; Ἀλλ᾽ p. 778
ἐγκλίσεσι καὶ ταῖς εἰς πλάγιον ἐκνεύσεσι γίνονταί τινες αὐτῶν ἄδηλοι τροπαί. Καὶ μὴν ἀεὶ καιροφυλακοῦσι καὶ προορῶνται τὰς χώρας, ὅθεν ἕκαστος ἄνεισιν, οἱ τούτοις προσεσχηκότες. Εἰπάτωσαν οὖν ἡμῖν οἱ τῶν ἀτόμων τομεῖς καὶ τῶν ἀμερῶν μερισταὶ καὶ τῶν ἀσυνθέτων συναγωγεῖς καὶ τὰ ἄπειρα περινοοῦντες, πόθεν ἡ κυκλοφορικὴ τῶν οὐρανίων συν-

d 3. μὴ δ᾽ οὖσαι] μὴ δέουσαι E. μὴ δὲ οὖσαι F. 8. γενεὰς αὐτῶν] ἔργα αὐτοῦ I. 9. εὐτάκτως] εὔτακτος D. 11. ἐμποδιστ.] ἐμποδοστ. C.F.G. Vigeri marg. οὐδὲ ἐκτρεπ. οὐδ᾽ ἐμπεδοστατ. D. ἀπολειπ.] ἀπολιπ. E. 12. ἰσόστοιχοι] ἰσόστιχοι F. 13. ἀδιάστ.] ὁ ἀδιαστ. D.
p. 778. νεύσεσι] ἐκνεύσεσι C.D.G. 2. τρόπαι] τρόποι I. 4. ἀνίησιν] ἄνεισιν C.D.F. 7. ἄπειρα] ἄπυρα F.G.

20 illæ profecto. Quî enim imperent, quæ nullæ sunt? Audite vero divinorum oraculorum vocem, *In judicio Domini opera ejus. Ab initio, et a creatione ipsorum, distinxit partes illorum. Ornavit in æternum opera sua, et principia eorum in generationes eorum.*

Eccl. 16, 26, 27.

21 Additque paulo post;

Aut quæ unquam acies, inquit, tam composito agmine campum transmisit, præcurrente nemine, nemine deerrante, nemine aut impedimentum offerente cæteris, aut cæteros minus consequente: quam æquatis semper ordinibus, et pressis veluti clypeis, perpetuus ille, nec usquam aut interruptus, aut perturbatus, aut obice ullo retardatus astrorum exercitus pro-
22 greditur? Atqui transversis quibusdam inclinationibus ac nutibus, obscuræ nonnunquam eorum mutationes fiunt. Esto. Semper tamen et justum observant tempus, et loca illa, unde singula oriuntur, prospiciunt, qui hoc in studii genere occupantur. Dicant ergo nobis atomorum sectores egregii, qui et dividunt individua, et dissita sejunctaque consociant, et infinita mente definiunt; unde tandem circularis ille rerum cœlestium

οδία καὶ περιοδία, οὐχ ἑνὸς παραλόγως ἀτόμων πήγματος ΔΙΟΝΥΣΙΟΥ
οὕτω σφενδονηθέντος, ἀλλὰ τοσούτου κυκλικοῦ χοροῦ κατὰ
ῥυθμὸν ἴσα βαίνοντος καὶ συμπεριδινουμένου, πόθεν ἀδιά- b
[455] τακτοι καὶ ἀπροαίρετοι καὶ ἀγνῶτες ἀλλήλων συνέμποροι παμπληθεῖς συνανεστράφησαν. Καλῶς τε ὁ προφήτης ἐν τοῖς ἀδυνάτοις καὶ ἀνενδείκτοις ἔταξε τὸ ξένους κἂν δύο συνδραμεῖν· Εἰ πορεύσονται, φησὶ, δύο ἐπὶ τὸ αὐτὸ καθόλου, ἐὰν μὴ γνωρίσωσιν ἑαυτούς;

23 Ταῦτ᾽ εἰπὼν, μυρία τε ἄλλα τούτοις ἐπαγαγὼν, ἑξῆς κατασκευάζει διὰ πλειόνων τὸ πρόβλημα ἀπό τε τῶν κατὰ μέρος στοιχείων τοῦ παντὸς, ἀπό τε τῶν ἐν τούτοις παντοδαπῶν ζῴων, καὶ δὴ καὶ ἀπὸ τῆς τἀνθρώπου φύ-
σεως. Ἐξ ὧν ἔτι βραχέα τοῖς εἰρημένοις προσθεὶς c
καταπαύσω τὸν παρόντα λόγον.

26 Καὶ οὔτε ἑαυτοὺς οὔτε τὰ περὶ ἑαυτοὺς ὁρῶσιν. Εἰ γάρ τις τῶν ἀρχηγετῶν τοῦ τῆς ἀσεβείας ταύτης δόγματος ἑαυτὸν

a 9. καὶ περιόδια om. C.F.G. καὶ om. I. 10. σφενδονισθέντος] σφενδονηθέντος C.D.F.G. Recte. Est enim a σφενδονάω. σφενδονιθέντος I. 11. κυκλικοῦ] κυκλίου I. κατὰ ῥυθμὸν] κατ᾽ ἀριθμὸν C. b. βαίνοντος] βαίνοντες D. 2. διάτακτοι] διάπατοι D. 5. ξένους] τὸ ξένους D.F.G. οὓς καὶ E.I. 6. συνδραμεῖ] συνδραμεῖν C.F. συνδραμὼν I. εἰσπορεύσονται] εἰπορεύσονται F. 7. κατάλυμα] καθόλου C.D.E.F.G.I. 8. μυρία τε ἄλλα] μαρτύριά τε D. c 5. τὰ περὶ] τὰ om. C. Mox αὐτοὺς B.C.

conjunctusque cursus atque conversio; cum non una quædam atomorum strues sic tanquam funda temere circumrotetur; sed chorus ille tantus composito æqualique gressu procedat, et in orbem una volvatur: aut quo pacto fiat, ut tam multi ejusdem viæ socii, a nemine ordinati, nullo præditi consilio, sibique mutuo ignoti omnes, tanta simul concordia susceptum iter conficiant? Merito enim propheta, hoc tanquam ex iis unum quæ nec fieri nec ostendi queant, protulit, ut duo simul peregrini concurrant, dum ait, *Convenientne duo in idem diversorium, si non se mutuo noverint?* Amos 3, 3.

23 Hæc ille. Qui sexcenta alia persequutus, susceptum deinceps argumentum pluribus confirmat, partim ex singulis universi elementis, partim ex omnis generis animantium, quæ complectuntur, multitudine: partim ex ipsa quoque hominis natura depromptis. E quibus ubi pauca quædam superioribus addidero, tum demum huic libro finem imponam.

26 Ac ne se quidem ipsos, inquit, nec quæ naturæ suæ propria sunt, isti vident. Si quis enim ex illis impiæ doctrinæ principibus, qui tandem, aut

ΔΙΟΝΥ-ΣΙΟΥ

ὅστις ἐστὶ καὶ ὅθεν ἀνελογίζετο, ἐφρόνησεν ἂν ἅπερ συν- d
ησθημένος ἑαυτοῦ, καὶ εἶπεν ἂν οὐ πρὸς τὰς ἀτόμους, ἀλλὰ
πρὸς τὸν πατέρα καὶ ποιητὴν ἑαυτοῦ· Αἱ χεῖρές σου ἔπλασάν
με, καὶ ἐποίησάν με· καὶ προσεπεξεργάσατο ἂν ὡς ἐκεῖνος τὸν
θαυμάσιον τῆς ποιήσεως ἑαυτοῦ τρόπον, Ἢ οὐχ ὥσπερ γάλα
με ἤμελξας, ἐτύρευσας δέ με ἴσα τυρῷ; Δέρμα καὶ κρέας με
ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἔνειρας; Ζωὴν δὲ καὶ ἔλεος
ἔθου παρ' ἐμοί, ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα.
2 Πόσας γὰρ ἀτόμους ὁ Ἐπικούρου πατὴρ καὶ ποταπὰς ἐξ
ἑαυτοῦ προέχεεν, ὅτ' ἀπεσπέρμαινεν Ἐπίκουρον; Καὶ πῶς p. 779
εἰς τὴν μητρῴαν αὐτοῦ καταβληθεῖσαι γαστέρα συνεπάγη-
σαν, ἐσχηματίσθησαν, ἐμορφώθησαν, ἐκινήθησαν, ηὐξύνθησαν;
Καὶ πολλὰς ἡ βραχεῖα ῥανὶς τὰς Ἐπικούρου ἀτόμους προσ-
καλεσαμένη τὰς μὲν ἐπημφίεσεν αὐτῶν δέρμα καὶ σάρκα γε-
νομένας, ταῖς δὲ ὀστωθείσαις ἠνώρθωται, ταῖς δὲ συνεδέθη
3 νευρορραφουμένη; Τά τε ἄλλα πολλὰ μέλη, καὶ σπλάγχνα,
καὶ ἔγκατα, καὶ αἰσθητήρια, τὰ μὲν ἔνδοθεν τὰ δὲ θύραθεν

d. ὥσπερ] ἅπερ B.C.D.F.G. ὅπερ I. Tum ὁ συνησθ. B.D. 2. καὶ εἶπεν —προσκαλεσαμένη om. B. εἶπεν ἂν Routhius e ms. et sic F.G. 4. ἔπλασαν—ἐποίησαν] ἐποίησαν—ἔπλασαν C.F.G. 5. ἂν] ὡς E. ἐκεῖνος] ὡς ἐκεῖνος D.F.G.I. 6. τῷ θαυμασίον I. αὐτοῦ F.G. 7. ἢ οὐχ] ἢ om. E.I. ἐτύρωσας] ἐτύρευσας C.D.F.G. 12. ἑαυτοῦ] αὐτοῦ D.
p. 779. αὐτοῦ] ἑαυτοῦ C.D. κατακλεισθεῖσαι] καταβληθεῖσαι C.D. F.G. κατακλεισθεὶς E.I. 6. τὰς] καὶ τὰς B. Tum ἐπαμφίεσεν αὐτὸν B.C.F.G. ἐπεμφίασεν αὐτὸν D. ἐπημφίεσαν E. 7. ταῖς δὲ] τὰς δὲ C. F.G. ἠνώρθωται] ἀνώρθωται B.I. 8. νευρορραφουμένη] νευρορραφούμενος B.C.E.F.G.I.

unde sit, cum animo reputaret suo, is profecto velut in suimet sensum adductus, saperet illico, atque hac voce, non jam atomos, sed patrem ipse
Ps. 118, 73. creatoremque suum appellaret, *Manus tuæ formaverunt me, et fecerunt me.*
Et quemadmodum alter ille, admirabilem molitionis suæ rationem per-
Job. 10, 10. texeret, *Nonne sicut lac mulsisti me, et sicut caseum me coagulasti? Pelle et carne vestisti me, ossibus et nervis compegisti me. Vitam et misericordiam*
2 *tribuisti mihi, et visitatio tua custodivit spiritum meum.* Quot enim, amabo, et cujusmodi atomos Epicuri pater ex se profudit, cum Epicurum proseminaret? Quomodo in matris ejus alvum inclusæ coaluerunt, figuram ac formam acceperunt, commotæ sunt, auctæ sunt? Quomodo ros ille perexiguus, plurimas Epicuri atomos cum advocasset, alias in cutem carnemque mutatas convestivit, aliis in ossa conversis erectior ac solidior constitit,
3 aliis nervorum complexu illigatus est? Quo denique modo vim tantam membrorum aliorum, viscerum, intestinorum, sensus instrumentorum,

ἐφήρμοσε, δι' ὧν ἐζωογονήθη τὸ σῶμα; Ὧν οὐδὲν ἀργὸν b ΔΙΟΝΥΣΙΟΥ
οὐδὲ ἀχρεῖον προσετέθη, ἐπεὶ μηδὲ τὰ φαυλότατα, μήτε
τρίχες, μήτε ὄνυχες, πάντα δέ, τὰ μὲν πρὸς τὸ τῆς συστά-
σεως ὄφελος, τὰ δὲ πρὸς τὸ κάλλος τῆς ὄψεως συντελεῖ.
4 Οὐ γὰρ τῆς χρείας μόνης, ἀλλὰ καὶ τῆς ὥρας ἐπιμελὴς ἡ
πρόνοια. Ἔρυμα μὲν γὰρ καὶ σκέπασμα πᾶσι τῆς κεφαλῆς
ἡ κόμη, εὐπρέπεια δὲ ὁ πώγων τῷ φιλοσόφῳ. Τήν τε τοῦ
ὅλου σώματος τοῦ ἀνθρωπείου φύσιν ἐκ τῶν μερῶν ἀναγκαίων
πάντων ἥρμοσε, καὶ τοῖς μέλεσι πᾶσι τήν τε πρὸς ἄλληλα c
κοινωνίαν περιέβαλε, καὶ τὴν παρὰ τοῦ ὅλου χορηγίαν ἐπε-
5 μέτρησεν. Ὧν τὰ μὲν ὁλοσχερῆ καὶ τοῖς ἰδιώταις ἐκ τῆς
πείρας ἣν ἔχει δύναμιν πρόδηλα· κεφαλῆς ἡγεμονία, καὶ περὶ
τὸν ἐγκέφαλον, ὥσπερ ἄρχοντα ἐν ἀκροπόλει, τῶν αἰσθή-
σεων ἡ δορυφορία· προσιοῦσαι μὲν ὄψεις, ἀναγγέλλουσαι δὲ
ἀκοαί, ἐδωδὴ ὥσπερ φορολογοῦσα, ὄσφρησις καθάπερ ἀνι-
χνεύουσα καὶ διερευνωμένη, καὶ ἡ ἁφὴ πᾶν διατάττουσα τὸ d
6 ὑπήκοον. (Κεφαλαιωδῶς γὰρ νῦν ὀλίγα τῶν τῆς πανσόφου

b. οὐδὲν] οὐκ D. 3. τρίχες] τρίχας C. et mox ὄνυχας. 5. τὸ κάλλος] τὸ om. C.F. 7. μὲν γὰρ] γὰρ om. C.F.G. 8. πάσης] πᾶσι B.C.D.F.G. 10. τήν τε τοῦ ὅλου σώματος τοῦ] τό τε ὅλον ἡμῶν σῶμα ἐκ τῶν B. τοῦ sec. om. C.F.G. c. τήν τε] τε om. B. 4. ὁλοσχερῆ et mox δύναμιν om. B. 8. προσιοῦσαι] ἴσ. προϊοῦσαι Vigeri margo. 9. ἀναγγέλλουσαι] ἀνατέλλουσαι B. ἐδωδὴ—διερευνωμένη om. B. ἐδωδὴ δ' G. Routhii ms. 11. ἁφὴ] ἡ ἁ. C.D.F.G. Tum πάντα B. pro πᾶν. πᾶν διατάττουσα] διαλλάττουσα D. d 2. τῶν τῆς] τῶν om. I.

intrinsecus extrinsecusve conflavit, quæ vivum ac spirans corpus efficeret?
Nam ex illis quidem omnibus otiosum nihil est, nihil inutile, non pili, non
ungues, non cætera quæ abjectissima videri possint: omnia vel ad consti-
4 tuendam ejus integritatem, vel ad speciem dignitatemque conducunt. Nec
enim usui duntaxat uni providentia, sed etiam pulcritudini ac formæ pro-
spicit. Itaque totius capitis propugnaculum quoddam ac tegumentum
coma est: barba philosophi decus et ornamentum. Illa igitur integri
corporis humani naturam ex partibus necessariis omnibus coagmentavit,
membrisque omnibus cum mutuam inter se communionem indidit, tum ex
5 totius etiam opibus prolixe admodum ac liberaliter admensa est. Et
membra quidem potissima, quam vim et facultatem habeant, usu et expe-
rientia ipsi etiam idiotæ norunt: capitis principatus, circa cerebrum tan-
quam imperatorem, sensuum in acropoli excubiæ atque præsidia, progredi-
entes oculi, aures nuncios perferentes, gustatus velut commeatum anno-
namque convehens, olfactus indagans quodammodo atque vestigans, tactus
6 subdita omnia digerens et ordinans. (Nunc enim ex sapientissimæ provi-

ΔΙΟΝΥΣΙΟΥ

προνοίας ἔργων ἐπιδραμούμεθα, μετ' ὀλίγον ἀκριβέστερον
τοῦ Θεοῦ διδόντος ἐπεξεργασόμενοι, ὅταν πρὸς τὸν δοκοῦντα
7 λογιώτερον ἀποτεινώμεθα.) Χειρῶν διακονία, δι' ὧν ἐργα-
σίαι τε παντοῖαι καὶ πολυμήχανοι τελοῦνται τέχναι ταῖς
κατὰ μέρος δυνάμεσιν εἰς μίαν συνεργίαν διηρθρωμένων, ὤμων
τε ἀχθοφορίαι, καὶ κατοχαὶ δακτύλων, ἀγκώνων τε καμπαί,
πρός τε τὸ σῶμα εἴσω στρεφόμεναι καὶ πρὸς τὸ ἐκτὸς ἀπο-
νεύουσαι, ἵνα ἐφέλκεσθαί τε καὶ ἀπωθεῖσθαι δύνωνται· ποδῶν
[456] ὑπηρεσία, δι' ὧν πᾶσα ἡμῖν ὑποπέπτωκεν ἡ περίγειος κτίσις,
βάσιμος ἡ γῆ, πλωτὴ ἡ θάλασσα, περάσιμοι οἱ ποταμοί, καὶ p. 780
πάντων πρὸς πάντα ἐπιμιξία· γαστὴρ ταμεῖον τροφῶν, πᾶσι
τοῖς συντεταγμένοις μέλεσιν ἐξ ἑαυτῆς ἐν μέτρῳ τὸ σιτηρέ-
σιον διανέμουσα, καὶ τὸ περιττεῦον ἐκτιθεμένη· καὶ τὰ ἄλλα
δι' ὅσων ἐμφανῶς ἡ διοίκησις τῆς ἀνθρωπείου μεμηχάνηταί
διαμονῆς, ὧν ὁμοίως τοῖς ἄφροσιν ἔχοντες οἱ σοφοὶ τὴν
8 χρῆσιν, οὐκ ἴσχουσι τὴν γνῶσιν. Οἱ μὲν γὰρ εἰς ἣν ἂν
οἰηθῶσιν ἀθεότητα τὴν ἐπιστημονικωτάτην περὶ πάντων καὶ

d 3. μετ' ὀλίγον—ἐκτιθεμένη om. B. 12. ἀπόνευσαι F. ult. κτίσις] κίνησις D.

p. 780. 2. πάντα] πάντας D.F.G. τὰ πάντα ἐπιμιξίαι I. 3. ταμεῖον] ταμεῖα C.D.F.G. συντεταγμένοις] συντετμημένοις D. 7. διανομῆς] γρ. διαμονῆς Vigeri margo. sic G.I. 9. κρίσιν] χρῆσιν B.C.D.E.F.G. κρῆσιν I. ἴσχουσι] ἰσχύουσι B. οὐχ ὁμοίως ἴσχουσι Routhius. 10. γὰρ εἰς ἣν—τῶν ἀτόμων om. B. Mox ἴσ. θεότητα Vigeri margo.

dentiæ operibus summatim pauca tantum aliqua percurrimus, iidem paulo
post, cum adversus illum, cujus major est eruditionis opinio, disputabimus,
7 uberius Deo duce, ac plenius omnia persequemur.) Manuum ergo dein-
ceps ministerium, quæ omnis generis functiones obeunt, artesque moliuntur
singularis ingenii, propriis quibusque facultatibus ad unam functionum
societatem instructæ: humeri gestandis oneribus idonei, digitorum pre-
hensiones, flexiones cubitorum, quæ uti res vel attrahere possint vel depel-
lere, intrinsecus extrinsecusque versantur: pedum obsequium, per quos
creata circa terram omnia nobis obsecundant, quibus terræ peragrantur,
navigantur maria, fluvii trajiciuntur, omnium commercia cum omnibus
ineuntur. Venter ciborum ærarium, membris omnibus suo quibusque
loco et ordine collocatis, justam per sese annonam distribuens, et quicquid
superfluum est, ejiciens. Ac cætera, quorum vi humanæ firmitatis et con-
servationis ratio continetur. Horum usus in stultis æque sapientibusque
8 similis est, cognitio dissimilis. Alii quippe quam animo divinitatem infor-
marint, ad eam, ut quæ rerum omnium scientissima sit, atque in se ipsos

τὴν εἰς ἑαυτοὺς εὐεργετικωτάτην ἀναφέρουσιν οἰκονομίαν, b ΔΙΟΝΥΣΙΟΥ
κρείττονος καὶ θείας ὄντως φρονήσεώς τε καὶ δυνάμεως ἔργον
αὐτὴν εἶναι πιστούμενοι, οἱ δὲ συντυχίᾳ καὶ συμπτώσει τῶν
ἀτόμων ἀσκόπως τὴν θαυμασιωτάτην καλλιεργίαν ἀνατιθέασι.
9 Τὴν δὲ ἐνεργεστέραν ἔτι τούτων ἐπίσκεψιν καὶ τὴν τῶν
ἐνδοσθίων διάθεσιν ἰατροὶ μὲν ἀκριβῶς διερευνησάμενοι καὶ
καταπλαγέντες ἐξεθείασαν τὴν φύσιν, ἡμεῖς δὲ ὕστερον ὡς
10 ἂν οἷοί τε γενώμεθα κἂν ἐπιπολῆς ἀναθεωρήσωμεν. Καθόλου
δὲ καὶ συλλήβδην ὅλον τοῦτο τὸ σκῆνος τίς τοιοῦτον ἐσκηνο- c
ποίησεν, ὑψηλὸν, ὄρθιον, εὔρυθμον, εὐαίσθητον, εὐκίνητον,
εὐεργὸν, παντουργόν; Ἡ τῶν ἀτόμων ἄλογος, φασὶ, πληθύς.
Ἀλλ' οὐδ' ἂν εἰκόνα πηλίνην ἐκεῖναι συνελθοῦσαι πλάσαιεν,
οὐδ' ἀνδριάντα λίθινον ξέσαιεν, οὐδ' ἂν εἴδωλον ἀργυροῦν ἢ
11 χρυσοῦν χωνεύσασαι προαγάγοιεν· ἀλλὰ τέχναι καὶ χει-
ρουργίαι τούτων ὑπ' ἀνθρώπων εὕρηνται σωματουργοί. Ὧν
δὲ ἀπεικασίαι καὶ σκιαγραφίαι δίχα σοφίας οὐκ ἂν γένοιντο,
πῶς τὰ ἀληθῆ καὶ πρωτότυπα τούτων αὐτομάτως συμβέ- d

b. ἑαυτοὺς] αὐτοὺς D.F.G. 2. καὶ θείας om. F.G. 3. ἔργων E. 7. ἐνδοσθίων] ἐντοσθίων D. 11. ἐπιπολῆς] ἐπὶ πολλῆς C.E.F.G. Tum ἀναθεωρήσωμεν C.D.E. ἀναθεωρήσομεν edd. c. δὲ καὶ] τε καὶ B.C.D.F.G. 2. ὄρθιον] ὀρθὸν D.F.G. ὄρθριον I. 3. εὐκίνητον om. C. 8. χρυσοῦν] χρύσειον B. προσαγ.] προαγ. B.C.F.G. 10. σωματουργῶν] σωματουργοὶ B.C.D.E.F.G.I. Vigeri marg. 11. ὧν δὲ ἀπεικ.—ἐνέπνευσεν om. B. σκιογραφίαι F.G.I. 12. γένοιτο] γένοιντο C.

beneficentissima, totam referunt hujus œconomiæ rationem, quod eam superioris cujusdam prorsusque divinæ cum sapientiæ tum potestatis opus existiment: alii contra insulse admodum, fortunæ et casui administrationem
9 summa dignissimam admiratione defendunt. At vero efficaciorem adhuc rerum istarum considerationem, et partium interiorum rationem, medici quidem altius diligentiusque rimati, ac vehementius admirati, divinitatem naturæ tribuerunt: nos eam postea, jejune fortassis et exiliter, at pro fa-
10 cultate nostra persequemur. Nunc ut universe hoc summatimque dicamus, Ecquis obsecro, totum hoc tabernaculum fabricatus est, sublime, altum, erectum, elegans, ad sensum, motum, actionem et omne quidem actionis genus tam egregie comparatum? Ista videlicet atomorum multitudo rationis expers. At illæ, ut maxime conveniant, ne luteam quidem imaginem formare, aut lapideum simulacrum perpolire, aut argenteum vel
11 aureum idolum conflare possint: quorum omnium proprias manuum artes, fingendis aptas corporibus, hominum excogitavit industria. Quorum igitur sine sapientia vel adumbrari species informarique non possit, horum vera ipsa exemplaria, quî tandem existere per sese temereque potuerunt?

ΔΙΟΝΥΣΙΟΥ

12 βηκε; Ψυχὴ δὲ, καὶ νοῦς καὶ λόγος πόθεν ἐγγέγονε τῷ
φιλοσόφῳ; Ἦ παρὰ τῶν ἀψύχων καὶ ἀνοήτων καὶ ἀλογί-
στων ἀτόμων ταῦτ᾽ ἠρανίσατο, κἀκείνων αὐτῷ τι ἑκάστη
13 νόημα καὶ δόγμα ἐνέπνευσεν; Καὶ ὥσπερ ὁ Ἡσιόδου μῦθος
τὴν Πανδώραν φησὶν ὑπὸ τῶν θεῶν, οὕτως ἡ σοφία τἀνδρὸς
ὑπὸ τῶν ἀτόμων συνετελέσθη; Καὶ ποίησιν δὲ πᾶσαν, καὶ
πᾶσαν μουσικὴν, ἀστρονομίαν τε, καὶ γεωμετρίαν, καὶ τὰς
ἄλλας ἐπιστήμας, οὐκέτι θεῶν εὑρήματα καὶ παιδεύματα
φήσουσιν Ἕλληνες εἶναι, μόναι δὲ γεγόνασιν ἔμπειροι καὶ
14 σοφαὶ πάντων αἱ ἄτομοι μοῦσαι. Ἡ γὰρ ἐκ τῶν ἀτόμων p. 781
Ἐπικούρου θεογονία τῶν μὲν ἀπείρων κόσμων ἐξόριός ἐστιν,
εἰς δὲ τὴν ἄπειρον ἀκοσμίαν πεφυγάδευται.

27 Ἐργάζεσθαι δέ γε καὶ διοικεῖν καὶ εὐεργετεῖν τε καὶ προ-
κήδεσθαι καὶ τὰ τοιαῦτα τοῖς μὲν ἀργοῖς καὶ ἄφροσι καὶ b
ἀσθενέσι καὶ κακούργοις ἴσως ἐπαχθῆ, οἷς ἐγκατέλεξεν ἑαυτὸν
Ἐπίκουρος, τοιαῦτα φρονήσας περὶ τῶν θεῶν· τοῖς δὲ σπου-
δαίοις καὶ δυνατοῖς καὶ συνετοῖς καὶ σώφροσιν, οἵους εἶναι

d 3. ἢ παρὰ] ἢ om. C.E.F.G.I. περὶ D. 5. ἠρανίσατο] ἠρανίσαντο D. 6. ὁ Ἡσιόδου] ὁ om. B.C.F.G. Supra ἐνεπένευσε F.G. 10. πᾶσαν om. B. Tum μάθησιν C.F.G. pro μουσικήν. 12. εὑρήματα] εὑρέματα B.I. Mox καὶ παιδεύματα om. E.I. 13. μόνοι E. ult. ἐμπειρικαὶ] ἔμπειροι B.C.D.F.G. ἐμπειρικοὶ καὶ σοφοί E.I.

p. 781. ἡ γὰρ] γὰρ om. I. et mox ἐπικούροι. 2. ἔξορος] ἐξόβιος B. ἐξόριος C.D.E.F.G.I. 8. δέ γε] δὲ om. B.C.F.G. δέ τε I. b. καὶ τὰ] καὶ om. C.F.G. καὶ ἀσθενέσι om. C.F.G. 3. ἐγκατείλεξεν D. 4. καὶ δυνατοῖς om. B.C. sed addunt C.F.G. post συνετοῖς.

12 Jam animum ipsum, mentem, atque rationem philosophus unde habet?
Eane ab inanimis, et mentis ac rationis expertibus atomis emendicavit,
13 quæ sibi aliquam singulæ notionem dogmaque proprium infuderint? et
quemadmodum Pandoram a diis Hesiodus fabulatur, sic ab atomis absoluta hominis sapientia fuerit? Ita poësin deinceps omnem, omnemque musicam, astronomiam, geometriam, cæterasque doctrinas, deorum inventa Græci atque instituta vocare desinant: solæ omnium peritæ, ac sapientes
14 atomi, musæ celebrentur. Nam illa quidem ex atomis Epicuri theogonia,
ex infinitis etiam mundis exulavit, in infinitam perturbationis vastitatem ejecta.

27 Moliri aliquid, administrare, benefacere, providere, aliaque similia, inertibus quidem ac stultis, debilibus ac nequam, molesta forte sint, quorum se numero, dum talia de diis sentit, Epicurus adjungit. At vero studiosis, valentibus, industriis, atque solertibus, cujusmodi philosophos (quanto

χρὴ τοὺς φιλοσόφους, (πόσῳ γε μᾶλλον τοὺς θεούς;) οὐχ ὅπως ἀηδῆ ταῦτα καὶ προσάντη, ἀλλὰ καὶ τερπνότατα, καὶ πάντων μᾶλλον ἀσπαστότατα, οἷς τὸ ἀμελὲς καὶ τὸ μέλλειν c τι πράττειν τῶν χρηστῶν ὄνειδος, ὡς ἐκείνους τε ποιητὴς νουθετεῖ συμβουλεύων, ΔΙΟΝΥΣΙΟΥ

Μὴ δ' ἀναβάλλεσθαι εἴς τ' αὔριον·

καὶ προσεπαπειλῶν,

Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτησι παλαίει·

2 ἡμᾶς τε σεμνότερον παιδεύει προφήτης, θεοπρεπῆ μὲν ὄντως ἔργα τὰ κατ' ἀρετὴν ὑπάρχειν λέγων, τὸν δὲ ὀλιγωροῦντα τούτων ἐξάγιστον· Ἐπικατάρατος γάρ, φησίν, ὁ ποιῶν τὰ ἔργα
3 Κυρίου ἀμελῶς. Εἶτα καὶ τοῖς μὲν ἀμαθέσιν ἡστινοσοῦν τέχνης, καὶ ἀτελεστέροις διὰ τὸ τῆς πείρας ἄηθες καὶ τὸ τῶν d ἔργων ἀτριβές, κάματος ἐγγίνεται ταῖς ἐπιχειρήσεσιν· οἱ δὲ
[457] προκόπτοντες, καὶ μᾶλλον ἔτι οἱ τέλειοι, ῥᾳδίως ἃ μετίασι κατορθοῦντες γάννυνται, καὶ μᾶλλον ἂν ἕλοιντο τὰ εἰωθότα πράττοντες ἀνύειν καὶ τελεσιουργεῖν ἢ πάντα σφίσιν ὑπάρξαι
4 τὰ ἐν ἀνθρώποις ἀγαθά. Δημόκριτος γοῦν αὐτός, ὥς φασιν,

b 7. ἀηδῆ] ἂν δὴ C.F.G. 9. ἀσπαστότατα] ἀσπαστότατον B.
c 2. ἐκείνους] ἐκείνου E.I. νουθετεῖν F. 3. εἰς] εἴς τ' D. ἔς τ' F.G. ἐς τ' B. qui om. Αἰεὶ δ'—ἀποκηρύττων βίου. 5. ἀμβολιοεργὸς I. ἄτησι] ἄκτησι D. 6. τε] ἴσ. δὲ Vigeri marg. 8. λέγων] λέγειν E.I. qui mox τούτῳ. 9. γὰρ ὁ] γάρ φησιν ὁ C.D.F.G. d. ἀληθὲς] ἄηθες C.D.G. Vigeri marg. 3. προσκόπτοντες F. ἔτι] αἴτιοι I. 5. ἕλοιντο] ἕλοιντο τὸ Routhii ms.

magis deos?) esse oporteat; non modo non injucunda hæc atque aspera, verum etiam jucundissima sunt, omniumque suavissima: quibus negligentia rerumque bonarum procrastinatio dedecori vertitur; ad quos illud commonentis poëtæ consilium pertinet,

Cras ne expectato:

cui mox comminationem hanc adjungit,

Cunctator damnis semper luctatur acerbis.

2 At nos gravius instituit propheta, dum et actiones cum virtute conjunctas deo vere dignas esse pronuntiat, et nefarium illum, a quo negligantur, ap-
3 pellat. *Maledictus enim, qui facit opera Domini negligenter.* Deinde ut Jer. 48. 10.
in quavis arte rudes et inchoati, propter experientiæ novitatem, atque operum insolentiam, dum ad rem sese primum accingunt, molestiam patiuntur: ita qui aliquid profecere, multoque magis qui perfecti jam sunt, ii quæ susceperint dum facile feliciterque conficiunt, exultant animis, ac solennium operum absolutionem, bonis hominum omnibus anteponunt.
4 Et vero Democritus ipse, caussam unam aliquam, ut ferunt, invenire,

ΔΙΟΝΥΣΙΟΥ

ἔλεγε βούλεσθαι μᾶλλον μίαν εὑρεῖν αἰτιολογίαν ἢ τὴν
Περσῶν οἱ βασιλείαν γενέσθαι, καὶ ταῦτα μάτην καὶ ἀναι-
τίως αἰτιολογῶν, ὡς ἂν ἀπὸ κενῆς ἀρχῆς καὶ ὑποθέσεως πλα-
νωμένης ὁρμώμενος, καὶ τὴν ῥίζαν καὶ τὴν κοινὴν ἀνάγκην τῆς
τῶν ὄντων φύσεως οὐχ ὁρῶν, σοφίαν δὲ μεγίστην ἡγούμενος
τὴν τῶν ἀσόφως καὶ ἠλιθίως συμβαινόντων κατανόησιν, καὶ p. 782
τὴν τύχην τῶν μὲν καθόλου καὶ τῶν θείων δέσποιναν ἐφιστὰς
καὶ βασιλίδα, καὶ πάντα γενέσθαι κατ' αὐτὴν ἀποφαινόμενος,
τοῦ δὲ τῶν ἀνθρώπων αὐτὴν ἀποκηρύττων βίου, καὶ τοὺς
πρεσβεύοντας αὐτὴν ἐλέγχων ἀγνώμονας. Τῶν γοῦν Ὑποθη-
5 κῶν ἀρχόμενος λέγει· Ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο,
πρόφασιν ἰδίης ἀνοίης. Φύσει γὰρ γνώμη τύχῃ μάχεται· καὶ
τὴν ἐχθίστην τῇ φρονήσει ταύτην αὐτὴν ἔφασαν κρατεῖν· μᾶλλον
δὲ καὶ ταύτην ἄρδην ἀναιροῦντες, καὶ ἀφανίζοντες, ἐκείνην ἀντι- b
καθιστᾶσιν αὐτῆς. Οὐ γὰρ εὐτυχῆ τὴν φρόνησιν, ἀλλ' ἐμφρο-
6 νεστάτην ὑμνοῦσι τὴν τύχην. Οἱ μὲν οὖν τῶν βιωφελῶν ἔργων
ἐπιστάται ταῖς πρὸς τὸ ὁμόφυλον ἐπικουρίαις ἀγάλλονται,

d 9. αἰτιολογίαν] ἀπολογίαν I. 10. τὴν] τῶν F.G. τὴν τῶν Routhius. 11. ὡς ἂν] αν om. C.E.F.I. Supra μάθην κἀνεκ' ἀναιτίως F. ult. ἀσόφως] ἀσόφων C.

p. 782. 2. ἐφιστὰς] ἐπιστὰς E. 8. ἰδίης] ἰδίοις E. Mox ἀνοίας I. 9. γνώμη τύχῃ] τυχ. γν. B. τύχῃ om. C. γνώμῃ τύχῃ Routh. b 2. εὐτυχῆ] εὐτυχεῖ B. 3. ἐμφρονεστάτην] ἐμφανεστάτην C.F.G. 4. οἱ μὲν οὖν—πολιτευόμενοι om. B.

quam sibi Persarum imperium obvenire maluisset: atque id homo qui
caussas frustra caussisque sublatis inquireret, cum inane principium, ac
plenam erroris hypothesim sequutus, atque in radice communique naturæ
rerum necessitate cæcutiens, eorum quæ imprudenter stolideque contin-
gerent notitiam, summæ sapientiæ genus putaret, fortunamque rerum uni-
versalium atque divinarum dominam reginamque constituens, cæteraque
omnia ejus arbitrio fieri pronuntians, eandem tamen ab humanæ vitæ
commercio procul ablegaret, quique illam colerent, insulsos esse convin-
ceret. Sane quidem ipsomet Institutionum suarum exordio, sic loquitur:
5 Homines, inquit, dum stultitiæ suæ velum quærerent, vanum fortunæ
simulacrum finxerunt: (pugnat enim suapte natura cum fortuna consi-
lium,) inimicissimamque prudentiæ dominari voluerunt; tametsi potius
hac etiam exterminata funditusque sublata, ejus in locum alteram illam
sufficiunt; nec enim fortunatam isti prudentiam, sed prudentissimam
6 canunt celebrantque fortunam. Porro utilium vitæ operum moderatores
omnes, navanda suis opera maxime delectantur, laudemque simul et

ΔΙΟΝΥΣΙΟΥ

ἐπαίνου τε ὀρέγονται καὶ κλέους ἐφ' οἷς αὐτῶν προκάμνουσιν οἱ μὲν τρέφοντες, οἱ δὲ κυβερνῶντες, οἱ δ' ἰώμενοι, οἱ δὲ πολιτευόμενοι· οἱ δέ γε φιλόσοφοι καὶ σφόδρα παιδεύειν
7 ἐπιχειροῦντες ἀνθρώπους φρυάττονται. Ἦ τολμήσουσιν c
Ἐπίκουρος ἢ Δημόκριτος εἰπεῖν ὡς ἀσχάλλουσι φιλοσοφοῦντες; Ἀλλ' οὐδὲ θυμηδίαν ταύτης ἂν ἑτέραν προθεῖντο. Καὶ γὰρ εἰ τὸ ἀγαθὸν ἡδονὴν εἶναι φρονοῦσιν, ἀλλ' αἰδεσθήσονταί
8 γε μὴ λέγειν ἥδιον αὐτοῖς εἶναι τὸ φιλοσοφεῖν. Τοὺς δὲ θεοὺς περὶ ὧν οἱ μὲν ποιηταὶ παρ' αὐτοῖς ᾄδουσι δοτῆρας ἐάων, οὗτοι δὲ οἱ φιλόσοφοι μετὰ τωθείας εὐφημοῦσι, θεοὶ πάντων ἀγαθῶν ἀδώρητοι τε καὶ ἀμέτοχοι· καὶ τίνι τρόπῳ τεκμηριοῦνται θεοὺς εἶναι, μήτε παρόντας καὶ πράττοντάς τι
ὁρῶντες, (ὡς οἱ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας d
θαυμάσαντες διὰ τὸ θέειν ἔφασαν κεκλῆσθαι θεούς,) μήτε τινὰ δημιουργίαν αὐτοῖς ἢ κατασκευὴν προσνέμοντες, ἵν' ἐκ

b 6. ἐπαίνου τε] ἐπαινοῦνται E.I. 10. οἱ δέ γε φ.] οἱ οὖν φ. B. qui mox om. παιδεύειν. c. ἢ τολμήσουσιν] ἢ τολμησάτωσαν C.F.G. ἢ τολμήτωσαν D. Hinc usque ad φιλοσοφοῦντες om. B. 3. ταύτης ἂν om. D. 4. προθεῖντο] προσθεῖντο C.F.G. πρόσθοιντο I. 5. φρονοῦσιν] φιλοσοφοῦσιν B. 6. ἡδὺ ὂν] ἥδιον B.C.D.F.G. ἴδιον E.I. Tum τι τοῦ φιλ. B.C.F.G. αὐτῆς εἶναί τι τοῦ φ. D. 7. περὶ ὧν οἱ —θαυμάσαντες om. B. 8. δοτῆρας] δοτῆρες C.F.G. 9. τωθείας] τωθίας E. 10. ἀδώρητοι] ἀδώρητοί τε D.F.G. 12. ὡς οἱ τὸν] ὡς ὅσας τὸν C.F.G. ὡς ὅσοι τὸν D. d 2. διὰ] φασι διὰ B. qui infra om. ἔφασαν. θέειν] θεῖν I. 3. δημιουργίας F. 4. ἵν' ἐκ τοῦ—σκιάς om. B.

gloriam cum laboribus suis pro communi salute susceptis compensari volunt: alii quidem alendo, regendo alii, alii medendo, alii rempublicam gerendo: ipsique adeo philosophi suo illo instituendorum hominum conatu
7 ac studio majorem in modum efferuntur. Audebuntne vero Epicurus et Democritus dicere, molestum sibi atque invisum esse philosophandi munus? Imo non aliam profecto huic animi voluptatem anteponant: etsi enim bonum voluptatem omnem esse statuunt, hoc tamen dicere vere-
8 buntur, philosophari sibi non esse vulgari voluptate jucundius. Deos porro, quos poëtæ quidem *bonorum auctores* prædicant, philosophi vero isti, nullius omnino boni vel auctores esse, vel participes ridendo jactant; deos, inquam, illos, quibus tandem rationibus ut deos esse putent adducuntur; quos nec præsentes videant, nec rerum quicquam molientes: (quod sequuti saltem videntur, qui solem, lunam, ac stellas admirati, θεοὺς hoc est deos, διὰ τὸ θέειν, id est, a currendo vocatos esse dixerunt) nec ullo prorsus in operum aut functionum genere versari credant, ut eos ἐκ τοῦ

ΔΙΟΝΥΣΙΟΥ

τοῦ θεῖναι, τουτ᾽ ἔστι ποιῆσαι, θεοποιήσωσιν αὐτούς· (τούτου
γὰρ ἕνεκα πρὸς ἀλήθειαν ὁ τῶν ἁπάντων ποιητὴς καὶ δημι-
ουργὸς μόνος ἐστὶ Θεός·) μήτε διοίκησιν ἢ κρίσιν ἢ χάριν
αὐτῶν τινὰ πρὸς ἀνθρώπους ἐκτιθέμενοι, ἵνα φόβον ἢ τιμὴν
ὀφλήσαντες προσκυνήσωμεν αὐτοῖς;
9 Ἦ τοῦ κόσμου προκύψας Ἐπίκουρος καὶ τὸν οὐράνιον
ὑπερβὰς περίβολον, ἢ διά τινων κρυφίων ἃς μόνος οἶδεν
ἐξελθὼν πυλῶν, οὓς ἐν τῷ κενῷ κατεῖδε θεοὺς, καὶ τὴν πολλὴν p. 783
αὐτῶν ἐμακάρισε τρυφήν· κἀκεῖθεν ἐπιθυμητὴς γενόμενος τῆς
ἡδονῆς καὶ τῆς ἐν τῷ κενῷ ζηλωτὴς διαίτης, οὕτω πάντας
ἐπὶ τὴν τοῦ μακαρισμοῦ τούτου μετουσίαν ἐξομοιωθησομένους
ἐκείνοις τοῖς θεοῖς παρακαλεῖ, συμπόσιον αὐτοῖς μακάριον,
οὐχ ὅπερ οἱ ποιηταὶ τὸν οὐρανὸν ἢ τὸν Ὄλυμπον, ἀλλὰ τὸ
κενὸν συγκροτῶν, ἔκ τε τῶν ἀτόμων τὴν ἀμβροσίαν αὐτοῖς
10 παρατιθεὶς, καὶ προπίνων αὐτοῖς ἐξ ἐκείνων τὸ νέκταρ; Καὶ b
δὴ καὶ κατ᾽ ἐκείνων τῶν μηδὲν πρὸς ἡμᾶς ὅρκους τε καὶ
ὁρκισμοὺς μυρίους τοῖς ἑαυτοῦ βιβλίοις ἐγγράφει, ὀμνύς τε συ-
νεχῶς "μὰ Δία" καὶ "νὴ Δία," ἐξορκῶν τε τοὺς ἐντυγχάνοντας

d 6. τούτου] τούτοις C. Mox ἕνεκεν I. ult. εἶδεν] οἶδεν D.F.G. οὓς] ἴσ. τοὺς Vigeri margo.
p. 783. 4. διαίτης om. F. 5. τοῦ] τὴν τοῦ ms. Routhii, F.G. ἐξομοιωθησομένους] ἐξωθησομένους D. 7. αὐτοῖς] αὐτοὶ I. 9. ἀτόμων] γρ. ἀτμῶν Vigeri marg. b. καὶ δὴ] καὶ δὴ καὶ D.F.G. 2. ὅρκους] ὅρκου E.I.

θεῖναι, hoc est ab efficiendo θεοποιήσωσιν, deos efficiant: (propterea quippe
omnium effector atque molitor unus vere Deus est,) nullo denique vel
gubernationis, vel judicii, vel beneficii vinculo cum hominibus teneri velint,
ut cultum iis aliquem vel metu, vel honoris caussa debeamus?
9 Num Epicurus forte, cum ultra mundum hunc prospiciens, ac cœlestem
illum ambitum prætergressus, aut per occultum quoddam posticum, sibique
soli notum egressus, deos in vacuo degentes vidit, ac summam eorum
tantis in deliciis felicitatem admiratus, voluptatem inde concupiscit, atque
illam quæ in vacuo ducitur vitam æmulatus, omnes continuo tanquam
deorum illorum similes futuros, ejus ad felicitatis communionem ac socie-
tatem invitat. Quibus ille cœnaculum, non jam cœlum aut Olympum, ut
poëtæ, sed vacuum instruit, confectam ex atomis apponens ambrosiam,
10 indidemque haustum nectar propinans. Cæterum iis de rebus, quæ nihil
ad nos pertineant, mille juramenta sacrasque obtestationes suis passim
libris inferciens, "per Jovem" assidue vel negat aliquid vel affirmat, lectores-
que suos, et eos quibuscum ipse disputat, deorum obstringit religione, non

ΔΙΟΝΥΣΙΟΥ

καὶ πρὸς οὓς διαλέγοιτο "πρὸς τῶν θεῶν," οὔ τι που δεδιὼς αὐτὸς ἢ δεδιττόμενος ἐκείνους τὴν ἐπιορκίαν, κενὸν δὲ τοῦτο καὶ ψεῦδος καὶ ἀργὸν καὶ ἄσημον ἐπιφθεγγόμενος τοῖς
[458] λόγοις αὐτοῦ παράρτημα, οἷον εἰ καὶ χρέμπτοιτο καὶ πτύοι τό τε πρόσωπον στρέφοι καὶ τὴν χεῖρα κινοίη. Τοιαύτη c γὰρ ἀδιανόητος ἦν ἡ παρ' αὐτῷ καὶ ματαία ὑπόκρισις ἡ τῶν
11 θεῶν ὀνομασία. Ἀλλὰ τοῦτο μὲν πρόδηλον, ὅτι μετὰ τὸν Σωκράτους θάνατον κατεπτηχὼς Ἀθηναίους ὡς μὴ δοκοίη τοῦθ' ὅπερ ἦν ἄθεος εἶναι, κενὰς αὐτοῖς ἀνυποστάτων θεῶν τερατευσάμενος ἐζωγράφησε σκιάς. Οὔτε γὰρ εἰς οὐρανὸν ἀνέβλεψε νοεροῖς ὀφθαλμοῖς, ἵνα τῆς ἐναργοῦς ἄνωθεν φωνῆς ἀκούσῃ, ἧς ὁ προσεκτικὸς θεατὴς κατακούσας ἐμαρτύρησεν, ὅτι Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ d ἀναγγέλλει τὸ στερέωμα, οὔτε τῇ διανοίᾳ κατεῖδεν εἰς τοὔδαφος· ἔμαθε γὰρ ἄν, ὅτι τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ, καὶ ὅτι τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Καὶ μετὰ ταῦτα γάρ φησι, Κύριος εἰς τὴν γῆν ἐπέβλεψε, καὶ ἐνέπλησεν αὐτὴν τῶν

b 5. οὓς] οἷς I. 6. αὐτὸς] ἴσ. αὐτοὺς Vigeri marg. αὐτὸς ἢ om. D. 7. ἐκεῖνος] ἐκείνους C.D.F.G.I. 8. ψευδὲς] ψεῦδος C.D.F.G.I. 9. ἐπιφθεγγόμενος] ἐπιφθεγγόμενον C. παράρτημα] παράρτυμα C.F.G. c. στρέφοι] στρέφει (οι above) C.G. στρέφειοι F. 2. ἦν om. D.F.G. ἦν αὖ ἡ I. 5. Σωκρ.] τοῦ Σωκρ. D. 7. αὐτῶν F.G. 11. ἧς ὁ προσεκ.—ἐμαρτύρησεν ὅτι om. B. qui eorum loco habet λεγούσης. d 3. τῇ om. E.I. 4. ἐλέους om. B. 5. καὶ ὅτι—γῆ om. B. 6. καὶ μετὰ—πρόσωπον αὐτῆς om. B. 7. ταῦτα] τοῦτο D. κύριος om. I.

quod illos ipse vereatur, aut perjurium ullo modo reformidet; sed inanem hanc atque mendacem, vanamque ac nihil omnino significantem disputationum suarum appendicem effutiens, non aliter ac si excreet aut expuat, aut convertat vultum, aut manum commoveat. Ejusmodi quippe omnis ista deorum appellatio est, superflua quædam ac sensus expers studiique
11 simulatio. At illud quidem longe certissimum, cum Athenienses a Socratis interitu metueret, ne qualis erat atheos esse videretur, vacuas iis levicu-lorum deorum umbras novum circulatorem informasse. Nec enim profecto aut spiritalibus unquam oculis suspexit in cœlum, ut clarissimam illam superioribus e locis vocem exaudiret, qua intentus ille contemplator
afflatus cum esset, exclamavit, *Cœli enarrant gloriam Dei, et opera manuum* Ps. 18, 1.
ejus annuntiat firmamentum. Aut vero solum ipsum mente despexit; hoc Ps. 32, 5.
enim si fecisset, didicisset utique, quod *Misericordia Domini plena est terra,* Ps. 23, 1.
quodque, *Domini est terra, et plenitudo ejus.* Et illud, *Post hæc enim,* Eccl. 16, 29, 30.

ΔΙΟΝΥΣΙΟΥ

ἀγαθῶν αὐτοῦ. Ψυχὴν παντὸς ζῴου ἐκάλυψε τὸ πρόσωπον
12 αὐτῆς. Εἰ δὲ μὴ σφόδρα τυφλώττουσιν, ἐπισκεψάσθωσαν τὴν παμποίκιλον τῶν ζῴων πολυπλήθειαν, τὰ χερσαῖα, τὰ πτηνὰ, τὰ ἔνυδρα, καὶ κατανοησάτωσαν ὡς ἀληθὴς ἐπὶ τῇ πάντων κρίσει γέγονεν ἡ μαρτυρία τοῦ δεσπότου, Καὶ πάντα κατὰ τὴν αὐτοῦ πρόσταξιν πέφηνε καλά.

13 Ταῦτά μοι ἀπὸ πλείστων ἐξήνθισται τῶν πρὸς Ἐπί- p. 784 κουρον Διονυσίῳ τῷ καθ' ἡμᾶς ἐπισκόπῳ πεποιημένων. Μετελθεῖν δὲ καιρὸς τοὺς περὶ τὸν Ἀριστοτέλην, καὶ τὴν τῶν Στωϊκῶν φιλοσόφων αἵρεσιν, τά τε λοιπὰ τῆς τῶν θαυμαστῶν φυσιολόγων ἐπιθεωρῆσαι, ὡς ἂν καὶ τῆς ἐκ τούτων ἀναχωρήσεως τὸν ἐξ ἡμῶν ἀπολογισμὸν παράσχωμεν τοῖς φιλεγκλήμοσιν.

d 9. ψυχὴν] ψυχῇ D. Vigeri marg. 10. αὐτῆς] αὐτοῦ F.G. 11. ἐπισκεψάτωσαν F.G. 12. πολυπλήθειαν] πολυπληθίαν I. 14. κρίσει om. E.I. ἴσ. κτίσει Vigeri marg. Supra ἀληθὲς I.

p. 784. ἀπὸ πλείστων etc.] ἀπὸ τῶν διονυσίου τοῦ καθ' ἡμᾶς ἐπισκόποι ἐξήνθισται πρὸς ἐπίκουρον B. 3. πεποιημένων] πεπονημένων D. καιρὸς καὶ πρὸς] καὶ πρὸς om. C.D.F.G.I. Mox Ἀριστοτέλη I. 5. τά τε λοιπὰ—ἐπιθεωρῆσαι om. B. 7. ἐκ τῆς] καὶ τῆς ἐκ B.C.F.G. καὶ ἐκ τῆς D. 8. παράσχωμεν] παράσχοιμεν B.C.F.G.

inquit, *Dominus in terram respexit, et implevit illam bonis suis. Anima*
12 *omnis animantis operuit faciem ejus.* Qui si nimia cæcitate non laborant, tantam illam ac tam variam animantium multitudinem contemplentur, terrenarum, volatilium, aquatilium, ac demum intelligant, quam verum hoc in omnium procreatione testimonium fuerit, *Et omnia secundum ejus mandatum extiterunt bona.*

13 Hæc mihi e pluribus libata sunt atque decerpta, quæ Dionysius episcopus æqualis noster adversus Epicurum disputavit. Jam vero tempus est, ut ad Aristotelem transeamus, simulque Stoicorum philosophorum sectam, ac cætera egregiorum physiologorum genera videamus, ut nostri ab iis quoque dissidii rationem atque defensionem, hominibus reprehendendi cupidis probare conemur.

GTU Library
3 2400 00631 6396

GTU Library
2400 Ridge Road
Berkeley, CA 94709
For renewals call (510) 649-2500

All items are subject to recall.